Ταναγραίων [2] οἱ μεταναστάντες] Ap. Mon. et Leid. Τάναγρα πόλις Βοιωτίας· τούτους τοὺς Ταναγραίους μὴ βουλομένους αὐτῶν ὑπακοῦσαι, οἱ Θηβαῖοι ἐξέβαλον, οἱ δὲ εἰς τὰς Ἀθήνας ἐλθόντες ᾤκησαν· μέμνηται δὲ τῆς ἱστορίας Ἡρόδοτος, Γεφυραίους [3] τοὺς Ταναγραίους καλῶν, ἡ δὲ ἱστορία πρὸ τῶν Μηδικῶν. Cod. bomb. Τάναγρα πόλις Βοιωτίας· οὗτοι μὴ ὑπακούοντες Θηβαίοις ὑπ' αὐτῶν ἐξεβλήθησαν, ὧν ἔνιοι εἰς Ἀθήνας ἐλθοντες ᾤκησαν. In marg. Schell. Τὸ Ἀχαιῶν τῶν ἐξελαθέντων ὑπὸ Δωριέων οἱ Ἴωνες ἀνέστησαν. ibid.

Εἰξίωτων ἀναστάντες] In marg. Schell. haec interseruntur: Ἀθηναίοις καὶ οἱ (sic). ibid.

1) μὴ βουλομένους, Ap. M. μὴ βουλόμενοι, sed cf. Pausan. Boeot. c. 37. Verba autem σὺν Ἡρακλεῖ non idoneum sibi locum occupasse videntur atque post ἡττηθέντες collocanda. — 2) Ταναγραίων οἱ μεταν. sublin. Valken., qui quae leguntur ab τούτους τοὺς Ταν. καλῶν, in vulgum edidit ad Herod. V, 57, principio et clausula neglectis, quae sunt in excerptis meis Leidd. — 3) Γεφυραίους, Leid. Γεγυραίους (sic), quod addere sprevit Valken. l. l. non item Creuz. in excerptis.

Digitized by Google

καρπούς Δημήτηρ[1], καὶ ἄλλος ἄλλο τι. Τὰς μέν[2], ὡς ἡ χαλκευτικὴ διὰ τοῦ Ἡφαίστου.

p. 179, D. Ὑπερφέρειν] C. Coll. Nov. habet ὑπερβαίνειν, in marg. γρ. ὑπερφέρειν.

p. 180, C. Κατελάμβανε] Supra in Schell. additur ἡ χρεία.

p. 181, B. Ἥδε ἐτίμησεν αὐτόν] Cod. bomb. Πρῶτοι γὰρ Ἀθηναῖοι Ἡρακλέους θανόντος ναὸν ἱδρύσαντο καὶ μόνον τῶν ξένων ἐμύησαν τὰ Ἐλευσίνια

ibid. Πέμπουσι δὴ] Cod. bomb. Ἡ Δημήτηρ παρέδωκε τοῖς Ἀθηναίοις τὸν σῖτον οὕτως· Πλούτωνος ἁρπάσαντος ἐκ Σικελίας τὴν θυγατέρα Δήμητρος καὶ Διὸς, Περσεφόνην, τὴν καὶ Κόρην, Δημήτηρ παντοχοῦ περιήει ζητοῦσα αὐτήν· ἐλθοῦσα δὲ εἰς τὴν Ἀττικὴν καὶ παρὰ Κελεοῦ καὶ Τριπτολέμου τὸν ἡρπακότα μαθοῦσα, μισθὸν αὐτοῖς ἀποδίδωσι τῆς μηνύσεως τὸν σῖτον, πρῶτον ἀθέσμως συγγενομένη Κελεῷ τῷ Τριπτολέμου πατρί. Δέδωκε δὲ καὶ ἅρμα δρακόντων ὑπόπτερον, ᾧ ἐποχούμενος Τριπτόλεμος ἐκασταχόσε τῆς γῆς τὸν σῖτον ἔσπειρε. καλῶς δὲ καθάπερ θεωρικοῦ[3] εἶπεν, ἐπεὶ ταὐτὸ πένησιν ἐδίδοτο πᾶσι καὶ πλουσίοις καὶ πολλάκις καὶ ξένοις.

ibid. Θεία πομπῇ] Supra in Cod. Schell. Πέμψει, ἑορτῇ.

p. 181, C. Τροφίμων ἕνα] Ap. Mon. Τρόφιμον δὲ τὸν Τριπτόλεμόν φησι, ὃς υἱὸς ἦν Κελεοῦ ὑπὸ Δήμητρος τραφείς, ὡς ἐνταῦθα εἶπεν· δύο οὖν ἡ λέξις σημαίνει, καὶ τὸν θρέψαντα τὸν δεσπότην, ὡς παρὰ Μενάνδρῳ[4], τραφέντα δὲ ὡς ἐνταῦθα τὸν Τριπτόλεμον. Cod. Schell. in marg. Τὸν τοῦ Κελεοῦ[5] Τριπτόλεμον.

1) Δημήτηρ, sic Werferus ex more nostri, utrumque Apogr. Δήμητρα, quae forma sat probos habeat auctores, cf. Matth. gramm. gr. §. 79 et quos laudat Creuz. comm. Herod. p. 508. — 2) Τὰς μέν, utrumque Apogr. τὰς μὲν ὡς ἐχάλκευται (sic Leid., Mon. ἐχάλκευτο) καὶ διὰ τοῦ Ἡφ., unde Creuzerus efformat: Τέχναις δὲ ὡς χαλκευτικὴ διὰ τ. Ἡφ.; Τὰς μὲν autem sunt ipsius sophistae, et ἐχάλκευσαι καὶ natum ex ἡ χαλκευτική, ut bene vidit V. D. — 3) Θεωρικοῦ, Cod. Θεωρικῆς. — 4) ὡς παρὰ Μενάνδρῳ, comico opinor. Atqui in ejus fragmentis semel occurrit veluti nomen proprium, pag. 258. ed. Cler., quod emendat R. Bentl. p. 98. — 5) Κελεοῦ, Cod. Κελαιοῦ.

Digitized by Google

Τὸ ἅρμα πτερωτὸν] Apogr. Mon. et Leid. *Φιλόχορος*[1] *δὲ ἱστορεῖ, ὅτι ὁ ναῦς, ἔνθα ἦν ὁ Τριπτόλεμος, διὰ τοῦτο ἐνομίσθη ὑπόπτερος, ἐπειδὴ ἐξ οὐρίας ἐφέρετο δρόμῳ· οἱ δὲ*[2] *ἀναλύοντες τὸν μῦθόν φασι τοῦτον*[3]*· ἅρμα γὰρ δρακόντων φασιν, ὅτι τῷ πλοίῳ ὄνομα ἅρμα, πτερωτὸν δὲ εἶναι τῶν δρακόντων τὸ ἅρμα διὰ*[4] *τὰ ἄρμενα; ἐπεὶ καὶ Ἡσίοδός φησι πτερὰ*[5] *νεὼς τὰ ἄρμενα.* ibid.

Τὰς Χάριτας ταχείας] Cod. bomb. *Οὐ μόνον γυμνὰς τὰς Χάριτας γράφουσιν, ὅτι δεῖ τὴν χάριν ἐπίθηλον εἶναι, ἀλλὰ καὶ πτερωτάς, δεῖ γὰρ ταχέως αὐτὰς*[6] *γενέσθαι, ἵνα μὴ τοῦ χρόνου τὸ μῆκος τὴν ἐντεῦθεν τέρψιν ἀμβλύνῃ.* p. 181, D.

Αἱ παρὰ τῶν Ἑλλήνων ἀπαρχαί] Ap. Mon. *Λοιμοῦ ἐνσκήψαντος τοῖς Ἕλλησιν, ἔχρησεν ὁ Ἀπόλλων, μὴ πρότερον παύσασθαι τὴν νόσον, μηδὲ ἄλλως*[7]*, εἰ μὴ πρὸ πάντων θύσωσιν Ἀθηναῖοι προηροσίαν· καὶ δὴ ποιήσαντες Ἀθηναῖοι τὴν καλουμένην προηροσίαν ἔθυσαν καὶ ὁ λοιμὸς ἐπαύσατο.* Cod. bomb. *Λοιμοῦ ἐνσκήψαντος τοῖς Ἕλλησιν, ἔχρησεν ὁ Ἀπόλλων, μὴ πρότερον ἂν πεπαῦσθαι τὴν νόσον, εἰ μὴ σὺν τῇ τῶν καρπῶν μητροπόλει τὴν προηροσίαν θύσουσι*[8] *Δήμητρι, δεικνὺς ἐντεῦθεν πρώτους Ἀθηναίους δεδέχθαι τὸν σῖτον· προηροσία γὰρ θυσία ἦν ἐπὶ τῇ πρώτῃ ἀρόσει τῆς γῆς γενομένη, ἣν Ἀθηναῖοι τότε ἔθυσαν, ὅτε παρὰ Δήμητρος τὸν σῖτον ἔλαβον. Ἀγῶνας* (p. 182, B.) *δὲ λέγει τὰ Ἐλευσίνια εἰς τὴν Δήμητρα τελούμενα, ἐν οἷς ὁ νικῶν ἀστάχυας ἐλάμβανεν· εἰς ἀμοιβὴν δὲ τοῦ σίτου τὴν ἑορτὴν ἐποίησαν.* p. 182, A

Ἀλλὰ καλλίω] In marg. Schell. *Τὰ ἀγάλματά φησι καὶ τὰς θυσίας τῶν θεῶν.* p. 182, C.

1) Φιλόχορος, p. 25. ed Sieb. cf. Creuz. M. et S. t. IV, p 208. — 2) δρόμῳ· οἱ δὲ κ. τ. λ. In utroque Apogr. ἐφέρετο. Δρομαῖοι δὲ ἀναλ., unde illud elicuit Creuzerus in excerptis. Notissima autem loeutio de navigio, ἐξ οὐρίας φέρεσθαι δρόμῳ. — 3) τούτου, i. e. Triptolemi, f. τοῦτο v. τοῦτον. — 4) διὰ τὸ ἅρμενα, Leid. διὰ ταῦτα ἅρμενα. Utrumque Apogr. bis habet ἄρμενα. — 5) πτερὰ νεὼς τὰ ἄρμενα, ea sejunxit a reliquis Werferus, ut versiculi pars esse viderentur. sed confer Hesiod. Op. et D. vrr. 625. — 6) αὐτὰς, Cod. αὐτοὺς. — 7) μηδὲ ἄλλως, Ap. μηδὲ ἄλλοις — 8) θύσωσι, Cod. θύσουσι.

Digitized by Google

ibid. *Καὶ τοῦτο μὲν ἐνταυθοῖ λῆξιν κ. τ. λ.*] In marg. Schell. *Ἀκολουθίαν μὲν σῶζον ἕκαστον πρὸς τὰ εἰρημένα· οὕτω δὲ δῆλον, εἰ σώζει τὴν συνέχειαν ἀπ' ἄλλου πρὸς ἄλλο μετατιθέμενον· ὥσπερ γὰρ ἀνωτέρω Ἡρακλέος μνησθέντα ἥρμοττεν εἰπεῖν καὶ ὅπως αὐτοὺς Ἀθηναῖοι κατήγαγον, ἀλλὰ παρεῖθη διὰ τὸ ἄτοπον, οὕτω καὶνταῦθα μνησθεὶς τῆς πόλεως θέσεώς τε καὶ χώρας ἥρμοττε εἰπεῖν καὶ περὶ τῶν οἰκοδομημάτων, ἀλλα παρέπεμπε εἰς τοὺς ἐπιλόγους καὶ τοῦτο καὶ περὶ τῶν θείων διεξέρχεται.*

p. 183, B. *Χάριεν καὶ κοῦφον*] Ap. Mon. *Ἐχρήσατο δὲ καὶ Θουκυδίδης τῇ λέξει.*

p. 163, D. *Ἐν τοῖς παιδικοῖς κριθῆναι*] Apogr. Mon. et Leid. *Παιδικὰ τὰ ἐρώμενα λέγει· ἔστι δὲ ἐπὶ καλοῦ ἡ λέξις. Κέχρηται δὲ Κρατῖνος*[3] *καὶ ἐπὶ γυναικὸς ἐν Ὥραις. Κριθῆναι* (ibid.) *δὲ περὶ*[4] *ὧν ἡ ἔρις αὐτοῖς ἐνέπεσεν ἢ ὑπὸ τῶν ἐρωμένων κριθῆναι, ὡς Ἀπόλλων καὶ Βορέας ἐπέτρεψε τῷ Ὑακίνθῳ τὴν κρίσιν.* In marg. Schell. a rec. manu: *Ἤτοι ἐν τοῖς ἀγαπωμένοις*[5] *ὑπ' αὐτῶν.*

ibid. *Τοῦτε ῥοθίου*] Apogr. Mon. et Leid. *Οὐκ εἶπεν ὕδωρ ἁλμυρὸν, ἀλλὰ ῥόθιον, τιμῆσαι βουλόμενος· τοῦτο γὰρ*

1) *Ἡρακλέος*, expressi lectionem Codicis, unde conjeceris vel *τῶν Ἡρακλέους* vel *Ἡρακλειδῶν*; sequitur e vestigio *αὐτοὺς*. — 2) *Ἐχρήσατο*, sic Werferus, Apogr. *Ἐχρήσαντο*. — 3) *Κρατῖνος*, schol. ad Aristoph. Vesp. 1021 post plura: *Ὅτι δὲ ἐκάλουν οὕτω καὶ τὰ πρὸς τὰς γυναῖκας, Εὔπολις· φησὶ γὰρ ὡς πρὸς πλήτριδα τις·*

Ἐγὼ δὲ χαίρω πρὸς τοῖς σοῖσι παιδικοῖς.

Καὶ Κρατῖνος ἐν Ὥραις (sic Kust. in indice, in ed. erat *δὲ ὁρᾷς*; firmatur ea emend. a nostro), *τῆς παλλακῆς ἀποδημοῦντος τοῦ Διονύσου ἐρώσης, φησὶν ἐπ' αὐτοῦ·*

Μακάριος τῶν παιδικῶν.

Cum his non convenit Heindorfio ad Parmenid. p. 190, qui vocem *παιδικὰ* de foeminis nonnisi postrema Graecorum aetate legi confirmat, contra schol. ad Platon., ad Aristoph., quem ipse laudat, et contra hunc nostrum. De qualibet re cara et amata autem vocem *παιδικὸν* dici, idem V. D. docet ad Phaedon. p. 52. — 4) *περὶ ὧν ἡ ἔρις*, Ap. Mon. *περιὼν ἔρως* (hoc item in Leid.). Dicitur *ἔρως* quoque *ἐμπίπτειν* vel *παρεμπίπτειν* vel *προσπίπτειν*, cf. Bergl. ad Alciphr. I, 13. p. 79, itaque erat cum mallem *περὶ ὧν ἡ ἔρως κ. τ. λ.* — 5) *ἀγαπωμένοις*, God. *ἀγαπουμένοις*.

Digitized by Google

ἔδειξεν ὁ Ποσειδῶν, θάλλον δὲ ἡ Ἀθηνᾶ, ὅτι ἐλαίας κλάδον[1]. Ἄλλοι[2] δέ φασι, ὅτι Ζεὺς ἐπέτρεψε[3] τοὺς ἄνδρας καὶ τὰς γυναῖκας ἐν μέρει ψηφίσασθαι· εὑρέθησαν αἱ ψῆφοι ἴσαι καὶ ἀπηκοὼς ὁ Ζεὺς εἶπεν, ὅτι ὁ οἶκος τοῦ τότε βασιλέως οὔπω ἐψηφίσατο καὶ ψηφισαμένου τὸν οἶκον αὐτοῦ, εὑρέθησαν θυγατέρες τρεῖς καὶ αὐτὸς εἷς, καὶ πλειόνων οὐσῶν τῶν γυναικῶν ἀπεδόθη τῇ Ἀθηνᾷ ἡ πολις. In Cod. bomb. super τοῦτε ῥοθίου legitur ὃ[4] ἐν ἀκροπόλει Ποσειδῶν ἐξέφηνε.

[5] Τοὺς ἀνταγωνιστάς] Apogr. Mon. et Leid. Ἀντα- p. 183, D.
γωνιστάς φησι τοὺς τὴν ὁμοίαν ἐσχηκότας τέχνην, λέγοι δ' ἂν Αἰγινήτας· αὐτοὶ (f. οὗτοι) γὰρ μετ' αὐτοὺς ᾖδεσαν τὰ ναυτικά· ὁ γοῦν Ἡρόδοτος ἐν τοῖς Περσικοῖς καὶ τὰ πρωτεῖα αὐτοῖς δίδωσι.

Παραδείγματα] In Cod. Schell. a rec. man suprascr. p. 184, B.
Πόντα.

Ὁ δὲ τῆς θεοῦ πάρεδρος] Apogr. Mon. ed Erechtheo p. 184, C.
ἐπειδὴ[6] ἐν τῇ ἀκροπόλει ὀπίσω τῆς θεοῦ ὁ Ἐρεχθεὺς γέγραπται ἅρμα ἐλαύνων, πρῶτος γὰρ οὗτος ἅρμα τέλειον, ὃ ἐστι τέθριππον, ἔζευξε. Cod. bomb. Πάρεδρον τῆς θεοῦ τὸν Ἐρεχθέα φησι, ἐπειδὴ ἐν τῇ ἀκροπόλει, ὀπίσω αὐτῆς γέγραπται ἅρμα ἐλαύνων, ὡς πρῶτον τοῦτο παρὰ τῆς θεοῦ δεξάμενος, ἐπειδὴ[7] τρόπον τινα υἱὸς αὐτῆς ἐδόκει. διώκων

1) κλάδον, Ap. κλάδου, reposui κλάδον sc. ἔδειξε; ἤτοι pro ὅτι. — 2) Ἄλλοι, Ap. ἄλλο. — 3) ἐπέτρεψε, Apogr. ἐπέτρεψε, illud Leid. in excerptis, in quibus quae ab initio inde usque ad Ἄλλοι δέ φασιν edidi desiderantur. — 4) ὃ ἐν ἀκρ., Cod. ὁ ἐν ἀκρ. — 5) Werf. ita: de Aeginetis αὐτοὶ γὰρ κ. τ. λ. Reliqua, quae antecedunt, debeo Valkenario, qui publici juris fecit ad Herod. VIII, 93. Sublineavit idem V. D. voces ὁ δὲ ταῖς ναυμαχίαις, quae paullo supra leguntur et quo retulerat hoc schol. Werferus. Ceterum Mon. et Leid. nihil variant, nisi quod Mon. δίδωσιν. — 6) Ap. Mon. de Erechtheo ἐπειδὴ κ. τ. λ., sic Werferus ut subinde fecit; scholii caput procul dubio servat Cod. bomb. Canterus de Erichthonio accepit, cf. Pausan. Attic. I, 2 extr. et 14. — 7) ἐπειδὴ τρόπον κ. τ. λ. edidit Baehr comment. de Min. et Apoll. p. 20, ubi quae Vir doctus addit: et quae sunt reliqua, ea non ita accipi debent, quasi sequerentur plura huc facientia. Quae subsequuntur in Cod., pertinent ad Ἄλλοι δ' ἄλλον κ. τ. λ.; quae cum Cod. adderet nihil intermittens, fucum fecit amicissimo juveni.

Digitized by Google

γὰρ αὐτὴν Ἥφαιστος ἀπεσπερμάτισεν. Cod. Schell. in marg. Θησεὺς ἢ Ἐρεχθεύς.

ibid. Χορεῖαι] Ap. Mon. Χορείας καλεῖ τοὺς ὕμνους τῶν θεῶν, ὡς καὶ Δημοσθένης [1] ἐν τῷ κατὰ Μειδίου.

ibid. Ἄλλαι δι' ἄλλων] Cod. bomb. Δημήτηρ γάρ, ὡς ἔφαμεν [2], ἐλθοῦσα τὸν σῖτον ἔδωκε, διὸ καὶ ἐν Ἐλευσῖνι ἔστησαν αὐτῇ ἀγῶνα εἰς ἀμοιβὴν τῆς εὐεργεσίας. Διόνυσος δὲ ἐκ Θηβῶν ὁρμηθεὶς συγγέγονεν ἐν τῇ Ἀττικῇ Ἰκαρίῳ καὶ αὐτῷ ἄμπελον δέδωκεν, ὅθεν καὶ τούτου πανήγυρις ἐν τῇ Ἀττικῇ ἐτελεῖτο· παρέσχε δὲ καὶ ἄλλος τῶν θεῶν ἄλλο τι.

p. 184, D. Τὰ ἐπιβάλλοντα] Cod. Schell. supra: Τὰ ὀφειλόμενα.

p. 185, A. Ἀρχὰς] Ibid. Ἀφορμάς.

p. 185, B. Καὶ λαγχάνει [3] Ποσειδῶν Ἄρεϊ κ. τ. λ.] Apogr. Mon. et Leid. Ἁλιρρόθιος, υἱὸς Ποσειδῶνος, ἠράσθη Ἀλκίππης, τῆς Ἄρεως θυγατρὸς καὶ εὐρὼν ἱδρυομένην, αὐτὴν ἐπεχείρησε βιάσασθαι, ἡ δὲ τῷ πατρὶ ἀπήγγειλεν· ὁ δὲ ἀπιστῶν καὶ βουλόμενος θεατὴς γενέσθαι, ἀπέστειλε πάλιν ἱδρεύσασθαι· αὐτὸς ὑπάρχων κατάσκοπος καὶ λαβὼν αὐτὸν ἐπιχειροῦν ταὰνεῖλε καὶ ἐγκαλεῖ Ποσειδῶν Ἄρεϊ περὶ τοῦ φόνου τοῦ παιδὸς καὶ γίνεται ἐν Ἀθήναις ἡ κρίσις δικαζόντων τῶν θεῶν. Ἐκλήθη Ἄρειος πάγος ὁ τόπος, ἔνθα ἡ δίκη γέγονε διὰ τὸν Ἄρεα ἐκεῖ πήξαντα τὸ δορυ· οἱ δὲ ἐκ τούτου κεκλῆσθαί φασιν, ἐπεὶ ὁ Ἄρης τὰς [4] Ἀμάζονος θυγατέρας ἀνηρημένας ὑπὸ Ἀθηναίων ἰδὼν ἐστράτευσε κατ' αὐτῶν καὶ ἐν τούτῳ [5] τῷ τόπῳ καθήμενος ἐπολιόρκει τὴν πόλιν. Ἄλλοι δὲ ἁπλῶς λέγουσι διὰ τὸ πολλοὺς ἐκεῖσε γενέσθαι φόνους, οἱ δὲ φόνοι Ἄρεως εἶναι νομίζονται· τινὲς δὲ τὸν μῦθον ἀναπτύσσοντες οὕτω λέγουσιν, ὅτι ὀργιζόμενος ὁ Ἁλιρρόθιος ὑπὲρ τῆς ἥττης τοῦ πα-

1) Δημοσθένης ἐν τῷ κατὰ Μειδίου, cap. VII, ubi Spalding. invitis libris legit στρατείας. Firmatur ergo χορείας et a nostro; praetera haec vox in Midiana non occurrit. Sublineavit Valk. — 2) ἔφαμεν, Cod. ἔφημεν. — 3) καὶ λαγχάνει Il. subl. Valk. — 4) τὰς Ἀμάζονος θυγατέρας, sic emendat Werf., Ap. ἀμάζονας, vid. Hellanicum apud. Etym. M. s. v. Ἄρειος πάγος, p. 139, 8. ubi Ἁλιρρόθιος, Ap. et Cod. b. constanter duplici ρ. — 5) τούτῳ τῷ τόπῳ, sic emend. Werf., Ap. τούτῳ τὸ τόπῳ.

Digitized by Google

τρὸς ἐπεχείρησε κόψαι τὴν ἐλαίαν καὶ πληγεὶς ὑφ'[1] αὐτοῦ ἐτελεύτησεν, ὅθεν ὁ Ποσειδῶν κατηγορεῖ[2] τοῦ Ἄρεως, ὡς δεσπότου τοῦ συδήρου. Ἄριστα δὲ ὁ Χάραξ[3] ἰῶ φησι, ὅτι πάγος πᾶς ὑψηλός ἐστι τόπος· ἐπεὶ οὖν ἐνταῦθα παρὰ[4] τοῖς Ἀθηναίοις ἐκρίνετο τὰ φονικά, ὑψηλος δὲ ἦν ὁ τόπος, ἐλέγετο πάγος ὡς ὑψηλὸς, ἄρειος δὲ διὰ τὸν φόνον, ὡς συδηρῷ ἀπολεῖται. Ἄρης ὁ[5] φόνος, ἀφ' οὗ καὶ ἔναρα τὰ ὅπλα, καὶ ἔναρσι οἱ πεφονευμένοι, ὡς ἄν τις εἴποι μεταβαλὼν φόνιος τόπος· ὡς καὶ Χαρώνιον[6] ἡ τοῦ δεσμωτηρίου ἐλέγετο θῦρα, ἀφ' ἧς οἱ πρὸς Χάρωνα ἀγόμενοι τῶν καταδίκων, τουτέστιν[7] οἱ τὴν[8] ἐπὶ θανάτῳ δεχόμενοι ψῆφον ἦεσαν. Cod. bomb. Ἁλιρρόθιος, ὁ Ποσειδῶνος, Ἀλκίππην[9], τὴν Ἄρεως, φθείρας ἀνόμως ὑπ' αὐτοῦ τέθνηκεν· ὅθεν συνίστησι δικαστήριον ἐξ ἁπάντων τῶν θεῶν κατ' αὐτοῦ Ποσειδῶν· κέκληται γοῦν ὁ τόπος, ὅτι ὀρεινότερός ἐστι καὶ ὅτι Ἄρης ἐνταυθοῖ καταδεδίκασται, ἄρειος πάγος, ἐμφαίνων διὰ τῆς προσηγορίας τήν τε τοῦ Ἄρεως κρίσιν καὶ ὅτι ἀρετῆς

1) ὑφ' αὐτοῦ, Apogr. ὑπ' αὐτοῦ, sed correxi ex schol. ad Aristoph. Nub. 1001 et Servio ad Virgil. apud Scalig. ad Euseb. p. 31. — 2) κατηγορεῖ, nolui κατηγόρει, licet paullo supra legatur ἐτελεύτησεν; illud non adeo rara avis in nostro. — 3) ὁ Χάραξ ἰῶ, i. e. δεκάτῳ, Χρονικῶν (cujus operis decimum laudat Steph. Byz. s. v. Ἄρσα, Ἥφαιστεία, Κοσιάνα et Σαλύες) an Ἑλληνικῶν, illud in medio relinquendum; Hellenicorum liber secundus memoratur a Steph. s. v. Ἀδραστεία, Ταίναρον, quartum s. v. Φήγεια, nonum s. v. Τσία. De antiquissimis autem et Athenarum et Aegypti rebus egisse Characem, testantur quae servavit idem Steph. s. v. Ἀθῆναι, Αἴγυπτος. Gronovio quoque aqua haesit, cumne sciret, quae apud Steph. s. v. Ἑβραῖοι leguntur, ad Χρονικὰ an ad Ἑλληνικὰ referret. — 4) παρὰ τοῖς Ἀθηναίοις, Ap. περὶ τοῖς Ἀθ. — 5) Ἄρης ὁ φόνος, inde usque ad πεφονευμένοι quae leguntur, edita prostant in Creuzeri Meletem. I, p. 37, (innuit V. D. hoc schol. Symb. et Myth. I, p. 343. ed. pr.) ubi describentis nescio cujus incuria excidit τὰ ante ὅπλα, quod et propter sequentia οἱ πεφ. et eo negligi non debebat, quia arma vocarentur ἔναρα. Characi, si quidem hujus doctrinae auctor est, procul dubio in mentem venit Homerici illius ἔναρα βροτόεντα, Iliad. Θ 534, quod explicat Hesych. s. v. Ἔναρα — 6) de Χαρωνίῳ vide quos laudarunt Intt. ad Hesych. s. v. — 7) τουτέστιν, Ap. τουτέστι. — 8) οἱ τὴν ἐπὶ κ. τ. λ. Werf. emendat οἳ — ἦσαν. male, opinor. Equidem hic sensus inest: ex qua procedebant inter reos ii, qui ad Charonem perducebantur i. e. qui morte mulctandi erant. Certe οἱ et ἦεσαν emixe tuentur et Mon. et Leid. — 9) Ἀλκίππη, sic Werferus, Cod. simpl. κ. et statim Ἄρεος.

Digitized by Google

ἐργαστήριόν ἐστι, ἐπειδὴ θεοὶ ἐν αὐτῷ ἐκρίθησαν· ἐδικάζοντο δὲ ἐνταῦθα αἱ φονικαὶ δίκαι μόναι. Cod. Schell. in m. *Διὰ τὸ τὸν Ἄρεα ἐκεῖ πῆξαι τὸ δορυ ἢ διὰ τὸ κρίνεσθαι ἐκεῖ τὰς φονάς*[1]. Ibid. supra: *Κατὰ Ἄρεως δίκην.*

p. 185, C. *Μαρτύριον*] Supra in Schell. *Βεβαίωσιν.*

ibid. *Ὑπὲρ τὸν Ἄρειον πάγον*] Cod. bomb. *Διάφορα δικαστήρια ἦσαν ἐν Ἀθήναις διαφόρων ἐγκλημάτων, Βασιλεὺς, Εὐμολπίδαι, Θεσμοθέται καὶ οἱ Ἕνδεκα καλούμενοι, ἃ πάντα οὐδὲν ἐδόκει πρὸς τὸν Ἄρειον πάγον.*

ibid. *Ὅσα*[2] *μαντικὰ*] Cod. bomb. *Διὰ τὴν ἐν τῇ Βοιωτίᾳ Κασταλίαν.* Super *πνεύματα* haec: *τοὺς θεοφορήτους φησι,* atque in marg. *Τοὺς καὶ θεομάντεις.*

p. 186, A. *Ἥκοντες*] Cod. Schell. *Εἴκοντες,* in marg. *γρ. ἥκοντες.*

p. 186, B. *Ἑτέρα*[3] *δὲ γίνεται κ. τ. λ.*] Cod. bomb. *Τὴν τοῦ Ὀρέστου καὶ Ἐριννύων δίκην δώδεκα θεούς φασι δικάσαι, οὐ παρούσης τῆς Ἀθηνᾶς, ὧν τοὺς μὲν ἓξ ψήφους θεῖναι δικαιώσεως ταῖς Ἐριννύσι, τοὺς δ' ἄλλους ἓξ τῷ Ὀρέστῃ. Ἐλθούσης δὲ τῆς Ἀθηνᾶς καὶ συμψηφισαμένης τοῖς ὑπὲρ αὐτοῦ καὶ τῶν ψήφων γενομένων πλειόνων τῶν ὑπὲρ αὐτοῦ, νικᾷ ὁ Ὀρέστης, οὐ γὰρ ἦν εἰκὸς θνητὸν θεοῖς ἐξισοῦσθαι*[4].

ibid. *Πρὸς τὰς νῦν προσοίκους τῷ τόπῳ θεὰς κ. τ. λ.*] Cod. bomb. *Φασὶ γὰρ, ὡς Ὀρέστης ἐξιλεούμενος αὐτὰς εὐμενεῖς αὐτῷ τοῦ λοιποῦ*[5] *εἶναι πλησίον τοῦ Ἀρείου πάγου ἱερὸν αὐτῶν ἐποίησεν.*

ibid. *Ὥσπερ ἔφεσιν*[6]] Cod. bomb. *Ἔφεσίς ἐστιν ὄνομα δίκης, ὅταν τις τὰ ἐλάττω δικαστήρια καταλιπὼν καταφεύγῃ*[7] *ἐπὶ τὸ μεῖζον· τοῦτο δὲ καὶ ἐπὶ τὸν Ὀρέστην συνέβη, καταδικασθεὶς γὰρ ἐν Ἄργει, ὡς Εὐριπίδης*[8]

1) τὰς φονὰς, Werf. maluit *φονικὰς* sc. *δίκας*, quo non est opus; *φονὰς* per se stare potest. — 2) *Ὅσα μαντικὰ* subl. Valken. — 3) *Ἑτέρα δὲ*, Werf. dedit ex Cod. *ὀὴ*; de ipsa re autem aliter exponunt schol. et Biset. ad Aristoph. Ran. 697. — 4) *ἐξισοῦσθαι*, Cod. *ἐξισούσαι*, unde possis si velis *ἐξισῶσαι*. — 5) *τοῦ λοιποῦ*, Cod. conjunctim *τουλοιποῦ*. — 6) *Ὥσπερ ἔφεσις*, subl. Valk. — 7) *καταφεύγῃ*, Cod. *καταφεύγει*. — 8) *ὡς Εὐριπίδης*, Oreste vrs. 1664.

Digitized by Google

φησιν, ὕστερον Ἀπόλλωνος προστάξαντος ἀφικεῖται Ἀθήναζε.

Ἀκόλουθον ἴσως] In marg. Schell. Τῶν ἐν εἰρήνῃ πράξεων ἄρχεται. p. 186, D.

Ἐπὶ [1] καιρῶν] Ap. Mon. Καὶ Δημοσθένης ἐν Φιλιππικοῖς· Καιροῦ μὲν δὴ πρὸς ταῦτα παρέστη Φιλίππῳ τὰ πράγματα. p. 187, B.

Οἱ γνωριμώτατοι] Cod. Schell. in marg. Ὁ Ὀρέστης, ὁ Οἰδιπούς. p. 187, C.

Ὥσπερ ἀρχὴ τοῖς πολλοῖς] Apogr. Mon. Οἱ πολλοὶ ἀπὸ Ἡρακλέους ἦρχοντο, ὡς [2] καὶ Ἰσοκράτης ὁ Ἀθηναῖος. ibid.

Ἡ μὲν πόλις] Schol. apud Photium in excerptis: Κατὰ ἔλλειψιν ἡ προκειμένη φράσις, ἔχουσά τι ἐπαγωγόν· πολλαχοῦ δὲ αὐτῇ κέχρηται. p. 187, D.

Εὐρυσθέως δ' ἐλάσαντος] Ap. Mon. Καὶ ὁ συγγραφεύς [3] φησι· Δωριεῖς τῷ π ἔτει ξὺν Ἡρακλείδαις Πελοπόννησον ἔσχον. p. 188, C.

Ἐράνου] In marg. Schell. Ἤγουν συλλογῆς. p. 189, A.

Καθήκει] Ibid. Ἤτοι πρέπει. p. 189, B.

Τέτταρας μὲν δοῦσα] Cod. bomb. Τέτταρας πόλεις λέγει τὴν καλουμένην ἐν τῇ Ἀττικῇ τετράπολιν, Μαραθῶνα, Προβάλησθον, Τρικορύσιον, Οἰνόην· καὶ τὸ μὲν οἰκουμένην εἶπε δηλῶν τὸ λαμπρὸν τῆς εὐεργεσίας, ὅτι οὐκ ἀοικήτους, ἀλλ' οἰκουμένους [4] αὐτοῖς ἔδοσαν νεμεσθαι τόπους· τὸ δὲ πόλεις, ἢ ὅτι ὕστερον οἱ τόποι οὗτοι p. 189, C.

1) ἐπὶ καιρῶν, huc retuli hoc schol., non ad ἡ τῶν πανταχόθεν, quo adscripserat Werf., licet ἡ τῶν παντ. sublineata sint a Valken. Demosthenis verba leguntur in Olynth. II, p. 23. ed. Sch. ubi pro πρὸς ταῦτα est πρὸς τοῦτο et παρίσχη, quod recepi pro πάρεστι, quod est in Ap. Vides autem vel Sopatrum, intelligentem Demosthenis lectorem, has Olynthiacas nuncupasse Philippicas, quibus jam pridem eas annumeratas ex Harpocrationis laudandi genere voluit Henr. Valesius in notis ad Harp. passim. — 2) ὡς καὶ Ἰσοκράτης, in Panegyrico, quem prae ceteris in Athenas encomiis imitatus est Aristides. — 3) ὁ συγγραφεὺς, Thucyd. I, 12. ex quo recepi π pro τ, quod erat in Apogr. Pro τῷ in Thucyd. legitur τε. — 4) οἰκουμένους, Cod. εἰκουμένους.

Digitized by Google

πόλεις γεγόνασιν, ἤ ὅτι πόλεις ὁ συγγραφεὺς[1] καλεῖ τὰς κώμας διὰ τὸ δίκην πόλεων ταύτας οἰκεῖσθαι.

ibid. Τρέφειν ἐνόμισε] In marg. Schell. Ἐνομοθέτησε.

p. 189, D. Ὁδὸς] Ibid. Καταφυγή.

p. 190, A. Ἐπὶ δυεῖν[2] ὁρμεῖν] Cod. bomb. Παροιμία τὸ ἐπὶ δυοῖν ὁρμεῖν (sic) ἐπὶ τῶν ἀσφαλῶς[3] πρός τι χωρούντων· εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν πλεόντων, ὅταν ἢ δυσὶν ἀγκύραις ὁρμίζωνται ἢ ὅταν ἐλλιμενίσωσι μέν, προσχρῶνται δὲ καὶ ἀγκύρᾳ διὰ πλείστην ἀσφάλειαν. In marg. Schell. Ἀγκύραιν δηλονότι.

ibid. Προτέραν, δευτέραν] Apogr. Mon. Ἔοικε τῷ Δημοσθενικῷ[4]· τὸ γὰρ πράττειν τοῦ λέγειν καὶ χειροτονεῖν ὕστερον ὂν τῇ τάξει, πρότερον τῇ δυνάμει καὶ κρεῖττόν ἐστι·

p. 190, B. Ἀνάλωτον καὶ ὡς ἀληθῶς ἱερὰν] Ap. Mon. et Leid. Τὸ δὲ ἱερὰν πάλιν εἴρηται ἀπὸ παροιμίας, ἱερὰν ἀγκύραν διὰ τὴν ἀσυλίαν τὴν δ.δομένην τοῖς ἐπὶ τὰ ἱερὰ καταφεύγουσι· καλεῖται δὲ ἱερὰ ἡ μείζων πασῶν, μεθ' ἣν οὐδεμίας[5] ἐστι σωτήριας ἐλπὶς, ἐὰν μὴ ἰσχύσῃ κατασχεῖν τὴν ναῦν· τὸ δὲ ἱερὸν οἱ παλαιοὶ ἐπὶ τοῦ μεγάλου[6] λέγουσιν, ἱερὸν ἰχθὺν καὶ ἱερὰν[7] νόσον τὴν ἐπιληψίαν.

ibid. Πάσης[8] τῆς Βοιωτίας] Apogr. Mon. . . . . Ὁ δὲ Σώπατρος ταύτην λέγει τὴν ἱστορίαν, ὅτι Ὀρχομένιοι κατὰ Θηβαίων ἐστρατεύσαντο σὺν Ἡρακλεῖ, παρ' ὧν ἡττηθέντες ἐξέπεσον τῆς Βοιωτίας καὶ Ἀθηναῖοι αὐτοὺς ὑπεδέξαντο·

1) ὁ συγγραφεὺς, Thucyd. I, 5 ibiq. Intt. Ceterum Valken. sublineavit et τέτταρας et πόλεις — 2) ἐπὶ δυεῖν ὁρμεῖν, ed. ἐπὶ δυοῖν ὅρμοιν. — 3) ἀσφαλῶς, Cod. ἀσφαλῶν. — 4) τῷ Δημοσθενικῷ, ex Olynth. III, pag. 36. Werferus, qui scholiastae crederet, quae Demosthenis essent, sic emendaverat: τὸ γὰρ πράττειν τοῦ λέγειν καὶ χειρ. ὕστερον (Ap. ὕστερον οὐ) τῇ τάξει, πρότερον τῇ δ. κ. τ. λ. Ceterum voces προτέραν, δευτέραν subl. Valken. — 5) οὐδεμίας ἐστὶ σωτηρίας ἐλπὶς, f. οὐδεμία. — 6) ἐπὶ τοῦ μεγάλου, articulus in Leid. deest. — 7) καὶ ἱερὰν, Apogr. καὶ οἱ ἱερὰν. — 8) πάσης τῆς B., subl. Valk. Quae in Ap. M. deese punctis significatur, ea supple ex bomb.

Digitized by Google

ἐπολέμησαν δὲ πρὸς αὐτοὺς Ὀρχομένιοι μὴ βουλομένους αὐτοῖς ὑπακούειν. Cod. bomb. Περὶ Θήβας ἀτυχήσαντας λέγει, ὡς μέν τινές φασι, τὸν Οἰδίποδα, ὡς δὲ ὁ Σώπατρος, τοὺς Ὀρχομενίους. Ὀρχομενὸς γὰρ πόλις τῆς Βοιωτίας, ἧς οἱ οἰκήτορες κατὰ Θηβαίων στρατεύσαντες καὶ ὑπὸ τούτων καταπολεμηθέντες, Ἡρακλέους συμμαχοῦντος (Θηβαῖος γὰρ ἦν), ἁπάσης τῆς Βοιωτίας ἐξελαθέντες τῆς σφετέρας αὐτῶν καταστραφείσης ὑπὸ Θηβαίων πατρίδος, Ἀθήναζε καταφεύγουσι. Γέγονε δὲ ἡ τούτων κατὰ Θηβαίων στρατεία διὰ τοὺς φόρους, οὓς Θηβαῖοι Ὀρχομενίοις πολὺν χρόνον ἐτέλουν. Cod. Schell. in marg. Οἱ μὲν τοὺς περὶ τὸν Οἰδιποῦν φασιν, οἱ δὲ, Ὀρχομένιοι κατὰ Θηβαίων στρατεύσαντες καὶ ἡττηθέντες ἐξέπεσον τῆς Βοιωτίας καὶ Ἀθηναῖοι αὐτοὺς ὑπεδέξαντο.

Ταύτη] Sic in textu Schell. cujus in marg. Γρ. ταύτην τὴν ὁδὸν δηλονότι. p. 190, C.

Ταναγραίων [1] οἱ μεταναστάντες] Ap. Mon. et Leid. Τάναγρα πόλις Βοιωτίας· τούτους τοὺς Ταναγραίους μὴ βουλομένους αὐτῶν ὑπακοῦσαι, οἱ Θηβαῖοι ἐξέβαλον, οἱ δὲ εἰς τὰς Ἀθήνας ἐλθόντες ᾤκησαν· μέμνηται δὲ τῆς ἱστορίας Ἡρόδοτος, Γεφυραίους [3] τοὺς Ταναγραίους καλῶν, ἡ δὲ ἱστορία πρὸ τῶν Μηδικῶν. Cod. bomb. Τάναγρα πόλις Βοιωτίας· οὗτοι μὴ ὑπακούοντες Θηβαίοις ὑπ' αὐτῶν ἐξεβλήθησαν, ὧν ἔνιοι εἰς Ἀθήνας ἐλθόντες ᾤκησαν. In marg. Schell. Ὑπὸ Ἀχαιῶν τῶν ἐξελαθέντων ὑπὸ Δωριέων οἱ Ἴωνες ἀνέστησαν. ibid.

Εἰξάντων ἀναστάντες] In marg. Schell. haec interseruntur: Ἀθηναίοις καὶ οἱ (sic). ibid.

1) μὴ βουλομένους, Ap. M. μὴ βουλόμενοι, sed. cf. Pausan. Boeot. c. 37. Verba autem σὺν Ἡρακλεῖ non idoneum sibi locum occupasse videntur atque post ἡττηθέντες collocanda. — 2) Ταναγραίων οἱ μεταν. sublin. Valken., qui quae leguntur ab τούτους τοὺς Ταν. καλῶν, in vulgum edidit ad Herod. V, 57, principio et clausula neglectis, quae sunt in excerptis meis Leidd. — 3) Γεφυραίους, Leid. Γιγύραίους (sic), quod addere sprevit Valken. l. l. non item Crenz. in excerptis.

Digitized by Google

ibid. *Οὗτοι*[1] *δ' ἦσαν Ἰωνία πάντες*] Ap. Mon. *Ἰνάρου τελευτήσαντος Μέδων καὶ Νηλεὺς οἱ ἀδελφοὶ περὶ βασιλείας, πότερος αὐτὴν λάβοι ..... ἔχρησεν αὐτοῖς ἐρωτῶσιν, ἔνθα*[2] *ἂν ὁ σίαλος τὸν σίαλον τρίσαι πρῶτός τις τῶν δύο πείσῃ, ἐκεῖνος λάβοι καὶ τὴν βασιλείαν. Ἀπιόντων τῶν δύο, τῷ Μέδοντι προσεφώνησεν ἡ ἱέρεια τῆς Ἀθηνᾶς ἐπισπεῖσαι· εἶτα ἔφησεν ὁ Μέδων, αὐτοῦ εἶναι τὴν βασιλείαν· ὁ Νηλεὺς ἀντέφησε φάσκων εἰρηκέναι τὸ τοῦ χρησμοῦ, ἔνθα ἂν ὁ σίαλος τὸν σίαλον τρίβῃ, πρῶτον*[3] *τῶν δύο σπεῖσαι, ἐκείνου εἶναι καὶ τὴν βασιλείαν· ὁ Μέδων κατὰ τύχην θεᾶται δύο ἐλαίας διακεχωρισμένας μὲν ταῖς ῥίζαις, τοῖς δὲ κλάδοις ἐκπεπλεγμένας*[4] *καὶ ἐκ τοῦ τρίβειν ἀλλήλους ἐκβαλούσας πρίσμα· ἐπένω*[5] *τὸν χρησμὸν ὁ Μέδων καὶ λαμβάνει τὴν βασιλείαν, ἀπιστῶν δὲ ὁ Νηλεὺς τοῦτο εἶναι τὸν σίαλον, ἀπελθὼν εἰς Δελφοὺς ἤρετο τὸν Ἀπόλλωνα, εἰ*[6] *αὐτὸς εἴη ὁ σίαλος· ὁ δὲ εἶπε, τοῦτο εἶναι· ἀκούσας τοῦτο ὁ Νηλεὺς ἠρώτησε πόλιν ἄρα*[7] *οἰκίσει· ἔχρησεν οὕτως· Νηλεύς, φράζευ ὅπως ἀδίκων καρῶν γένος ἀνδρῶν ἐξελάσας Ἕλληνας καὶ Ἴωνας ἐγκαταικῆσαι· καὶ τότε λαβὼν τοὺς Ἴωνας τοὺς ἐξελαθέντας καὶ ὑπὸ τῶν*[8] *Ἀχαιῶν ἐπήγαγεν*[9] *εἰς τὴν Ἀσίαν.*

p. 190, D. *Δρύοπας καὶ Πελασγούς*[10]] Apogr. Mon. et Leid. *Ἰστέον*

1) *Οὗτοι δ' ἦσαν Ἰωνία πάντες*, sublin. Valken. Ipsum autem hoc scholion, quod mancum et depravatum esse nemo non videt vel non monente Werfero, ita ut Codex fert exhibui, in notulas has vel Werferi vel meas conjecturas repositurus. Atque statim post *λάβοι* desiderantur *ἠρώτων τὸν Θεὸν, τὸν Ἀπόλλωνα, τὴν Πυθιάν* vel id genus aliquid; eam lacunam punctis indicavi, quae desunt in Apogr. — 2) *ἔνθα ἂν κ. τ. λ.* sic restituere conatur Werferus *ἔνθα ἂν ὁ σίαλος τὸν σίαλον τρίψαι, πρῶτος ὅστις τῶν δύο σπείσῃ.* — 3) *πρῶτον τῶν δύο σπεῖσαι*, Werf. *πρῶτον ὃν τῶν δύο.* — 4) *ἐκπεπλεγμένας*, leg. *ἐμπεπλεγμένας.* — 5) *ἐπένω* leg. *ἐπέγνω*, vel *ἐπενόει.* — 6) *εἰ αὐτὸς εἴη ὁ σίαλος*, f. *οὗτος.* — 7) *πόλιν ἄρα κ. τ. λ.* Werferus *εἰ πόλιν ἄρα κ. τ. λ.* Sequens oraculum sic in metrum redigendum censet Werferus:

Νηλεὺς φράζευ ὅπως ἀδίκων Καρῶν γένος ἀνδρῶν
Ἐξελάσας Ἕλληνας Ἰωνάς τ' ἐγκατανάσσῃς.

Duriusculum et a vestigiis longius paullo recedens, quam par erat, pro *ἐγκαταικῆσαι* legere *ἐγκατανάσσῃς.* Quodsi *οι* in *οἰκεῖν* breve esset, mallem *ἐγκατοικήσεις.* — 8) *καὶ ὑπὸ τῶν, καὶ* delendum. — 9) *ἐπήγαγεν*, leg. *ἀπήγαγεν.* — 10) *Δρύοπας καὶ Πελασγους*, huc retuli schol., quod Werferus ex Mon. et Wyt-

Digitized by Google

δὲ ὅτι τῶν Δρυόπων ἱστορίαν λέγειν οὐκ ἔχομεν, πλὴν ὅτι καὶ αὐτοὶ ἐλθόντες ᾤκησαν εἰς [2]Ἀθήνας. [3]Ἡ δὲ τῶν Πελασγῶν αὕτη: λῆσταί τινες ἦσαν οἱ Πελασγοὶ οἰκοῦντες περὶ τὰ μέρη τῆς Τυρρηνίας, ὡς [4]Ἡρόδοτος ἐν τῷ ᾱ, οἳ ἐλθόντες [1] κατῴκησαν ἐν Θετταλίᾳ· ἐκδιωχθέντες δὲ ὑπὸ τῶν προσοίκων ἦλθον εἰς [5]Ἀθήνας κἀκεῖσε γυναῖκας [6]Ἀττικὰς βιασάμενοι ἔφυγον εἰς Λῆμνον καὶ νοσοῦσι Λημνίους ἔχρησεν ὁ θεὸς, μὴ παύσασθαι τὸ κακὸν, εἰ μὴ Πελασγοὺς Λήμνιοι [7]Ἀθηναίοις ἐκδῶσι· οἱ δὲ ἐξέδωκαν. Cod. bomb. Λῆσταί τινες ἦσαν · . . reliqua cum Apogr. consentiunt . . . ἐν τῷ πρώτῳ φησὶ καὶ ἐλθόντες κατῴκησαν εἰς Θετταλίαν· ἐκδιωχθέντες — [8]Ἀθήνας· ὡσαύτως δὲ καὶ οἱ Δρύοπες κατά τινα τύχην τῆς πατρίδος ἐξελαθέντες ἐνταυθοῖ κατέφυγον.

[9]Ὧν ἔτι καὶ νῦν] Apogr. Mon. Οὐ γὰρ ἀπὸ [2] Δρυόπων ὁ τόπος ἐν [3]Ἀθήναις προσαγορεύεται, ἀλλ' ἀπὸ μόνων [4] Πελασγῶν, ὡς μαρτυρεῖ Θουκυδίδης· ibid.

. . . . . τὸ Πελασγικὲν [5]Ἄργος [6],

εἰπών In marg. Schell. Οὐκ ἀπὸ Δρυόπων ὁ τόπος ἐν [3]Ἀθήναις προσαγορεύεται, ἀλλ' ἀπὸ μόνων τῶν Πελασγῶν· εἴρηται γοῦν περιληπτικῶς.

Τῆς Μεσσηνίων] Apogr. Mon. Οἱ [4]Ἡρακλεῖδαι, ὅτε p. 191, C. ἠθέλησαν κρατῆσαι τῆς Πελοποννήσου, ἐν τῷ αὐτῷ χρόνῳ β' χρησμοὺς [1] εἰλήφασιν, ὧν ὁ εἷς ἐκέλευσε [2] τὸν ἀπαντήσαντα [3] ἡγεμόνα ποιήσασθαι [4], ὁ δὲ ἕτερος, μεθ' ὧν φαγῶσιν, ἐκείνοις μὴ πολεμῆσαι. Ὡς κατήρχοντο οὖν οἱ [4]Ἡρα-

tenb. ex Leid. ad ἐκκεχωρηκότα retulerant, miror quod Valken. non sublin. Magis autem illud miror quidni Valken. ediderit ad Herod. I, 56, cum hujus nostri testimonium admodum faceret ad dispellendas eorum dubitationes, qui totum de Pelasgis locum, invito Herodoto, a nescio quo lectore adscriptum dein textus vices suscepisse dicerent. — 1) οἳ ἐλθ., sic Leid., Mon. οἱ. — 2) οὐ γὰρ ἀπὸ, aut γὰρ exulare debet, aut exciderunt ante nonnulla; forte ea, quae in clausula annotationis in marg. Schell. leguntur, si a γοῦν discesseris, γὰρ in Schell. deest. — 3) μόνων; Ap. μονῶν. — 4) τὸ πελασγικὸν Ἄργος, sic ex Thucyd. II, 17 rescripsi, Ap. τὸ Πελαγεῖ καὶ Ἄργος. — 5) χρησμοὺς, sic ex bomb., Ap. χρησαμένους. — 6) ἐκέλευσε, bomb. ἐκέλευε. — 7) ἀπαντήσαντα bomb. addit αὐτοῖς — 8) ποιήσασθαι, bomb. ποιῆσαι.

κλεῖδαι [1], ἀπήντησεν [2] αὐτοῖς ὁ Ὄξυλος [3] μετὰ ἑτεροφθάλμου ἡμιόνου [4], γνόντες [5] τὸν χρησμὸν οἱ Ἡρακλεῖδαι ἐποίησαν αὐτὸν ἡγεμόνα, ἀποκαταστήσαντες αὐτῷ τὴν πατρικὴν βασιλείαν τῆς Ἠλίδος [6], ἐκβληθεὶς γὰρ ἦν ἐξ αὐτῆς ὁ Ὄξυλος· ἀπιόντων δὲ τῶν Ἡρακλειδῶν ἐπὶ τὴν Ἀρκαδίαν ὁ τῶν Ἀρκάδων βασιλεὺς, ἀκούσας ἔρχεσθαι τοὺς Ἡρακλείδας, ἔπεμψέ τινας μετὰ δώρων· εἶτα ὑπήντησαν οἱ Ἀρκάδες τοῖς προδρόμοις τῶν Ἡρακλειδῶν καὶ ἤρξαντο αὐτοῖς πωλεῖν τινὰ καὶ συνεσθίειν· μετὰ δὲ τοῦτο ὁ βασιλεὺς τῶν Ἀρκάδων ἐδήλωσε τοῖς Ἡρακλείδαις, ὅτι ἀδικεῖτε πολεμοῦντες τοὺς μεθ' ὑμῶν ἑστιαθέντας, καὶ ἀναπολήσαντες τὸν χρησμὸν οἱ Ἡρακλεῖδαι ἐπαύσαντο καὶ ἔσχον λοιπὸν τὴν Ἀργολικὴν καὶ Μεσηνιακὴν καὶ Λακωνικήν. Cod. bomb. post narrationem de Oxylo, cujus varietatem infra posui, pergit: Ἀπιόντων δὲ πάλιν αὐτῶν ἐπὶ τὴν Ἀρκαδίαν ὁ τῶν Ἀρκάδων βασιλεὺς, ἀκούσας αὐτοὺς ἔρχεσθαι, ἔπεμψέ τινας μετὰ δώρων· εἶτα ὑπήντησαν οἱ Ἀρκάδες τοῖς προδρόμοις τῶν Ἡρακλειδῶν καὶ ἤρξαντο πωλεῖν αὐτοῖς τινα καὶ συνεσθίειν, μεταξὺ δὲ εἰς στάσιν ἐκπεσόντες· ἐδήλωσεν οὖν αὐτοῖς ὁ βασιλεὺς τῶν Ἀρκάδων, ὅτι ἀδικεῖτε πολεμοῦντες τοῖς μεθ' ὑμῶν ἑστιαθεῖσι, καὶ ἀναπολήσαντες τὸν χρησμὸν ἐπαύσαντο καὶ ἐξελάσαντες Μεσηνίους ᾤκησαν τὴν αὐτῶν, καὶ οἱ ἀποφυγόντες Μεσηνίων καὶ μὴ τῷ πολέμῳ φθαρέντες Ἀθήνησιν ἀφικνοῦνται. Ἄλλως· ἔθος ἦν Λακεδαιμονίοις πέμπειν κόρας ἐν τῇ Μεσηνίων ἑορτῇ· τινὲς τῶν Μεσηνίων βίᾳ τὰς κόρας διέφθειραν· ἐζήτουν [8] εἰς τιμωρίαν τοὺς φθείραντας Λακεδαιμόνιοι· οὐκ ἔδοικαν. ὀργισθέντες οὖν κατέσκαψαν τὴν Μεσήνην Λακεδαιμόνιοι καὶ οἱ ἐκφυγόντες τούτους ἐν τῷ πολέμῳ, εἰς Ἀθήνας ἔρχονται. In marg. Schell. Λακωνικὰς κόρας διέφθειραν οἱ Μεσή-

1) οἱ Ἡρακλεῖδαι desunt in bomb. — 2) ἀπήντησεν, sic bomb., Ap. ἀπήντησαν — 3) Ὄξυλος, sic bomb. sine articulo, Ap. Ὀξύλογος. — 4) ἡμιόνου, sic bomb., Ap. ἡμίονος. — 5) γνόντες, sic bomb., Ap. γνῶντες. — 6) Ἠλίδος, sic Ap., bomb. Ἑλλάδος, cf. Ephor. p. 106. — 7) ἀναπολήσαντες, Apogr. ἀναπολήσαντες. — 8) ἐζήτουν, bomb. et mox Schell. ἰζήτουν, quae item confusa apud Brunck. ad Anal. t. III, p. 205.

Digitized by Google

νιοι εἰς ἑορτὴν ἐλθούσας· ἐξήτουν οὖν τοὺς βιασαμένους οἱ Λακεδαιμόνιοι, καὶ μὴ ἐκδιδόντων κατέσκαψαν τὴν Μεσήνην, ἣν τὸ λειπόμενον Ἀθηναῖοι ἐδέξαντο.

Τοὺς τόπους] In marg. Schell. *Τὴν Ναύπακτον λέγει.* ibid.

Λύθις δὲ τοῦ περὶ Βοιωτίαν πάθους] Ap. Mon. *Ἡ ἱστορία ἐν τῇ γ Θουκυδίδου*[1], *ὅτι Θηβαῖοι κατέσκαψαν Πλάταιαν μετὰ Λακεδαιμονίων· τοὺς δὲ νύκτωρ ἐξελθόντας λέγει τῶν Πλαταιῶν καὶ ὑπερβάντας τὰ τείχη.* Cod. bomb. *Πλησίον Βοιωτίας ἡ Πλάταια, ἣν πολιορκοῦντες μετὰ Θηβαίων Λακεδαιμόνιοι, ὡς Θουκυδίδης ἐν τῇ τρίτῃ ἱστοριῶν φησὶ καὶ πάσῃ χρώμενοι μηχανῇ μόλις κατέσκαψαν· πρὸ δὲ τῆς κατασκαφῆς*[2] *ἄνδρες τινὲς τῶν Πλαταιέων ἔκκριτοι νυκτὸς ὑπερβάντες τὰ τείχη καὶ λαθόντες τὸ τῶν πολεμίων στράτευμα, Ἀθήναζε παρεγένοντο, οὓς καὶ παίσαντες λέγει ἤτοι δυστυχήσαντας.* In marg. Schell. *Θηβαῖοι κατέσκαψαν μετὰ Λακεδαιμονίων Πλαταιάς.* ibid.

Τοῖς Ἕλλησι] Supra in Schell. *Τὸ πεζὸν τῶν Περσῶν καταλύσασι.* ibid

Ἐπεκούφισαν] Ibid. *Παρεμυθήσαντο.* p. 191, D

Ἐξήκει] In marg. Schell. *Εἰς ἐξωλείαν ἥκει, πανωλεθρίᾳ ἀπώλετο.* ibid.

Πάλιν τοίνυν Θηβαίων[4]] Apogr. Mon. *Ἐξ Ἀκάνθου καὶ Ἀπολλωνίας ἐπέμφθησαν πρέσβεις πρὸς Λακεδαιμονίους φάσκοντες*[5] *τοὺς Ὀλυνθίους ποιεῖσθαι ἑαυτοῖς συμμαχίαν παρ' Ἀθηναίων ἐπὶ τῷ καταλαβεῖν τὰς Χαλκιδικὰς*[6] *πόλεις* p. 192, A.

1) *ἐν τῇ γ Θουκυδίδου*, c. 20—25. — 2) *πρὸ δὲ τῆς κατασκ.*, Cod. bomb. *πρὸν κ. τ. λ.* — 3) *Ἐξήκει* subl. Valken. ex Leid., ubi enarratorem eadem ratione vocem *ἐξήκειν* interpretari suspicor, qua interpretatus est Schell., de internecione. Canterus, quantum ex versione intelligi potest, de statione relinquenda cepit. *Ἐξήκειν* de tempore, quod absumitur, cf. Wessel. ad Herod. VI, 69, sic *ἀπογίγνεσθαι*, Schweigh. ad II, 85 cui adde Dion. Chrysost. orat. XXX, p. 299. ed Mor. de *ἀπέρχεσθαι* notissimam. — 4) *Πάλιν τοίνυν Θηβ.*, subl. Valk. Legitur idem schol. in bomb. unde varietatem enotabo. — 5) *φάσκοντες* c. *Ὀλ. π. κ. τ. λ.*, bomb., *φάσκοντες, ὡς οἱ Ὀλύνθιοι ποιοῦνται συμμαχίαν παρ' Ἀθ.* — 6) *Χαλκιδικὰς*, bomb. *Χαλκηδικὰς.*

Digitized by Google

ἀκούσαντες τοῦτο οἱ Λακεδαιμόνιοι [1], τὴν μὲν εὐτρεπῆ [2] δύναμιν ἔπεμψαν δι' Εὐδαμίδα [3]· ὕστερον δὲ διὰ Φοιβίδου τοῦ ἀδελφοῦ αὐτοῦ ἀπέστειλαν τὴν λοιπήν, καὶ κατ' ἐκεῖνο [4] καιροῦ ἐν Θήβαις ἀντεπολιτεύοντο ἀλλήλοις Ἰσμηνίας [5] καὶ Λεοντιάδης· ἀπερχομένου [6] δὲ τοῦ Φοιβίδου διὰ Θηβαίων, ἐπὶ τὴν Ὄλυνθον, τῶν ἄλλων [8] μὴ ἀπαντησάντων, μήτε μὴν Ἰσμηνίου, ὃ Λεοντιάδης μόνος ὑπήντησεν, εἶτα [9] ἤρξατο πείθειν αὐτοὺς ἐπὶ τῷ καταλαβεῖν τὴν Καδμείαν, ἀναμιμνήσκων αὐτοὺς καὶ παλαιᾶς ἔχθρας Θηβαίων πρὸς Λακεδαιμονίους. Τὸ δὲ τέλος [10] ὁ Φοιβίδας καταλαμβάνει τὴν ἀκρόπολιν, καταστήσας ἐν αὐτῇ [11] τυράννους τοὺς περὶ Ἀρχίαν καὶ φρουράν· τῶν γοῦν τυράννων κακῶς χρωμένων τοῖς Θηβαίοις, ἔφυγον [12] πολλοὶ τῶν Θηβαίων Ἀθήναζε, ὧν ἦσαν καὶ οἱ περὶ Μέλωνα· ὅστις Μέλων [13] ἐλθόντι Φιλίδᾳ ἐν τῇ Ἀττικῇ, τῶν τυράννων ὑπηρέτῃ συνετάξατο, ὅτι εἰς θέλωσιν οἱ περὶ Ἀρχίαν πρὸς συνουσίαν γυναῖκας, προσκαλεῖν [14] ἡμᾶς καὶ λέγειν, ὅτι τινες ἐλευθέραι ἦσαν καὶ οὐκ ἐθέλουσιν, ὥστε καὶ τὸ πρᾶγμα γινώσκεσθαι· ὁ δὲ Φυλί-

1) *οἱ Λακεδαιμόνιοι*, addit bomb. *καὶ βουλόμενοι κωλύειν.* — 2) *εὐτρεπῆ*, bomb. *εὐπρεπῆ.* — 3) *δι' Εὐδαμίδα*, bomb. *δὲ Εὐδαμίδου.* — 4) *καὶ κατ' ἐκεῖνο, καὶ* in bomb. deest. — 5) *Ἰσμηνίας*, bomb. *Ἰσμεσίας.* — 6) *ἀπερχομένου κ. τ. λ.*, Ap. *φοιδίμου*, bomb. omittit *δὲ.* — 7) *διὰ Θηβαίων*, bomb. *δι' Ἀθηναίων*, facili lapsu *ΔΙΑΘΗΝΑΙΩΝ* et *ΔΙΑΘΗΒΑΙΩΝ* commutantur, sic *παρ' Ἀθηναίοις* et *παρὰ Θηβαίοις* Vales. ad Harp. p. 98, sic *μετ' Ἀθην.* et *μετὰ Θηβ.* Ex his emenda Apsinem in art. rhet. p. 709, 13 ed. Ald. — 8) *τῶν ἄλλων κ. τ. λ.* bomb. *μήτε τ. ἄλλων, μήτε Ἰσμ.* — 9) *εἶτα*, bomb. *καὶ* — penult. *αὐτοὺς*, bomb. bis *αὐτὸν.* — 10) *Τὸ δὲ τέλος*, bomb. *καὶ πεμθεὶς.* — 11) *ἐν αὐτῇ* sic bomb., Ap. *ἐν αὐτῷ τοὺς τυράννους.* — 12) *ἔφυγον*, bomb? *ἔφυγον πολλοὶ τούτων ἐν Ἀθήναις.* — 13) *ὅστις Μέλων*, bomb. *ὅστις Μέλων ἐλθόντι* (Ap. *ἐλθόντος Φιλίδα*) *ἐν τῇ Ἀττικῇ τῶν τυράννων ὑπηρέτῃ* (sic Apogr.) *Φυλίδᾳ κ. τ. λ.* — 14) *γυναῖκας, προσκαλεῖν κ. τ. λ.* sic. Ap., bomb. *γυναῖκας, ἐμοὶ τοῦτο λέγειν· οἶδα γάρ τινας ἐλευθέρας βουλομένας τὴν μόνην τούτων μίξειν· ὁ δὲ Φυλίδας κελευσθεὶς π. τ. τ. ἐνεγκεῖν γυναῖκας, εἶπε τῷ Μέλωνι· καὶ ὡς γενομένης ἑσπέρας καὶ μεθυσθέντων τῶν τυράννων, πέμπει ὡσπλισμένους ἄνδρας Ἀθηναίους γυναικεῖαν περιβεβλημένους στολήν· ἀποδυσθέντες οὖν οἱ τύραννοι πρὸς τὸ τούτοις συγκαθευδῆσαι ἀποσφάττονται ὑπ' αὐτῶν καὶ σύρονται δι' ὅλης τῆς πόλεως ἐν τῇ νυκτὶ καὶ οὕτω συνέβη ἀνηρῆσθαι τοὺς τυράννους· ἀπελθόντες δὲ καὶ πρὸς τὸν Λεοντιάδην ἀνέκρουον τὴν θύραν· καὶ ὃς μηδὲν τῶν γενομένων εἰδὼς κατῆλθε καὶ φονεύεται παρ' αὐτῶν.* His verbis eadem fere narrantur in bomb.

Digitized by Google

δας κελευσθεὶς παρὰ τῶν τυράννων ἐνεγκεῖν τὰς γυναῖκας, εἶπε τοῦτο· εἶτα, φησὶ, γεκομένης ἑσπέρας πέμπει ὁ Φιλίδας τοὺς τούτων οἰκέτας εἴς τινα οἰκίαν φίλου μετ' οἴνου· καὶ δὴ, φησὶν, εἰσῆλθον οἱ περὶ Μέλωνα γυναικείαν στολὴν περιβεβλημένοι καὶ τὰς ὄψεις ὡσαύτως δή τινες γυναῖκες γινόμενοι· εἶτα εἰσελθόντων τούτων καὶ ἀποδυσαμένων πρὸς τὸ τούτοις συγκαθεύδειν, ἐγένετο ἡ σποδή· φονεύσαντες δὲ τοὺς τυράννους ἔσυρον αὐτοὺς δι' ὅλης τῆς πόλεως ἐν τῇ νυκτὶ καὶ οὕτω συνέβη ἀνηρῆσθαι τοὺς τυράννους· ἀπελθόντες δὲ καὶ πρὸς τὸν Λεοντιάδην οἱ περὶ Μέλωνα καὶ Φιλίδαν ἀνέκρουον τὴν θύραν· ὁ Λεοντιάδης νομίσας τοὺς ὑπὲρ τῶν τυράννων δεσμευθέντας [1] μὴ ἥκειν, κατῆλθε καὶ φονεύεται παρ' αὐτῶν.

Ἀτυχήμασι] In marg. Schell. Ἃ περιέβαλεν Ἀλέξανδρος αὐτοὺς, ὁ Φιλίππου. p. 192, C.

Τοὺς ἐκ Κορίνθου] Apogr. Mon. Τούτων τῶν τριῶν μέμνηται Δημοσθένης [3] φανερῶς ἐν τοῖς πρὸς Λεπτίνην· Κορινθίων μὲν, ὅτι ἐδέξαντο ἐν τῷ τείχει τοὺς Ἀθηναίους στρατιώτας, Θασίων [4] δὲ διὰ τὸν Ἔκφαντον, Βυζαντίων δὲ διὰ Ἀρχέβιον [5] καὶ Ἡρακλείδην. ibid.

Οὐ γὰρ ἐκποδὼν κ. τ. λ.] Cod. bomb. Σοφοκλέους [6] ὃν ἐν Οἰδίποδι τοῦτο εἰς παροιμίαν ἐπεκράτησε τὸ· p. 192, C.

Φίλου κακῶς πράξαντος ἐκποδὼν φίλοι.

Τὴν ἐπιτηδειότητα] Supra in Schell. Φιλίαν. p. 193, C.

Τὸν κοινὸν τῶν Ἑλλήνων] Cod. bomb. Πᾶσι γὰρ ἀνθρώποις τὰς μαντείας ἐμφαίνει [7]· ἐρωτῶσι δὲ καὶ τοῖς p. 194, A.

1) τοὺς ὑπὲρ τῶν τυράννων δεσμευθέντας, forte leg. τοὺς ὑπὸ τῶν τυράννων δημευθέντας, qui a tyrannis proscripti erant. — 2) Τοὺς δ' ἐκ Κορίνθου, subl. Valk. — 3) Δημοσθένης, adv. Lept. p. 53 et seq. ed. Wolf. — 4) Θασίων et mox Βυζαντίων, Ap. Θασίους et Βυζαντίους. — 5) Ἀρχέβιον, Ap. Ἀρχίβιον. — 6) Σοφοκλέους ὃν ἐν Οἰδ., in neutro Oedipo inveni neque magis in Menandri reliquiis, cujus esse affirmat Canterus. Ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι. Ex Aristidis h. l. laudat Des. Erasmus in Adag. p. 590, de ipsa proverbii sede nil addens: reliquorum paroemiographorum nullus ad manus erat. — 7) ἐμφαίνει, bomb. ἐμφαίνειν.

Digitized by Google

Ἀθηναίους, τί δεῖ περὶ τῶν κεφαλαίων ποιῆσαι ἔχρησεν, ὡς δεῖ ἀποικίας τοίπων ποιῆσαι.

ibid. Ἐκάθηρε [1]] Ap. Mon. Ἐκάθηρε δὲ τοῦ ληστικοῦ [2], ὅ ἐστι ἡμέρωσε· καὶ ὁ Θουκυδίδης ἐν τῇ πρώτῃ.

p. 195, A. Εἰ οἷόν τ' εἰπεῖν] In marg. Schell. Διὰ τὴν τροπήν.

p. 195, B. Ἀμφοτέρῳ τῷ γένει] Ibid. Τῇ Ἀσίᾳ καὶ τῇ Εὐρώπῃ.

ibid. Τὴν ὁμονοίαν] Ap. Mon. Πῶς οὖν ὁ συγγραφεὺς [3] λέγει, ὅτι ἡ Ἑλλὰς ἐστασιάζετο;

ibid. Ὥσπερ κρηπῖδος] Ap. Mon. Καὶ Ἰσοκράτης ἐν τῷ Πανηγυρικῷ εἶπεν. Εἰς ἣν [4] ἑτοίμως οἱ ἄλλοι πάντες ἀπῴκησαν [5] ἀπηλλαγμένοι πόνου πολλοῦ.

p. 195, D. Ἀπὸ Μασσαλίας] Ap. Mon. Πόλις [6] τῆς Ἀφρικῆς· μέμνηται δὲ Θουκυδίδης· Φωκαεῖς τε Μασσαλίαν οἰκίζοντες.

p. 196, A. Τῷ Ταναΐδι] Ap. Mon. Ἔστι δὲ μεθόριον ὁ Τάναϊς Εὐρώπης καὶ Ἀσίας, ὡς φησι Διονύσιος [7].

Εὐρώπην δ' Ἀσίης Τάναϊς διὰ μέσσον ὁρίζει.
Ἐνταῦθα δὲ ἀπῴκισαν οἱ Μιλήσιοι.

p. 196, B. ἐπανελθών] In marg. Schell. Ἀνακεφαλαιοῖ·

ibid. Τῆς πολιτείας] Ap. Mon. Καὶ Δημοσθένης [8]· εἶτα καὶ πολλῶν προαιρέσεων οὐσῶν τῆς πολιτείας, τὰς περὶ τὰς Ἑλληνικὰς πράξεις εἱλόμην ἐγώ.

1) ἐκάθηρε, hanc voc. sublin. Valken. Werferus schol. ad πρῶτον μὲν, quae praecedunt, retulit. — 2) ληστικοῦ, sic Ap., sed Aristides pag. 115 ed. Jebbius ληστρικοῦ, quod item legitur in optimo Schell., Piers. ad Herod. pag. 450 emendat ληστικοῦ. De utraque forma vid. Poppo obs. cr. in Thucyd. pag. 14. Oudend. ad Th. M. p. 657 laudat Aristidis locum, quin mutet. Thucydidis locus est I, 4. — 3) ὁ συγγραφεὺς, passim, e. gr. III, 82. — 4) εἰς ἣν ἑτοίμως κ. τ. λ. non sunt Isocratis verba in Paneg. — 5) ἀπῴκησαν, Ap. ἀπῴκισαν — 6) Πόλις τῆς Ἀφρικης, sic schol. ad Thucyd. I, 13., quem locum noster laudat. Scholiasten ad h. l. Gottleberus erroris arguit; error et inde natus, quod Λιβυκῆς et Λιγυστικῆς inter se confusa, cujus confusionis (Λιβυστικῆς et Λιγυστικῆς) exemplum habes apud Berk. ad Steph. sub ipsa voce Μασσαλία, et quod gens quaedam Africae Μασσύλοι esset. Post οἰκίζοντες in Ap. puncta conspiciuntur, quae excipiuntur a sequente schol., inde illud δέ post ἔστι. — 7) Διόνυσος, vrs. 14., Apog. Εὐρώπη et μέσον. — 8) καὶ Δημοσθένης, de Coron. p. 142. ed. Harl., Apogr. πολλῶν γὰρ πρ. ὑφ. τ. πολ., τὴν π. τ. Ἑλλ. πρ. εἱλ., om. ἐγώ.

Digitized by Google

Δωριέων γενέσθαι] Cod. bomb. *Τῶν Ἡρακλειδῶν*, ὡς καὶ πρώην εἶναι· ἐκλήθησαν δὲ *Δωριεῖς* ἀπό τινος *Δωριέως*[1], ἐκγόνου *Ἡρακλέους*. p. 196, C.

Νεωτέρων] In marg. Schell. *Νεωτερισμοῦ ἦγουν καινοτομίας*. ibid.

Τὸ κινηθὲν] Supra in Schell. *Τὸ ἐκδιωχθέν*. ibid.

Ἐν ᾧ] Ibid in marg. *Ἐπεί*. ibid.

Πολιτείᾳ] Supra in Schell. *Τάξει καὶ στάσει πόλεως* p. 198, A.

Ἀκολουθίας] Ibid. *Ὁμοιότητος*. ibid.

Τοῖς ἐν ταύτῃ] Coll. Nov. *Ταύτῃ*, in marg. *γρ.* τε ταύτῃ. Voces *τοῖς ἐν* desunt item in Bar. 7, *ἐν* in Bar. 3. et in marg. Schell. est *τοῖς ταύτῃ*, quod desideratur in textu. p. 198, C.

Καθάπερ τὸν Διόνυσον γράφουσιν] Cod. Leid. *Ἀντὶ τοῦ ζωγράφουσιν· οὕτω γὰρ καὶ νέον καὶ παλαιὸν αὐτὸν γράφουσιν, διὰ τὸ καὶ τὸν οἶνον παλαιὸν εἶναι καὶ νέον, ἢ ὅτι οἱ μὲν δεόντως αὐτῷ κέχρηνται*[2], *οἱ δὲ πλέον τοῦ δέοντος, νουθεῖς εἰσιν ὥσπερ οἱ γέροντες*. p. 198, D.

Πάλιν ἀρχὴν] In marg. Schell. *Ἀπὸ φιλανθρωπίας εἰς φιλανθρωπίαν*. p. 200, B.

Τῷ συνειδότι[3]] Ap. Mon. *Ὅτι*[4] *καὶ τῷ συνειδότι ἀντὶ τοῦ τῷ ἀνδρείῳ ἐπιτρέψαντες*[5]· *καὶ Θουκυδίδης ἐχρήσατο τῷ ὁμοίῳ ἐνθυμήματι ἐν τῷ ἐπιταφίῳ*. p. 202, B.

Ὥστ' ἄμφω[6] *τὰ γένη*] Schol. apud Phot. *Τὸ προκείμενον τοῦ λόγου σχῆμα διαφόροις ὀνόμασι κέκληται, καὶ γὰρ στρεπτόλυτον καλεῖται καὶ διάλληλον, ἐναγώνιον, διαγώνιον, ζῦ χιαστὸν πλεκτὸν καὶ λυτὸν, προκειμένου κακοῦ ἀναίρεσις· στρεπτόλυτον μὲν, παρὰ τὸ ἐκ τῶν ἀντιστρόφων λύειν τὰ λεγόμενα· ἐναγώνιον δὲ, διὰ τὸ δοκεῖν ἔχειν ἀγῶνα τῇ ἐπαγωγῇ τῶν* p. 203, B.

1) *Δωριέως*, bomb. *Δωριέος*. — 2) post *κέχρηνται* exciderunt *ἰσχυροί εἰσιν ὥσπερ οἱ νέοι*, aut id genus alia. — 3) *Τῷ συνειδότι*, huc retuli schol., non ad *ἐπίασιν*, quod fecit Werferus, ex Ap. exhibens *ἐπῶσιν*. — 4) *Ὅτι καὶ τῷ*, Ap. *Ὅτι καὶ αὐτῷ*, sed *αυ* ex vocula *καὶ* adhaesit et deest *Σημείωσαι, σημειωτέον, ἰστέον*, ut assolet fieri, cf. Valk. de schol Leid. p. 222. in opp. t. II. ed. Lips. et Intt. ad Greg. Cor. p. 52. — 5) *ἐπιτρέψοντες*, Ap. *ἐπιστρέψοντες*, sed Aristides *ἐλπίδα δόντες*.

Digitized by Google

νοημάτων· χῖ δὲ χιαστὸν [1], *διότι δύο προτάσεων ουσῶν, τοῦ δικαίου καὶ τοῦ δυνατοῦ, ὃ μὲν ἔδει δοῦναι τῷ δικαίῳ, τοῦτο ἀπένειμε τῷ δυνάτῳ, ὃ δὲ ἔδει τῷ δυνάτῳ ἀνέθηκε τῷ δικαίῳ πάλιν, ἐναλλάξας τὰς ἐννοίας· παρακειμένου δὲ κακοῦ ἀναίρεσις λέγεται, ἐπειδὴ παράκειται ὡς δικαίοις τὸ εὐχερῶς πάσχειν καὶ ἀδικεῖσθαι, ὡς δὲ ἀνδρείοις τὸ ἀδικεῖν, ἀνεῖλε τὴν ἑκατέρου κακίαν· οἷον δικαία οὖσα καὶ οὐ πάσχουσα, καὶ ἀνδρεία οὖσα καὶ ἀδικοῦσα οὐδ' ὅλως, εἰ γὰρ καὶ ἐν τέλει ἔθηκε τὸ συγκριτικὸν τοῦ ὀνόματος, ἀλλ' οὐκ ἔστι τὸ σχῆμα συγκριτικόν, ἀλλ' ὡς εἴρηται παρακειμένου κακοῦ μεθαδεύει ἀναίρεσιν.*

p. 204, B. *Οἶμαι δὲ οὐδὲ Θρᾷκας*] Apogr. Mon. et Leid. *Κατὰ τὸν αὐτὸν χρόνον Θρᾷκες ἐστράτευσαν ἐπὶ Ἀθήνας, καθ' ὃν καὶ οἱ ἑπτὰ ἐπὶ Θήβας, ὡς δηλοῖ* [2] *ἐν Φοινίσσαις Εὐριπίδης διὰ Τειρεσίου πρὸς Κρέοντα λέγων·*

Κἀκεῖ γὰρ ἦν τις πόλεμος Εὐμόλπου δορός,
Οὗ καλλινίκους Κεκροπίδας ἔθηκ' ἐγώ.

Δείκνυσι δὲ τὴν ἱστορίαν, ταύτην προτέραν τῶν Ἀμαζόνων, ἔστι δὲ αὕτη. Εὔμολπος [3], *ὁ βασιλεὺς Θρᾴκης, υἱὸς δὲ Ποσειδῶνος καὶ Χιόνης, ἀντιποιούμενος τῆς Ἀττικῆς ὡς πατρῴου κτήματος καὶ ἀργίσθεις* [3] *ὑπὲρ οὗ ἡττήθη ὁ πατὴρ αὐτοῦ, ἐστράτευσε κατὰ τῆς Ἀττικῆς. Μηκυνομένου* [4] *δὲ τοῦ πολέμου ἔδοξε καταλῦσαι τὴν ἔχθραν καὶ τὰ μὲν γένος τὸ ἀπ' ἐκείνου καταστῆσαι* [5] *δικάζειν τὰ περὶ ἀσεβείας καὶ ἀρχιερατεύειν* [6], *τὸ δὲ τοῦ Ἐρεχθέως βασιλεύειν. Καὶ* [7] *Δημοσθένης ἐν τῷ κατὰ*

1) *χῖ δὲ χιαστὸν*, cujus exemplum vide infra ad pag. 328, A. ed. Cant. — 2) Apogr. Mon. incipit ab his, *ὡς δηλοῖ κ. τ. λ.*, superioribus neglectis, quae cum Valkenario communicaverat Abreschius ex Leid. Publicavit Valk. ad Phoeniss. 861, unde recepi; quae post *Εὔμολπος*, *ὁ βασιλεὺς Θρᾴκης* leguntur, veluti notiora praetermisit Valken. De scholiastae autem erroré cf. Valken. ad scholia in Euripidis hunc locum. — 3) *Εὔμολπος κ. τ. λ.*, quae reticuit Valken. l. l., Creuzerus servavit in excerptis, cf. Myth. et Symb. t. I, p. 264. ed. prior. IV, 334. post. — 4) *ὀργισθεὶς*, Leid. *ὀρηθεὶς*. — 5) *Μηκυνομ.*. sic Leid., Mon. *Μηκ.*. — 6) *καταστῆσαι*, Leid. *μεταστῆσαι*. — 7) *ἀρχιερατεύειν*, Leid. *ἀρχιρατεύσειν*. — 8) *καὶ Δημασθένης*, Leid. *καὶ Δημοσθένην*, f. *κατὰ Δημοσθένην*.

Digitized by Google

Ἀνδροτίωνος, δικάζεσθαι[1] πρὸς Εὐμολπίδας, φράζειν πρὸς τὸν βασιλέα. Cod. bomb. Εὔμολπος, Θρᾴκης βασιλεὺς, υἱὸς Ποσειδῶνος καὶ Χιόνης, ἀμυνόμενος Ἀθηναίους, ὡς ἡττηθέντος αὐτοῦ τοῦ πατρὸς Ἀθηνᾷ τὴν περὶ τῆς πόλεως κρίσιν, ἐστράτευσε κατ' αὐτῶν. Μηκυνομένου δὲ τοῦ πολέμου, ἐχρησεν ὁ θεὸς, Ἐρεχθέα θῦσαι τὴν θυγατέρα Ἄγραυλον, καὶ τούτου γενομένου ἔδοξεν Εὐμόλπῳ καταλῦσαι τὴν ἔχθραν· διὸ τὸ μὲν γένος αὐτοῦ ἀπ' ἐκείνου κατέστη δικάζειν ἐν Ἐλευσῖνι τὰ περὶ ἀσεβείας καὶ ἀρχιερατεύειν, διὸ καὶ Κήρυκας καὶ Εὐμολπίδας ἐνταῦθά ἐστιν ἀκούειν, τὸ δὲ τοῦ Ἐρεχθέως βασιλεύειν. Ἰστέον δὲ ὅτι ἡ Ἕρσα[2] καὶ ἡ Πανδρόσα, αἱ τῆς Ἀγραύλου[3] ἀδελφαὶ, συνανεῖλον ἑαυτὰς τῇ ἀδελφῇ· ὅρκῳ γὰρ πρόσθεν ἑαυτὰς κατέλαβον κοινωνεῖν ἐν ἅπασι ταύτῃ.

Ἥνικ' ἂν ὁ καιρὸς καλοίη] In marg. Bar. 7. γρ. διδῷ. p. 204, D.

Τὴν θυγατέρα] Ap. Mon. et Leid. Θυγατέρα[4] p. 205, A. λέγει τὴν Ἄγραυλον, περὶ ἧς καὶ Δημοσθένης ἐν τῷ[5] παραπρεσβείας φησὶ· καὶ τὸν ἐν τῷ τῆς Ἀγραύλου τῶν ἐφήβων ὅρκον; Αἱ δὲ ταύτης ἀδελφαὶ συνανεῖλον ἑαυτὰς[6] τῇ ἀδελφῇ, ἥτε Ἕρσα καὶ Πανδρόσα[7], ὅρκῳ γὰρ

1) Demosthenis verba ex ipsa orat. restitui, quam vid. p. 284. ed. Sch., Ap. Mon. sic: ἐν τῷ κατὰ Ἀνδροτίωνος δικάζεσθαι, πρὸς Εὐμολπίδας φρ. π. τὸν βασιλέα. — 2) ἡ Ἕρσα, Cod. bomb. Ἔργα, sed Ἕρσα, quod habet infra Mon. et Leid., et Ἕρση in usu fuere, Ovidius modo Herse, modo Hersa, cf. Berk. ad Steph. Byz. p. 27 seq. — 3) Ἀγραύλου, sic constanter et infra apographa, Ἀγραύλη est in sch. ad Lysistr. 340. cf. Intt. ad Hyg. CLXVI. Vales. ad Not. Mauss. mavult Ἄγλαυρος, conf. p. 319. — 4) Θυγατέρα λέγει, forte Θυγατέρα ex Aristidis verbis irrepsit, et sic inchoandum schol.; λέγει τὴν Ἀγρ., certe Θυγ. deest in Leid. — 5) ἐν τῷ παραπρ., sic utrumq. Ap., Werferus mavult ἐν τῷ περὶ τῆς π. Audio, sed illud non alienum a scholiastarum more, qui Isocratem ἐν τῇ ἀντιδόσει, Demosthenem ἐν τῷ τῆς παραπρεσβείας, quin adeo ἐν τῷ παραπρεσβείας laudare soleant, schol. plat. p. 10. ed. St., Bekkeri Anecdota, Suid., alii passim. Quin ipse Aristid. t. II, p. 470 ed. Jebb. Apsines rhetor p. 696, 7, 707, 3 ed. Ald. cf. Hessii observ. ad Plut. Timol. p. 19. Demosthenis verba (pag. 112 ed. Sch.) ita leguntur in Apogr. καὶ τῶν τῶν ἐφήβου τῆς Ἀγραύλου ὅρκων, in Leid. ita: καὶ τῶν φήβου τῆς Ἀγραύλου ὅρκων. — 6) ἑαυτὰς, Leid. ἑαυτούς. — 7) Πανδρόσα, Leid. πολυδρόση cf. Creuz. Myth. et Symb. t. II, p. 401 et IV, 367, seqq. Steph. l. l. Πανδρόσος.

Digitized by Google

ἀλλήλας κατέκλεισαν [1] κοινωνῆσαι [2] ἐν ἅπασιν ἑαυταῖς.

ibid. Λέγεται γὰρ Ἐρεχθεὺς] Ap. Mon. et Leid. Τινὲς [3] ἐνόμισαν ὡς ξένου [4] αὐτὸν μεμνῆσθαι τοῦ Ἐρεχθέως διὰ τὸ πρὸ αὐτοῦ εἰρημένον· οὐκ ἔστι δὲ, ἀλλὰ περὶ πολιτῶν εἰπὼν ἄνω καὶ περὶ ξένων δύο, τρία ἐπάγει τὰ παραδείγματα, πολίτην μὲν τὸν Ἐρεχθέα καὶ τὰς θυγατέρας αὐτοῦ, ξένον δὲ τὸν Κόδρον εἰς βασιλείαν ξένον ὄντα οὕτως· Θυμοίτης ἐβασίλευσε τῆς Ἀττικῆς ἐκ Θησέως καταγόμενος, ἐφ' οὗ Βοιωτοὶ Ξάνθου ἡγουμένου αὐτῶν, ἐφιλονείκησαν πρὸς Ἀθηναίους περὶ χωρίου τινός, καὶ ἔδοξε [5] τοὺς ἐξ ἑκατέρων βασιλεῖς μονομαχῆσαι· ὁ Θημοίτης δὲ γεγηρακὼς καὶ μὴ δυνάμενος ἀγωνίσασθαι [6], Μελάνθῳ τινὶ Μεσηνίῳ [7], ἀπογονῷ τοῦ Νέστορος, παρεχώρησε τὴν βασιλείαν ἐπὶ τῷ μονομαχῆσαι· φανέντος δὲ τοῦ Διονύσου, ἐνεκάλει ὁ Μέλανθος τῷ Ξάνθῳ, ὡς μεθ' ἑτέρου μαχομένῳ· ἐκείνου δὲ στραφέντος ἐπὶ τῷ ἰδεῖν τὸν μεθ' ἑαυτοῦ, βαλὼν ὠνείλεν, ὅθεν τὰ Ἀπατούρια τὴν ἑορτὴν ἄγουσιν Ἀθηναῖοι· τοῦ δὲ Μελάνθου παῖς γίνεται Κόδρος. Cod. bomb. Τινὲς ἐνόμισαν ὡς ξένου αὐτὸν μεμνῆσθαι τοῦ Ἐρεχθέως διὰ τὸ πρὸ αὐτοῦ εἰημένον· οὐκ ἔστι δὲ, ἀλλὰ περὶ πολιτῶν εἰπὼν ἄνω καὶ ξένων, πρῶτον μὲν περὶ πολιτῶν διέξεισι τοῦ Ἐρεχθέως καὶ τοῦ Λεώ, εἶτα καὶ περὶ ξένων, τοῦ Κόδρου· ἔχει γὰρ ὧδε. Θυμοίτης [8] ἐβασίλευσε τῆς Ἀττικῆς ἐκ Θησέως καταγόμενος, ἐφ οὗ Βοιωτοὶ, Ξάνθου ἡγουμένου αὐτῶν ἐφιλονείκησαν πρὸς Ἀθηναίους περὶ χώρας τινὸς καὶ ἔδοξε τοὺς ἐξ ἑκατέρου βασιλεῖς μονομαχῆσαι· ὁ Θυμοίτης γηράσκων καὶ μὴ δυνάμενος μαχέσασθαι, Μελάνθῳ τινὶ

1) κατέκλεισαν, Leid. κατέκλησαν (sic). — 2) κοινωνῆσαι, Leid. κοινωνεῖν. — 3) Τινὲς ἐνόμισαν κ. τ. λ. Ap. τινὲς δὲ ἐνόμ., cum uno tenore hoc schol. et ad. τὴν θυγατέρα legerentur. — 4) ὡς ξένου κ. τ. λ., Mon. ὡς ξένους αὐτῶν μ. τοῦ Ἐρεχθέως δὲ τὸ κ. τ. λ. In Leidensibus excerptis desunt, quae pergunt: Θυμοίτης ἐβασ. — 5) ἔδοξε, sic Leid., Mon. ἔδοξὲ. — 6) ἀγωνίσασθαι, Leid. ἀγωνῆσ. — 7) Μεσηνίῳ, Leid. Μεσσ. — 8) Θυμοίτης, bomb. Θυμίλης constanter, sed vid. schol. plat. p. 48, p. 201. Etym. M. s. v. Κουρεῶτις, schol. ad Aristoph. Ach. 146. Vesp. 1233. Pac. 890. et Creuz. S. et M. t. III, p. 541.

Digitized by Google

Μεσηγίῳ, ἀπογόνῳ Νέστορος, πατρὶ δὲ Κόδρου παρεχώρησε τῆς βασιλείας ἐπὶ τῷ μονομαχῆσαι· συμμαχοῦντος δὲ Διονύσου τῷ Ξόνθῳ, ἐνεκάλει ὁ Μέλανθος ὡς μεθ' ἑτέρου μαχομένου· στραφέντος ἐκείνου ἐπὶ τῷ ἰδεῖν τὸν μεθ' ἑαυτοῦ, βαλὼν ἀνεῖλεν· ὅθεν τὰ Ἀπατούρια τὴν ἑορτὴν ἄγουσιν Ἀθηναῖοι, διότι ἀπατήσας αὐτὸν ἀνεῖλεν.

Καὶ οὗτος [1] *ἐν τῷ λοιμῷ* (Cant. *λιμῷ*)] Apogr. Mon. p. 205, B. *Λοιμοῦ ποτε καταλαβόντος τὰς Ἀθήνας, ἔχρησεν ὁ θεὸς μὴ πρότερον* [2] *παύσασθαι τὸ δεινὸν, πρίν τις τῶν πολιτῶν τὰ ἑαυτοῦ τέκνα ἐπιδῷ πρὸς ἀναίρεσιν. Λεώς δέ τις* [3] *ἔχων τρεῖς θυγατέρας, Φασιθέαν* [4]*, Θεοπόμπην, Εὐβούλην, προθύμως ἐπιδέδωκεν, ὅθεν αὐταῖς τὸ ἱερὸν ὠκοδομήθη τὸ καλούμενον Λεωκόριον.*

Κόδρῳ μὲν κ. τ. λ.] Apogr. Mon. *Τὸν μὲν γὰρ Μέ-* p. 206, A. *δοντα βασιλεὺς κατέστησε χωλὸν ὄντα καὶ μὴ δυνάμενον τῆς πατρίδος ἐξελθεῖν* [5]*, ὁ δὲ Νηλεὺς τῆς Ἰώνων* [6] *ἡγήσατο ἐν Μιλήτῳ, ἀδελφὸς ὢν αὐτοῦ, ἐπειδὴ δὲ ἐτεθνήκει Κόδρος, οἱ τούτου παῖδες τὴν δωρεὰν* [7] *ἐκομίσαντο.* Cod. bomb. *Τὸν γὰρ Μέδοντα βασιλέα κατέστησε τῆς πόλεως χωλὸν ὄντα καὶ μὴ δυνάμενον ἐξελθεῖν· Νηλεὺς δὲ ὁ ἀδελφὸς αὐτοῦ τῆς Ἰώνων ἀποικίας ἡγήσατο ἐν Μιλήτῳ.*

Τῶν δὲ κορῶν ἱερά] Supra in Cod. Schell. *Τὸ καλούμενον Λεωκόριον.* ibid.

Τὰ νικήσαντα] Phot. in marg. *Δόξαντα καλλίω λεχθῆναι.* p. 207, A.

Τριῶν [8] *γὰρ ἐθνῶν*] Apogr. Mon. *Αὔξει τὸν πό-* p. 207, B.

1) *Καὶ οὗτος κ. τ. λ.* Ad haec idem schol. legitur in Cod. bomb. — 2) *μὴ πρότερον κ. τ. λ.* ea sic bomb. *μὴ παύσεσθαι τὸ δεινὸν, πρὶν ἂν τῶν πολιτῶν τις . . .* — 3) *Λεὼς δέ τις*, bomb. *Λεώς τις.* — 4) *Φασιθέαν*, bomb. *Φρασιθέαν* (quam nonnulli *Πραξιθέαν* appellant, Vales. ad Harp. s. v. *Λεωκόριον*) *Θεοπόμπην καὶ Εὐβούλην.* — 5) *ἐξελθεῖν*, Ap. *διεξελθεῖν.* — 6) *τῆς Ἰώνων*, vel *τῶν Ἰώνων*, vel *τῆς Ἰώνων ἀποικίας*, ut est in bomb. — 7) *τὴν δωρεὰν*, Werferus ex Ap. *τὴν Δωρεὰν*, sed: Codro defuncto munus obtinuerunt, forte addendum *τὴν ἀρχὴν δ. ἐκ.*, summum imperium pro munere acceperunt. — 8) *Τριῶν γὰρ ἐθνῶν κ. τ. λ.* sublin. Valken., neque vero publicavit ad Herod. V, 71, ubi erat his locus.

Digitized by Google

λεμον εἰπὼν τριῶν ἐθνῶν τῶν μεγίστων εἰς ἓν γενομένων· ἡ δὲ ἐπὶ πρόθεσις ἀντὶ τῆς κατὰ ἐστὶν, ὡς καὶ παρὰ Δημοσθένει. Ἐν δὲ τῇ μάχῃ ταύτῃ ἡγεῖτο τοῦ στρατοῦ Δημάρατος, Λακεδαιμονίων βασιλεύς, λέγει δὲ καὶ ἐν τῷ [1] πρώτῳ τῶν Λευκτρικῶν τὴν ἱστορίαν· Κύλων δέ τις Ὀλυμπιονίκης καταλαβὼν τὴν ἀκρόπολιν ἐπολιορκεῖτο ὑπὸ τῶν Ἀθηναίων· εἶτα χρόνῳ οὗτος μὲν ἔφυγεν, οἱ δὲ πολιορκούμενοι μετὰ σπονδῶν ἠβουλήθησαν κατελθεῖν· κατελθόντας τούτους ἐφόνευσαν Ἀθηναῖοι καὶ ἐκ τούτου ἐκλήθη τὸ γένος τῶν ἐναγῶν, ἐξ ὧν εἷς ἦν καὶ ὁ Κλεισθένης. Μετὰ τὸ ἐκβληθῆναι τοὺς ἐναγεῖς ἐπιχειροῦντος καὶ τὴν βουλὴν διαφθείρειν Κλεομένους, ἐξέβαλον τοῦτον Ἀθηναῖοι· ὀργισθεὶς ἐκεῖνος στρατεύεται κατὰ Ἀθηναίων μετὰ Δημαράτου, Λακεδαιμονίους συμμάχους προσειληφὼς, Βοιωτοὺς, Εὐβοέας, Κορινθίους· εἶτα οἱ Κορίνθιοι, ὡς ἅτε δὴ εὐσεβεῖς, ἤρξαντο ἀναβάλλεσθαι τὴν συμμαχίαν, φάσκοντες μηδὲν ἠδικῆσθαι ὑπ' Ἀθηναίων. Λεγόντων τούτων ταῦτα καὶ οἱ ἄλλοι σύμμαχοι, οἱ μὲν ἐπείθοντο, οἱ δ' οὐ, καὶ ὁ Δημάρατος δὲ τῶν μὴ βουλομένων πολεμεῖν τοῖς Ἀθηναίοις ἐτύγχανε. Τέλος γοῦν στασιαζόντων τῶν συμμάχων, οἱ μὲν Λακεδαιμόνιοι ἀνεχώρησαν, οἱ δὲ Ἀθηναῖοι τῶν μὲν Λακεδαιμονίων ἐφείσαντο ὡς μὴ συγχωρησάντων γενέσθαι τὸν πόλεμον, τοὺς δὲ Εὐβοέας καὶ Βοιωτοὺς ἐν τῇ αὐτῇ ἡμέρᾳ κατηγωνίσαντο· διὸ [2] καὶ οἱ Λακεδαιμόνιοι ἐπολέμησαν τοῦς δώδεκα βασιλεῖς. Cod. bomb. . . . . Ἔστι [3] δὲ αὕτη· Ἐπιχειροῦντος τὴν βουλὴν διαφθείρειν [4] Κλεομένους [5], ἐξήλασαν τοῦτον Ἀθηναῖοι· ὀργισθεὶς ἐκεῖνος στρατεύεται κατὰ Ἀθηναίων, Λακεδαιμονίους συμμάχους προσειληφὼς, ὧν ἦρχε Δημάρατος,

1) *ἐν τῷ πρώτῳ τῶν Λευκτρικῶν*, p. 121, ed. Steph. — 2) *διὰ καὶ οἱ κ. τ. λ.* ea quae sibi velint, nescio. — 3) *Ἔστι δὲ αὕτη*, et puncta, quae praemittuntur, et vocula *αὕτη* satis arguunt, una cum plurimis excidisse vocem *ἱστορία*, quae supra legitur in Apogr.; demtis et capite et calce nil nisi truncus restitit. — 4) *διαφθείρειν* hoc loco non est corrumpere, sed dissolvere, *καταλύειν*, qua voce utitur hac in re Herod. V, 72. — 5) *Κλεομένους*, bomb. *Κλεισθένους*, vid. Herod. l. l.

Digitized by Google

καὶ Εὐβοέας· εἶτα οἱ μὲν Λακεδαιμόνιοι ἀναβαλλόμενοι τὴν συμμαχίαν ἀνεχώρησαν, οἱ δὲ Ἀθηναῖοι τῇ αὐτῇ ἡμέρᾳ τῶν μὲν Βοιωτῶν συμβαλόντες ἐν τῇ Ἀττικῇ ἐκράτησαν, πρὸς δὲ τὴν Εὔβοιαν στρατὸν πέμψαντες τούς τε Εὐβοέας κατεστρέψαντο καὶ τὸκεῖνη κατακράτος διέφθειραν.....

Ἐπιθεμένων 1)] Apogr. Mon. et Leid. Ἱππάρχου, τοῦ Πεισιστράτου υἱοῦ, τελευτήσαντος ὁ ἀδελφὸς τούτου Ἱππίας, ὡμῶς ἐκράτει τῶν Ἀθηναίων· μὴ φέροντες τούτου τὴν βίαν οἱ Ἀλκμαιωνίδαι ἐξῆλθον ἐκ τῆς Ἀττικῆς, ὧν εἷς ἦν καὶ Κλεισθένης, ὃς τὴν Πυθίαν, τουτέστιν 2) τὴν ἐν Δελφοῖς ἱερείαν, παρεκάλει ἐπὶ τῷ χρῆσαι τοῖς Λακεδαιμονίοις, βοηθῆσαι ταῖς Ἀθήναις, πολέμων 3) (sic) τοῖς τυράννοις. Λαβόντες τοίνυν τὸν χρησμὸν Λακεδαιμόνιοι ἀπέστειλαν κατὰ τῶν τυράννων δευτέραν βοηθείαν μετὰ Κλεομένους ἄρχοντος, ὃς συμβαλὼν νικᾷ τοὺς περὶ Ἱππίαν. Κατ' ἐκεῖνο τοίνυν καιροῦ ἀντεπολιτεύοντο ἀλλήλοις Κλεισθένης, ὁ Ἀλκμαιωνίδης, καὶ Ἰσαγόρας, ὃς μετεκαλέσατο 4) Κλεομένην πρὸς συμμαχίαν κατὰ Κλεισθένους, καὶ γὰρ ἐτύγχανε μοιχεύων τὴν τοῦ Ἰσαγόρου ὁ Κλεομένης· βουλόμενος οὖν ἐκβάλλειν τὸν Κλεισθένην ἀπὸ τῆς πόλεως ὁ Κλεομένης, ἀναγορεύει πάντας τοὺς ἐναγεῖς ἐκβληθῆναι τῆς πόλεως, οἵτινες τούτῳ τῷ τρόπῳ ἦσαν ἐναγεῖς, ᾧ ἀνωτέρω εἰρήκαμεν τῷ 5 τοῦ Κύλωνος. ibid.

Τὸ μὲν αὐτῷ φυγῆς] Apogr. Mon. et Leid. Τὸν πόλεμον λέγει, ὃν Ἡρόδοτος ἱστορεῖ πρὸ τοῦ Μηδικοῦ γενόμενον· ἡ δὲ ἱστορία αὕτη. Πελοποννήσιοι καὶ Εὐβοεῖς καὶ Βοιωτοὶ κατὰ Ἀθηναίων ἐστρατεύσαντο· οἱ δὲ Κορίνθιοι ibid.

1) Ἐπιθεμένων subl. Valken. et principium hujus schol. ex Leid. in vulg. edidit ad Herod. V, 65. usque ad ταῖς Ἀθήναις, quibus quae adduntur praetermissa a Valk. innuit Creuz. melet. I. p. 65. — 2) τουτέστιν τὴν ἐν Δελφ. κ. τ. λ. sequutus sum Valk. l. l., de confusis ἀδελφοῖς et ἐν Δελφοῖς vid. Valk. et Wessel. ad V, 72. et Viros d. ad Greg. Cor. p. 344. Werf. ἐν Δελφοῖς, τὴν forte ab τιν, in quam syllabam exit τούτεστιν, absorptum. — 3) πολέμων, vel πολεμοῦντας vel καὶ πολεμεῖν, πολέμῳ nimis durum. — 4) μετεκαλέσατο, Mon. κατεκαλέσατο. — 5) τῷ τοῦ Κύλωνος, a nescio quo adjecta forte.

Digitized by Google

ἄδικον τὸ πρᾶγμα νομίσαντες ἔπεισαν Λακεδαιμονίους καὶ ἀνεχώρησαν· φυγὴν[1] οὖν ἀναλεῖ τὴν ἀναχώρησιν.

p. 207, C. Βοιωτοὶ δὲ] Apogr. Mon. et Leid. Ὁ Ἡρόδοτος ἐν τῇ πέμπτῃ βίβλῳ μετὰ τὸ διηγήσασθαι τὰ κατὰ[2] τὸν Κλεισθένην καὶ ὅτι ὑπὸ Κλεομένους ἐξηλάθη, ἐπιφέρει ὅπως ἐντιπαραταξαμένων Ἀθηναίων Λωριεῖς μὲν ἀνεχώρησαν, οὐ δίκαια γνόντες ποιεῖν, Ἀθηναῖοι δὲ Βοιωτοῖς ἐπελθόντες ὅπως αὐτοὺς νικήσαντες καὶ ὁποίας ἀπαιτήσαντες δίκας, καὶ Χαλκιδέας τῆς αὐτῆς ἡμέρας, ἀνέθησάν τε τὰς πέδας ἐν τῇ ἀκροπόλει αἷς τοὺς αἰχμαλώτους ἔδησαν, καὶ χαλκοῦν τέθριππον ἀπότισιν τῶν λύτρων.

p. 208, A. Τὸ μὲν] Apud' Phot. in m. Τὸ Ἑλληνικόν.

ibid. Τὸ δὲ] Ibid. Τὸ βαρβαρικόν

p. 208, B. Καθάπερ τοὺς εἰωθότας] In marg. Schell. Τὰ Ὀλύμπια, τὰ Πύθια.

p. 208, C. Οἱ ὕστερον διαβάντες εἰς Ἀσίαν] Apogr. Mon. Εἰς τοὺς Λακεδαιμονίους αἰνίττεται· νικήσαντες γὰρ τὸν πελοποννησιακὸν πόλεμον, καὶ τῆς Ἀσίας ἠβουλήθησαν κρατῆσαι, ὡς[3] καὶ Ἰσοκράτης ἐν τῷ Εὐαγόρᾳ εἶπε. In marg. Schell. Λακεδαιμόνιοι νικήσαντες πελοποννησιακὸν πόλεμον ἠβουλήθησαν κρατῆσαι καὶ τῆς Ἀσιάς.

p. 209, A. Τέως[4] δὲ ἐν Βαβυλῶνος τάξει] Cod. bomb. Τὸ τείχη γὰρ αὐτῆς πρὸς ἔκπληξιν ἄγει, οὐ μόνον τοὺς θεωμένους, ἀλλὰ καὶ τοὺς ἀκούοντας, ὥσπερ καὶ τὰ ἐν Ἰνδοῖς θεάματα, ἐλέφαντες καὶ μύρμηκες καὶ ὅσα τοιουτότροπα.

p. 214, A. Τῷ διαφθεῖραι τοὺς ἀγγέλους] In marg. Schell. Ἐμ-

1) φυγὴν οὖν κ. τ. λ. desunt in Leid. excerptis. — 2) τὰ κατὰ τὸν Κλ., Leid. τὰ μετὰ τ. Κλ. Reliqua inde ab καὶ Χαλκιδέας κ. τ. λ. publicavit Valk. ad Herodot. V, 77. pro τοὺς παῖδας corrigens πέδας (in excerptis Leid. autem diserte legitur πέδας), pro χαλκεῖς τεθρίππου, quod est in utroque Apogr., χαλκοῦν τέθριππον. In Apogr. Mon. punctum post ἡμέρας abest. — 3) ὡς καὶ Ἰσοκράτης ἐν τῷ Εὐαγ., p. 534. ed L. Ceterum idem schol. legitur in bomb., qui pro εἶπε exhibet φησί. Subl. Valken. — 4) Τέως δὲ ἐν Βαβ. τ., quae statim adjiciuntur, τῶν ἐν Ἰνδοῖς, ea Valk. sublin.

Digitized by Google

βαλόντες γὰρ εἰς φρέαρ κατέχωσαν, δόντες αὐτοῖς ὕδωρ καὶ γῆν.

Τῷ[1] δ' ἑρμηνεύσαντι] Apogr. Mon. Οὗτος ὁ ἑρμηνεὺς Σάμιος ἦν, ἄποικος δὲ τῆς πόλεως, τὴν Περσίδα γλῶσσαν ἐπιστάμενος· τινὲς δὲ λέγουσιν, ὅτι τὸ μὲν κύριον ὄνομα ἐκαλεῖτο Μῦς, τὸ δὲ ἐθνικὸν[2] Σάμιος. Cod. bomb. Οὗτος ὁ ἑρμηνεὺς Μῦς μὲν ἐκαλεῖτο, ἐν Σάμῳ δὲ κατῴκει· ἄποικον δὲ τοῦτον λέγει ἢ ὅτι[5] τὸ ἀνέκαθεν Ἀθηναῖος ὢν ἐλθὼν εἰς Σάμον κατῴκησεν ἢ ὅτι οἱ Σάμιοι ἐξ Ἀθηναίων ἀπωκίσθησαν· ἠπίστατο δὲ τὴν Ἑλλάδα γλῶτταν καὶ τὴν Περσίδα, διὸ καὶ Δαρεῖος ἄκοντα τοῦτον μετὰ τῶν κηρύκων Ἀθήναζε ἔπεμψεν. In marg. Schell. Τὸν ἑρμηνέα οἱ μὲν καλοῦσι Μῦν, οἱ δὲ Σάμιον. Penes Phot.[4] Ὁ ἑρμηνεὺς ὁ ἀναιρεθεὶς Σάμιος ἦν τὸ γένος, τοὔνομα[5] (δὲ) Μῦς. p. 211, B.

Διὰ χειροτονίαν] Supra in Schell. Διάσκεψιν[6]. ibid.

Οὖ[7] τὸ διαλλάττον] Cod. bomb. Οἱ μὲν τῶν ἱστορικῶν μ' μυριάδας εἶναι τὸν Δαρείου φασὶ στρατὸν, οἱ δὲ μ'στ· λέγει οὖν τὴν τοιαύτην διαφορὰν μέγιστον ὄρον στόλου, οὐ γὰρ ὀλίγος στρατὸς αἱ ἐξ μυριάδες. Ἀθηναῖοι δὲ πρὸς τοσοῦτον πλῆθος χιλίους μόνους ἔπεμψαν, ἐπιστήσαντες αὐτοῖς στρατηγοὺς Πολύζηλον[8], Καλλίμαχον, Κυναίγειρον, Μιλτιάδην καὶ ἑτέρους στ· γενομένης δὲ τῆς παρατάξεως, Πολύζηλος μὲν ὡς ἄνθρωπον φαντασίαν[9] θεα- p. 212, A.

1) Τῷ δ' ἑρμηνεύσαντι κ. τ. λ. Werferus ita: Schol. ad οὗτος ὁ ἑρμηνεύς, quae cum Aristidis non essent, ipsi scholio praefixi, eo magis, quod ab iisdem inchoaret Cod. bomb. — 2) τὸ δὲ ἐθνικὸν, Apogr. ἐθνικός. — 3) ἢ ὅτι κ. τ. λ., Cod. b. sic: ἢ ἢ ὅτι κ. τ. λ. — 4) scholion penes Phot. adscribitur ad ἑρμηνέα τῇ φύσει, quae item sublin. Valken., ego illuc retuli. — 5) τοὔνομα (δὲ) Μῦς, δὲ in Phot. insertum. de nomine hujus interpretis Samii vide Wessel. ad Herod., VIII 133. — 6) Διάσκεψιν, f. διὰ σκέψιν. — 7) οὐ τὸ δ., subl. Valk., Werferus adscripsit hoc schol. ad δίδωσι πλῆθος τῆς στρατιᾶς. — 8) Valken. ad Herod. VI, 114. » de Callimacho non nominato vide Aristid. Panath. I, 216, schol. ibi mscr. et Cynaegiri facinus enarrat et Callimacho quid evenerit. « Vide ibid. Virum doctiss. de Πολυζήλῳ, qui in Herodoto audit Ἐπιζήλος. — 10) φαντασίαν, Cod. φαντάσαν, Werfero dubitandi signum adpingente, f. φάντασμα.

Digitized by Google

σάμενος τὴν ὅρασιν ἀπέβαλε καὶ τυφλὸς ὢν ἀνείλεν ὀκτὰ καὶ τεσσαράκοντα· Κυναίγειρος δὲ περσικὴν ναῦν κατασχὼν ἐχειροκοπήθη, εἶτα πάλιν κατασχὼν τοῖς ὀδοῦσιν ἀφηρέθη τὴν κεφαλήν· Καλλίμαχος δὲ πολλοῖς πεπαρμένους βέλεσι καὶ νεκρὸς ἵστατο, ὅθεν πρὸς τούτους ὑπὸ Παντελείου [1] τοιάδε γεγράφθαι λέγεται·

Ὦ κενεοῦ καμάτοιο καὶ ἀπρήκτου πολέμοιο·
Ἡμετέρῳ βασιλῆϊ τί λέξομεν ἀντιάσαντες;
Ὦ βασιλεῦ, τί μ' ἔπεμπες ἐπ' ἀθανάτους πολεμιστάς;
Βάλλομεν, οὐ πίπτουσι· τιτρώσκομεν, οὐ φοβέονται·
Μοῦνος ἀνὴρ σύλησεν ὅλον στρατόν· ἐν δ' ἄρα μέσσῳ
Αἱματόεις ἔστηκε σιδηρείαις ὑπὸ ῥίζαις
Αἱματόεις ἔστηκεν ἀτειρέος Ἄρεος εἰκών.
Κοὐκὶ [3] θέλει πεσέειν, τάχα δ' ἔρχεται ἔνδοθι νηῶν·
Λῦε, κυβερνῆτα, νέκυος προφύγωμεν [4] ἀπειλάς.

Ἰστέον δὲ, ὅτι δέκα ὄντες, ὡς ἔφαμεν [5], οἱ στρατηγοὶ καθ' ἑκάστην ἡμέραν [6] εἷς ἕκαστος ἐστρατήγει· ἔλαχεν οὖν, ὅτε ἡ τροπὴ τῶν βαρβάρων ἐγένετο, Μιλτιάδης στρατηγῶν καὶ διὰ τοῦτο τὸ πᾶν τῆς νίκης εἰς μόνον τοῦτον στρατηγῶν ἀνετέθη.

p. 212, C. Ἀποστεροῦντες] Apogr. Mon. Ὡς [7] καὶ Ὅμηρος·

Ἵπποι γάρ με παρήϊξαν. . . . .

p. 213, B. Ἐκ τοῦ [8] πελάγους] Apogr. Mon. Ἢ διὰ τὸν λοιμὸν, ὃν φησι Θουκυδίδης [9] διὰ τοῦ πελάγους ἐκπεσεῖν πρῶτον εἰς τὸν Πειραῖα.

p. 213, C. Πόμπην ἀγούσῃ] In marg. Schell. Ἐν γὰρ ταῖς πα-

1) *Παντελείου*, in Brunckii Anal. t. II, p. 404. est *Παντελέου*. In Anal. l. l. vers. 6 et 7. ita leguntur:

Αἱματόεις ἔστηκεν ἀτειρέος Ἄρεος εἰκών·
Δένδρον δ' ὣς ἔστηκε σιδηρείαις ὑπὸ ῥίζαις.

2) *εἰκών*, Cod. *εἶκων*. — 3) *Κοὐκὶ θέλει*, apud Br. *Κοὐκ ἐθέλει*. — 4) *προφύγωμεν*, Cod. *προσφύγωμεν*. — 5) *ὡς ἔφαμεν*, Cod. *ἔφημεν*. — 6) *καθ' ἑκάστην*, Cod. *καθεκάστην*. — 7) *ὡς καὶ Ὅμηρος*, Iliad. XI, 615. Apographum, veluti clausulam hexametri sic exhibet: *παρήϊξαν δέ με ἵπποι*. Valken. sublineavit vocem *ἱπερηχοῦντες*, quae proxime praecedit. — 8) *Ἐκ τοῦ πελάγους*, sublin. Valken. — 9) *Θουκυδίδης*, II, 48.

Digitized by Google

νηγύρεσιν ἕκαστος τῶν στρατιωτῶν τὸ ἕδ' [1] (sic? f. *ἑόρτιον*) *φορῶν σχῆμα ἐπόμπευσεν.*

Ἀνέφγε[2]] In marg. Schell. *Ἔθος γὰρ ἦν ἐν ταῖς* p. 213, D.
ἐφόδοις τῶν πολεμίων κλείειν τὰ ἱερά.

Ἱερέων γένη] Ibid. *Κήρυκας καὶ Εὐμολπίδας αἰνίτ-* ibid.
τεται.

Διεπρεσβεύετο[3] *πρὸς τοὺς θεούς*] Ibid. *Τὰς ἀρ-* ibid.
χὰς πρεσβείαν ἐκάλουν, ὡς πρὸς ὁμοίους.

Ἀρχαῖον τρόπον] Ibid. *Ὃν Ὅμηρος καὶ οἱ κατ' ἐκεῖ-* ibid.
νον ἐποίουν.

Καλοῦσα] Cod. Schell. *Τοὺς θεούς.* p. 214, A.

Ἔπειτα[4] *κρείττους*] Apogr. Mon. *Τοῦτο εἶπεν,* p. 214, B.
ἐπειδὴ εἰώθασιν οἱ ἄνθρωποι περὶ μὲν τὰς ἀρχὰς ὀξεῖς εἶναι, πρὸς δὲ τὸ τέλος ἀμβλύτεροι, καὶ ὁ Θουκυδίδης[5] *ἀρχόμενοι γὰρ ἅπαντες ὀξύτερον ἀντιλαμβάνονται.*

Τῶν ἄλλων[6] *ἐφολκίων*] Apogr. Mon. *Κατεχρήσατο* ibid.
ἐφολκίων εἰπὼν ἐπὶ γῆς· κυρίως γὰρ ἐφόλκια καλοῦνται τὰ μικρὰ σκαφίδια τὰ ἑφελκόμενα τοῖς μεγάλοις πλοίοις.

Χρείας] Apogr. Mon. *Οἷον ἵππων, καμήλων, ψυ-* p. 214, C.
χαγωγίας δὲ, κυνῶν Ἰνδικῶν καὶ ὀρνέων, τῶν τοιούτων.

Ὑπερβαλόντες[7]] Apogr. Mon. *Παρὰ τοὺς πολε-* ibid.
μίους ἐλθόντες.

Ὑπερηφανία] Apogr. Mon. *Ὁ μὲν Πλάτων τὸ τῆς* ibid.
ὑπερηφανίας καὶ ἐπὶ καλοῦ λαμβάνει, σημαίνων τὸ μέγε-

1) *τὸ ἑ'δ'*, repraesentavi Codicis scripturam, in qua forte latet *τὸ δεόν*. — 2) *Ἀνέφγε*, sic Schell. et Thom. Mag. p. 71., ad quem loc. Clarissimus Oudendorpius ab editore anglico inepte *ἀνῄωγε* expressum ait. Sublin. Valk. — 3) *Διεπρεσβεύετο*, subl. Valk. 4) *Ἔπειτα κρείττους*, sublin. Valk. atque idem schol. legitur in bomb., ubi omittitur *οἱ* ante *ἄνθρωποι*, *εἶναι ὄξεις* pro *ὀξεῖς εἶναι* legitur et *ὥσπερ φησὶ ὁ Θουκυδίδης*. — 5) Thucydidis locus non praesto erat, neque continetur in collectione sententiarum polit. et moral., quam priori suae editionis volumini inseruit praestantissimus Em. Poppo; a lectore me edoctum velim. — 6) *τῶν ἄλλων ἐφολκίων κ. τ. λ.* significat scholion Creuzerus V. D. ad Plotin. p. 252. ubi alterum scholion, multo hoc locupletius, ad Platon. orat. editum est. — 7) *Ὑπερβαλόντες*, quae ad h. v. leguntur, adprime adposita erant ad proxime praecedentia, sic fere: *ὀρνέων, τῶν τοιούτων ὑπερβαλόντες παρὰ κ. τ. λ.*

Digitized by Google

θος. Coll. Nov. Ἡ περιφάνεια, in marg. γρ. ὑπερηφανία.

p. 215, C. Παιῶνος [1] (sic Jebb., al. Παιᾶνος)] Cod. bomb. Οὐ μόνον ὁ ἐπὶ ἀφέσει λοιμοῦ ἀδόμενος πρὸς Ἀπόλλωνα ὕμνος παιὼν λέγεται, ἀλλὰ καὶ ἁπλῶς πᾶς ὁ πρὸς θεοὺς ὕμνος καὶ ὁ πρὸς ἀνθρώπους· τινὲς δὲ καὶ ᾆσμα πολεμικὸν ἐνταῦθά φασι τὸν παιῶνα νοεῖσθαι· εὕρηται δὲ οὐ μόνον παιὰν, παῖανος, ἀλλὰ καὶ παιών, παιῶνος.

p. 216, A. Θέοντες [2]] Apogr. Mon. Καὶ Ὅμηρος·

Τυδείδην δ' οὐκ ἂν γνοίης.

ibid. Τάξεις ἐῤῥώγεσαν] Apogr. Mon. Τουτέστι συνεπλέκοντο καὶ συνέβαλλον· καὶ [3] ὁ Θουκυδίδης, οὐ μέντοι ὅ γε πόλεμός πω ξυνεῤῥώγει· οἱ δὲ ἀντὶ τοῦ συνῆπτο.

ibid. Νῆες [4] εἵλκοντο] Apogr. Mon. Δηλοῖ τὸν Κυναίγειρον, ὃς φεύγουσαν κατέσχε τὴν Δάτιδος ναῦν καὶ ἀποβαλὰν [5] τὴν δεξίαν ἥπτετο τῇ εὐωνύμῳ καὶ πάλιν καὶ αὐτῆς ἀφαιρεθεὶς κατεῖχε τῷ στόματι, ἕως ἀπετμήθη καὶ τὸν τράχηλον. Cod. bomb. Τὸ νῆες εἵλκοντο λέγει διὰ τὸν Κυναίγειρον· οἵτος γὰρ ἀγομένην τὴν Δάτιος [6] ναῦν κατασχὼν ἐχειροκοπήθη, ὡς πρόσθεν [7] ἔφαμεν. Τὸ δὲ χορεία Πανὸς κ. τ. λ. vide infra.

ibid. Χορεία Πανὸς] Apogr. Mon. et Leid. Ζητεῖται [8],

1) Παιῶνος, sic bomb., Ap. παιᾶνος, (unde expressit Werf., apponens scholion, quod pertinet ad Θέοντες, vide paullo infra), utrumque Schell., qui ab ead. man. παιῶνες (sic). Cfr. in eam rem Thom. Mag. p. 670. qui ipsum hunc Aristidis l. laudat, ibique intt.; his adde schol. ad Eurip. Phoen. 1109, qui nostro hoc loco legit παιῶνος, ibiq. Valk. et eund. ad Hippol. 1371, Ruhnk. ad Tim. p. 202, nec non schol. ad Thucyd. I, 50 ibiq. Intt., qui si vera tradidit cum dicit priorem cantum bellicum ἀπο Ἄρεως ἄρξασθαι, alterum demum ἀπὸ Ἀπόλλωνος, sequitur, ut Canterus male verterit: et amico orsi Apolline. — 2) Θέοντες, huc referendus Homeri ex Iliad. V, 85 versiculus, non ad παιῶνα, ut fecit Werferus. — 3) καὶ ὁ Θουκυδίδης, I, 66. Apogr. συνεῤῥώγει, reliqua sine div. Subl. Valken. — 4) Νῆες εἵλκοντο subl. Valk. — 5) ἀποβαλὼν Apogr. ἐπιβαλὼν. — 6) Δάτιος, sic bomb., cujus in vicem nolui substituere Δάτιδος. — 7) πρόσθεν ἔφαμεν, bomb. ὄπισθεν ἔφημεν. — 8) Utrumque Apogr. ita: ζητεῖται διατί (Mon. διὰ τί) μὴ εἶπε ἄλλου θεοῦ χορείαν λεγομένην· ὅτι ἐμιμοῦντο τὸν Πᾶνα sic Leid., Mon. πάντα) χορεύοντα·

Digitized by Google

διατί μὴ εἶπε ἄλλου θεοῦ χορείαν; λέγομεν, ἢ ὅτι ἐμιμοῦντο τὸν Πᾶνα χορεύοντα, ἢ διότι καὶ ὁ Πὰν αὐτοῖς συνεπολέμησε, οἱονεὶ καὶ ὁ Πὰν ἐχόρευε· λέγεται γὰρ ὅτι ἐπιόντων τῶν Περσῶν ἔπεμψαν οἱ Ἀθηναῖοι πρὸς Λακεδαιμονίους Φιλιππίδην τὸν ἡμεροδρόμον· ἐν Ἀρκαδίᾳ δὲ ἐν Παρθενίῳ ὄρει ὁ Πὰν συναντήσας αὐτῷ εἶπεν, ὅτι τῇ μάχῃ παρέσομαι· εἰπὲ[1] δὲ Ἀθηναίοις τιμᾷν με. Λακεδαιμόνιοι μὲν οὖν, οὐκ ἦλθον διὰ τὴν πανσέληνον, μόνοι δὲ Ἀθηναῖοι μετ' ὀλίγων Πλαταιῶν[2] συνέβαλλον. Cod. bomb. exposito Cynaegiri facinore, (vide supra) ita pergit: Τὸ δὲ χορεία Πανὸς νοητέον, ἢ διότι καὶ ὁ Πὰν αὐτοῖς συνεμάχει· φασὶ γὰρ ἐπιόντων τῶν Περσῶν πέμψαι τοὺς Ἀθηναίους πρὸς Λακεδαιμονίους Φιλιππίδην τὸν ἡμεροδρόμον· ἐν Ἀρκαδίᾳ δὲ ἐν τῷ παρθενίῳ ὄρει συναντήσας αὐτῷ ὁ Πὰν εἶπεν· ὅτι τῇ μάχῃ παρέσομαι· εἰπὲ δὲ Ἀθηναίοις τιμᾷν με[3]· ἢ ὅτι ταύτην τέρψιν εἶχον τοὺς βαρβάρους φονεύοντες, οἷα ἐστὶν ὁπότε ὁ Πὰν χορεύει· Λακεδαιμόνιοι μὲν οὖν οὐκ ἦλθον διὰ τὴν πανσέληνον, μόνοι δὲ Ἀθηναῖοι μετ' ὀλίγων Πλαταιέων συνέβαλον.

Τὰ ποιούμενα] In marg. Schell. Τὰ γιγνόμενα. ibid.

Καὶ τρόπαια[4]] Cod. bomb. Μέγιστον λίθον ἐν ταῖς αὐτῶν ναυσὶν οἱ Πέρσαι ἐκ Σούσων ἔφερον, ἵνα τρόπαιον ἐγείρωσι κατ' Ἀθηναίων[5], ὁμολογουμένην τὴν νίκην ἐλπίζοντες, ὧν Ἀθηναῖοι λαβόντες Νεμέσεως ἄγαλμα ἐν Μαραθῶνι ἔστησαν εἰς ἔλεγχον καὶ μέμψιν τῶν βαρβάρων. p. 216, B.

ἤτοι ὅτι καὶ ὁ Πᾶν (sic Leid., Mon. ὁ πάντα) αὐτοῖς συνεπολέμη (sic Leid. Mon. συνεπολέμησε, in Leid. f. συνεπολέμει), οἱονεὶ καὶ ὁ Πὰν (sic Leid., Mon. recte ὁ Πὰν, de quibus confusis vid. d'Orvill. vann. crit. p. 51. seqq.) ἐχόρευε. Post ἐχόρευε desinunt excerpta Leidensia, quibus haec addidit Creuzerus V. D. Sequitur historia de Philippide cursore, cui Pan dixerit se in pugna Plataeensi opitulaturum Atheniensibus. — 1) εἰπὲ, Apogr. εἶπε, sed εἰπὲ jam dudum est, ex quo edidit Valken. ad Herod. VI, 105. Φιλιππίδην nostri constanter, non Φειδιππίδην, quae vox, etsi sana per se, forte exstitit ex jotacismo et confusis litteris Δ et Λ., cf. Wesseling. l. l. — 2) Πλαταιῶν, Ap. Πλαταίων. — 3) τιμᾷν με· ἢ κ. τ. λ. bomb. τιμᾷν με, καὶ κ. τ. λ Possis item ἢ καὶ ὅτι, si magis credideris ἢ latere in με. — 4) καὶ τρόπαια, subl. Valk. — 5) κατ' Ἀθην., post vocem Ἀθηναίων immisi virgulam, quae derat in Cod., referendum ad ea, quae praecedunt.

Digitized by Google

p. 216, C. Ἦρκουν ἐν νοτίῳ] Apogr. Mon. Ἀντὶ τοῦ ἐν διύγρῳ, ὅ ἐστιν ὑδατώδει[1]· καὶ ὁ Θουκυδίδης· ὁπότε χειμὼν εἴη νοτερός, ἀντὶ τοῦ δίυγρος καὶ ὑδατώδης. Cod. Schell. Ἓν διύγρῳ, ὑδατώδει· καὶ ὁ Θουκυδίδης· ὁπότε χειμὼν εἴη νοτερός.

p. 217, C. Ὥσπερ ἐλευθέριον τοῖς Ἕλλησιν] In marg. Photii: Ἐλευσῖνα τοῖς ἄλλοις, forte varia lectio.

ibid. Κατὰ γένος] Supra in Schell. Καθόλου.

ibid. Νεανικώτερον] In marg. Schell. Τολμηρότερον.

p. 218, A. Ἀντὶ κρηπῖδος[2] (Jebb. κρηπᾶδος, per typothetae opinor errorem)] Apogr. Mon. Ἀντι ἀρχῆς καὶ ῥίζης, ὅτι δεῖ βαρβάρων καταφρονεῖν.

Ἀκμᾶς ἑστακυῖαν ἐπὶ ξυροῦ Ἑλλάδα πᾶσαν
Ταῖς αὐτῶν ψυχαῖς κείμεθα ῥυσάμενοι.
Παῖδες Ἀθηναίων, Περσῶν στρατὸν ἐξολέσαντες,
Ἥρεσαν ἀργαλέην πατρίδι δουλοσύναν.

ibid. Προτελεσθεῖσα] In marg. Schell. γρ. προτεθεῖσα.

p. 218, B. Οὕτω[3] διήνεγκεν] Ap. Mon. Ἀντὶ τοῦ ἤνυσε[4], Θουκυδίδης· ὡς[5] δὲ εἰπεῖν, τὸν πόλεμον διέφερον.....

ibid. Παραιτησάμενον] Supra in Schell. Ἐξιλεωσάμενον.

p. 218, C. Οἶμαι[6] μὲν οὖν] Apogr. Mon. Ἐντεῦθεν ἄρχεται τῆς ἀνακεφαλαιώσεως τῶν εἰρημένων, ἥ τις[7] τυγχάνει μερικὴ κατὰ μίμησιν Δημοσθένους· καὶ γὰρ κἀκεῖνος ἐν τῷ περὶ παραπρεσβείας διὰ τὸ μῆκος τοῦ λόγου κατὰ μερὸς μερικὴν ποιεῖται ἀνακεφαλαίωσιν, ἀναμιμνήσκων συντόμως τῶν

1) ὑδατώδει Apogr. ὑλατώδει, Thucydidis locus rectius laudatur, quam supra, ad 167, B. Sublin. Valken. Ἦρκουν ἐν νοτίῳ. — 2) Ἀντὶ κρηπῖδος, sublin Valk., sed non memorat ad Herod. VI, 11. sunt autem duo epigrammata, cf. Gaisf. in poett. minorr. t. I, p. 371, unde recepi doricum δουλοσύναν pro δουλοσύνην, quod erat in Apogr. Excidit forte post priores duo versiculos vocula Καὶ, quae alibi inseritur. — 3) Οὕτω διήνεγκεν, subl. Valk. — 4) ἤνυσε, Apogr. ἤνησε. — 5) ὡς δὲ εἰπεῖν, locus corruptus legitur, f. ὡς δὴ εἰπὼν vel ὃς δὲ εἶπεν, *is vero dixit*, id quod plus semel noster occupavit. — Thucydides autem passim hac ῥήσει usus est, cf. Intt. ad I, 11. Duk. ad VI, 54. — 6) Οἶμαι μὲν οὖν, subl. Valken. — 7) ἥ τις, Apogr. εἴ τις.

Digitized by Google

εἰρημένων τὸν ἀκροατήν. Cod. bomb. Τὸ μὲν ἐνταῦθα[1] πρὸς τὸ οὐ μὴν (p. 219, B.) ἔχει τὴν ἀπόδοσιν· ἐπεὶ δὲ μέλλει τῆς ἐν Σαλαμῖνι ναυμαχίας ἄρξεσθαι, προοιμιάζεται. Ποιεῖται δὲ μερικὴν ἀνακεφαλαίωσιν ζήλῳ Δημοσθενικῷ· ἐκεῖνος γὰρ ἐν ἄλλοις πυλλοῖς καὶ ἐν τῷ[2] παραπρεσβείας οὕτω ποιεῖ. In marg. Schell. Ἀνακεφαλαίωσις ἐν ἐπιτόμῳ.

Βίου χρῆσιν] Supra in Schell. Τὰς τέχνας. p. 218, D.

Τῶν[3] ἐν τῇ ὑπερορίᾳ] In marg. Schell. Τῶν Ἰώνων, ὅτι δι' αὐτοὺς ἐνέπρησαν τὰς Σάρδεις. p. 219, A.

Τῆς ἀρχαίας[4] Ἑλλάδος] Ibid. Ἐπειδὴ νέαν Ἑλλάδα καλεῖ τὴν Ἰωνίαν, διὰ τοῦτο εἶπε τὴν ἀρχαίαν. ibid.

Τὸ γιγνόμενον πεπλ.] Supra in Cod. Schell. Τὸ ὀφειλόμενον συμ (i. e. συμπεπληρόκως). p. 219, B.

Προεληλύθει[5]] Ibid. Ηὐξήνθη (sic). ibid.

Ταῦτα] Ibid. Ὕστερον.

Ὅσῳ — ἐξήτασται] In marg. Schell. Ἢ ἐμοὶ ἢ τῇ πόλει, δοκεῖ γὰρ φιλοτιμότερον ἐκθεῖναι τὸν τοῦ Ξέρξου πόλεμον. p. 219, C.

Ἄτοπον] Phot. in marg. Παράδοξον. ibid.

Τοῦ κρείττονος] In Schell. supra: Τῆς ὑπερβολῆς. p. 220, B.

Ὕβρισε] Ibid. Ἐπλεονέκτησε. ibid.

Ἐγνω] Ibid. Ἠθέλησε. p. 220, C.

Διοσημείας] Cod. bomb. Εἰπὼν διοσημείας μετ' ὀλίγον ἀπαριθμεῖ ταύτας, ὅταν λέγῃ[6]· ποίαν γὰρ κυμάτων ἐπιῤῥοὴν ἢ τίνας σκηπτοὺς καὶ τἆλλα· πάντα γὰρ ταῦτα ὅταν γίγνηται, σημεῖα τοῖς ἀνθρώποις παρὰ Διὸς γίγνεται· τὸ δὲ ὅτι αὐτοῦ βεβαίως ἐστὶν ἡ γῆ, ὥσπερ ibid.

1) τὸ μὲν ἐνταῦθα, f. τὸ μὲν ἐντεῦθεν. — 2) ἐν τῷ παραπρεσβείας, Werferus iterum inseruit περὶ quod hoc loco facilius obtinere paterer, quod legitur in Apogr. — 3) τῶν ἐν τῇ ὑπ., subl. Valk. — 4) της ἀρχαίας Ἑλλάδος, subl. Valk. — 5) προεληλύθει, Bar. 7. παρεληλύθει, i. e. supererat. F. ηὐξήθη. — 6) ὅταν λέγῃ· ποίαν κ. τ. λ. Cod. ita: ὅταν λέγῃ ποίαν γάρ ἠν μετὰ ἐπιῤῥοὴν ἢ τινὰς κ. τ. λ. — penult. τὸ δὲ ὅτι κ. τ. λ. suo loco adposui.

Digitized by Google

παρ' Ἰσοκράτους κ. τ. λ. vide infra. In marg. Schell. Ἤγουν πρὸς τὰ τοῦ Διὸς σημεῖα.

ibid. Ὅτι αὐτοῦ (Jebb. αὖτοῦ) βεβαίως ἐστὶν ἡ γῆ] Apogr. Mon. Ὁ θεῖος [1] Ἰσοκράτης ἀνθηρότερον εἶπεν αὐτὸ λέγων, καθάπερ πρὸς τὸν Δία τὰ ὄντα διανεμόμενος, τῷ μὲν Διῒ παραχωρήσας τοῦ οὐρανοῦ, ἑαυτῷ δὲ τὴν γῆν. Cod. bomb. Τὸ δὲ ὅτι αὐτοῦ βεβαίως ἐστιν ἡ γῆ, ὥσπερ παρ' Ἰσοκράτους μεταπέφρασται, φέγει γὰρ, ὥσπερ πρὸς τὸν Δία τὰ ὄντα διανεμόμενος, τῷ μὲν τοῦ Ὀλύμπου παραχωρῶν, ἑαυτῷ δὲ τὴν γῆν ἔχειν. Penes Photium: Ὅτι Ἰσοκράτης ἀνθηρότερον εἶπεν οὕτω τὴν πρᾶξιν (al. λέξιν) ἀπαγγείλας, καθάπερ πρὸς τὸν Δία τὰ ὄντα διανειμάμενος, καὶ τῷ μὲν Διῒ παραχωρήσας τοῦ οὐρανοῦ, ἑαυτῷ δὲ τὴν γῆν.

ibid. Ἀήθεις ἀστέρας] Apogr. Mon. Τοὺς καλουμένους κομήτας· ταῦτα μὲν οὖν καθ' ἑαυτὰ οὐκ ἔστι δεινὰ, σημεῖα δὲ μᾶλλον τῶν δεινῶν. Κομῆται δὲ καλοῦνται ἀστέρες οἱ κόμη ἀνδρὸς παραπλήσιοι· πωγωνίαι δὲ οἱ τριγωνοειδεῖς, δοκίδες δὲ οἱ ἐπιμήκεις. Φόβους [2] δὲ ἐγγείους σεισμοὺς ἢ κατακλυσμούς. Cod. bomb. Ἀήθεις [3] δὲ ἀστέρας νόει κομήτας, πωγωνίας, δοκίδας, ξιφίας καὶ ὅσα τοιαῦτα· κομῆται μὲν οὖν εἰσὶν οἱ κόμη ἀνδρὸς ἐοικότες, πωγωνίαι δὲ οἱ τριγωνοειδεῖς, δοκίδες δὲ οἱ στενοεπιμήκεις, ξιφίαι δὲ οἱ ὀξεῖς· ἅπαντες δὲ οὗτοι οὐκ ἀεὶ ὁρῶνται, ἀλλ' ὅταν φανῶσι, σημεῖα τοῖς ἀνθρώποις δεινῶν μαντεύονται.

p. 221, B. Ἀγνωμοσύνης] In marg. Schell. Ἀνοίας καὶ θρασύτητος.

p. 221, C. Ἱερά [4] τε (Jebb. δὲ) συμφλέξειν] Apogr. Mon. Τοῦτο

1) ὁ θεῖος Ἰσοκρ., Paneg. p. 110. ed. Lang., cap. XLVIII, ed. Mor., ὥσπερ πρὸς τὸν Δία τὴν χώραν νεμόμενος, quorum schol. memor Isocratem denuo inspicere neglexit. Subl. Valken. — 2) Φόβους δὲ ἐγγείους, sic Phot. in exc. et Schell., Jebb. ἐγγείνους 3) Ἀήθεις δὲ ἀστέρας κ. τ. λ. vocula δὲ adjecta in bomb., quoniam haec veluti unum scholion confecerant cum his, quae supra ex bomb. ad ὅτι αὐτοῦ κ. τ. λ. leguntur. Subl. Valk. — 4) Ἱερά τε συμφλ. huc retuli schol., non ad εἰς τὸ αὐτὸ, quod frustra quaesivi, duplicis forte scholii indicium; illa subl. Valken.

Digitized by Google

κατὰ τὸ ἀληθὲς[1] ἐποίησε· πολλὰ γὰρ ἱερὰ ἐνέπρησεν, ἀμυνόμενος ὅτι καὶ οἱ Ἀθηναῖοι, ὅτε[2] καὶ Σάρδεις ἐπόρθουν, ἔκαυσαν τῆς Ῥέας τὸ ἱερὸν, οὐχ ἑκόντες, ἀλλ' ἐν τῷ καίειν τὴν πόλιν· ὅπερ πρός ὕβριν οἰκείαν ὁ Ξέρξης ἐνόμισε γίνεσθαι. Cod. bomb. Ξέρξης ἐνθυμούμενος, ὡς ὅτε Ἀθηναῖοι τὰς Σάρδεις ἐπόρθησαν, ἐν τῷ καίειν αὐτὰς τὸ τῆς Ῥέας ἱερὸν ἀκόντες ἔκαυσαν, πολλὰ ἱερὰ ἐν τῇ κατὰ τῶν Ἑλλήνων ἐπιστρατείᾳ καὶ αὐτὸς ἔκαυσεν.

Ῥαχίαν] In marg. Schell. Πετρώδη τόπον θαλλατικὸν κυρίως· καὶ τοὺς τὴν ῥαχίαν[3] οἰκοῦντας ἐπὶ τὸν πόλεμον ἤγαγεν. p. 222, B.

Εἰσεχόντων] Supra in Schell. Εἰσχεόντων. ibid.

Διαφέρειν] In marg. Schell. Ταὐτὸ πάθος ἔπασχον καὶ ποταμοὶ καὶ πόρθμοι, ξηραινόμενοι γὰρ οἱ μὲν πινόμενοι, οἱ δὲ πατούμενοι. p. 222, D.

Χρόνος] Ibid. Ὅσον ἐστὶν ἀπ' ἐκείνου εἰς ἡμᾶς διάστημα χρόνου, τοσοῦτον καὶ ἡ τῆς θαλάττης καινοτομία. p. 223, B.

Κάμηλοι] Ibid. Χιλίας σ' εἶχε καμήλους σκευαγωγοὺς καὶ τοσαύτας τριήρεις. ibid.

Ἀνύσαι] In Schell. supra additur: Τῷ βαδίζοντι. p. 223, C.

Δένδρον[4] ἦν αὐτῷ] Apogr. Mon. et Leid. Λέγεται, ibid.

1) ἀληθὲς, sic pro ἄληθες, cf. Schol. ad Aristoph. Nub. 839. adde Eq. 89. Ach. 559. cavillantis subinde est ἄληθες. ἐνέπρησεν, Ap. ἐνέπρησαν, ni malis haec per parenthesin capere: ἐποίησε (π. γ. ἱερ. ἐνέπρησαν), ἀμυν. κ. τ. λ. — 2) ὅτε καὶ, submolesti aliquid inest duplici καὶ, sed nonnisi codicum consensu alterum utrum ejiciendum vel mutandum, cum vel optimi scriptores illud sibi excidere passi sint, licet res paullo secus habeat, V. gr. Hom. Odyss. I, 33. Thucyd. VII, 48. Plat. Gorg. p. 37. ed. H. p. 39, p. 141. Theaetet. p. 326, p. 436. Lys. p. 21. ed. H., Charmid. p. 92, p. 108, Cratyl. p. 117, 149. Phaedon. p. 34. ed. Wyt. Symb. p. 269. ed. Bip. cf. Heind. ad Cratyl. p. 83., ad Phaedon. p. 36. Ast. ad Alcib. I, p. 306. Xenoph. Cyrop. III, 3, 55. II, 2, 6. de rep. Laced. IV, 2. male Hutchins. ibid. I, 4. alterum καὶ ex Stobaeo dispungit. Quae res quo minoris momento ducta est, eo facilius in ea peccarunt editores; codices in his disceptatores ubivis fere exspectandi. Inde forte patrocinandum particulae et, quam ex Cic. ad. fam. VIII, 23 abire jussit Schüzius. — 3) ῥαχίαν Valken. sublin. itemque διαφέρειν, et Κάμηλοι. — 4) Δένδρον ἦν αὐτῷ, sublin. Valken. qui edidit ad Herod. VII, 27. addens, neutrum

Digitized by Google

ὅτι πλάτανον εἶχε χρυσῆν ἐπὶ τοῦ ὀχήματος συσκίαζουσαν αὐτὸν, ὡς φησιν Ἡρόδοτος, ἣν παρέσχεν αὐτῷ Πυθέας ὁ Λυδός. Cod. bomb. Πλάτανον εἶχεν ἐκ χρυσοῦ κατεσκευασμένην, ἣν ἐχαρίσατο αὐτῷ ὁ Λυδῶν βασιλεύς [1].

p. 224, B. Τῆς ὑπερηφανίας] Supra in Schell. Τοῦ μεγέθους.

p. 224, C. Κρινομένων (Cant. mavult κινουμένων)] In marg. Schell. [2] Ἀγωνιζομένων.

p. 225, B. Κερδανοῦσιν] Ibid. Οὐ τῷ σώζεσθαι, ἀλλὰ τῷ τελευταῖοι πεσεῖν.

p. 226, A. Ἡ προτέρα κρίσις] Supra in Schell. Ἔκβασις, δοκιμασία.

p. 226, C. Ἔχων] In marg. Schell. annotatur: Καὶ ταῦτα.

ibid. Τὸν Ἀλέξανδρον [3] τῆς Ἑλένης κ. τ. λ.] Apogr. Mon. Εἰς Στησίχορον [3] αἰνίττεται· λέγει γὰρ ἐκεῖνος, ὅτι ἐλθὼν ὁ Ἀλέξανδρος ἐπὶ ταύτης τῆς νήσου τῆς Φάρου ἀφηρέθη παρὰ τοῦ Πρωτέως τὴν Ἑλένην καὶ εἴδωλον αὐτῆς ἐδέξατο. Καὶ Ὅμηρος δὲ αἰνίττεται τοῦτο, ἔνθα λέγει· (Iliad. V, 450.)

Ἀμφὶ δ' ἄρ' εἰδώλῳ Τρῶες καὶ δῖοι Ἀχαιοὶ

ἐμάχοντο· φανερῶς δὲ οὐκ εἶπεν, ἵνα μὴ τὴν ποίησιν ἀσύστατον ἐργάσηται, ὅτι διὰ εἴδωλον τοσοῦτος γέγονε πόλεμος. Cod. bomb. Στησίχορος ἐν τῇ ποιήσει λέγει, ὡς ἁρπακὼς τὴν Ἑλένην Ἀλέξανδρος καὶ διὰ τῆς Φάρου ἐρχόμενος ἀφηρέθη μὲν ταύτην παρὰ Πρωτέως, ἔλαβε δὲ ἐν

narrasse Herodotum. — κατεσκευασμένην bomb. κατεσκευασμένον. — 1) ὁ Λυδῶν βασιλεὺς, serione haec an fucum facere lectori studet scholiastes? — 2) Τὸν Ἀλέξανδρον τῆς Ἑλένης, sublin. Valk. — 3) Εἰς Στησίχορον κ. τ. λ. vulgavit Fr. Ursinus ad poett. lyr. p. 86. in eo falsus, quod verba τὸν Ἀλέξανδρον τῆς Ἑλένης ex Sophistae Miltiade (orat. pro quatuorviris) desumta credidit. Inde ab καὶ Ὅμηρος δὲ κ. τ. λ. omisit Ursinus l. l., non eo quod in Cod. suo desiderarentur, sed quod ad ipsum Stesichorum pertinerent. Idem de aliis scholiis fecit. Quae autem supra exhibui ex Cod. bomb. ea vid apud Creuz. V. D. ad Scholia in Philostratum, quae edid. Bekkerus in specimine suo Philostr. pag. 126.

Digitized by Google

πίνακι τὸ εἴδωλον αὐτῆς γεγραμμένον, ἵνα ὁρῶν παραμυθοῖτο τὸν αὐτοῦ ἔρωτα.

Οἱ μὲν γὰρ εἰς Πύλας] Apogr. Mon. Οὐκ ἐνεγκόντες p. 228, B.
τοὺς Πέρσας διπλῇ δυνάμει ἐλθόντος τοῦ Πέρσου πεζῇ καὶ ναυτικῇ, ἐμερίσαντο τὸν πόλεμον Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι. Καὶ οἱ Λακεδαιμόνιοι, ἅτε πεζόμαχοι, χιλίους πέμψαντες ἀπήντησαν εἰς Πύλας, κωλύειν θέλοντες αὐτὸν εἰσελθεῖν· τούτων οἱ μὲν ἑπτακόσιοι ἔφυγον, οἱ δὲ τριακόσιοι, οἳ καὶ Σπαρτιάται, μείναντες ὑπὸ Θετταλῶν τινων προεδόθησαν· οἵτοι γοῦν ἐδίδαξαν τοὺς Πέρσας τὴν ὁδὸν, καὶ κατὰ νώτου ἐλθόντες ἔλαβον αὐτοὺς ἐν μέσῳ καὶ κατεπάτησαν. Λέγουσι δὲ, ὅτι μάντις τις τῶν Λακεδαιμονίων εἶπεν, ὅτι ἐὰν μείνωμεν, τελευτῶμεν· καὶ ὅμως ἠρήσαντο[1] μὴ φυγεῖν, ἀλλὰ ἐνδόξως θανεῖν. Cod. bomb. Χιλίους ἑαυτῶν ἔπεμψαν Λακεδαιμόνιοι ἐν ταῖς Πύλαις (αἱ δέ εἰσι τόπος οὕτω καλούμενος), κωλῦσαι τὸ Ξέρξου πεζὸν, ἐν τῇ παρόδῳ· μέλλοντος δὲ ἤδη τούτου καταλαβεῖν, μάντις τις ἐξ αὐτῶν εἶπε τούτοις, ὡς εἰ μενοῦμεν, τεθνηξόμεθα, εἰ δὲ φευξούμεθα, σώσομεν ἑαυτούς. Τούτων οἱ μὲν τριακόσιοι παραμείναντες, ἠγωνίσαντο μέχρι θανάτου, οἱ δὲ φεύγειν ἐπιχειρήσαντες ἑπτακόσιοι ὑπὸ Θετταλῶν προδοθέντες, ἰόντος κατὰ πόδας τοῦ Ξέρξου, ἀτίμως διεφθάρησαν. Cod. Schell.[2] Χιλίων ὄντων τῶν εἰς τὰς παρόδους πεμφθέντων ὑπὸ Λακεδαιμονίων, τ' μόνον Σπαρτιάται ἔμειναν καὶ παραδοθέντες ὑπὸ Θετταλῶν κατηκοντίσθησαν, οἱ δ' ἄλλοι πάντες ἔφυγον.

1) καὶ ὅμως ἠρήσαντο κ. τ. λ., Leid. penes Valk. ad Herod. VII, 221 ἠρήσαντο, unde ἠρῄσαντο quod effingi posset, aeque inusitatum censet Valk. atque ἤρησα; mavult igitur V. D. ἠρήσαντο, cui suffragatur spiritus lenis in Mon. Ἠρήσαντο μὴ φυγεῖν, ἀλλὰ κ. τ. λ. *nihilominus fugere recusantes, honestam mortem praecaptarunt*, ut vertit Valken., quem lege docte ut omnia, ibi de verbis exponentem, quae cum per se negent, in altera enuntiatione ab ipsis pendente affirmationem subaudire jubent, cf. Heind. ad Gorg. p. 37. Viros doctos ad Liv. XXXIX, 15. Gronov. ad XXII, 55. Heusing. ad Off. III, 2. Manut. ad Cic. epist. ad Div. IV, 5 p. 274 ed. Richt. ad VIII, 10 p. 580. Matth. de Anacol. p. 14. De solvendis *prohibere, cedere, nullus*, cf. Drak. ad Liv. XXII, 35. et quos laudat Duk. — 2) Iterata vice, quae in ipso scholio traduntur, confudit epitomator in Cod. Schell.

Digitized by Google

p. 229, A. Χειμάῤῥους [1]] Apogr. Mon. Ῥύμασι παραβάλλει τοὺς Πέρσας, τὸ πλῆθος δῆλοι· δεχομένων [2] τῶν Βοιωτῶν λέγει, πρὸ γὰρ τῆς Ἀττικῆς ἡ Βοιωτία· Σιμωνίδης·

Εἰ τὸ καλῶς θνήσκειν ἀρετῆς μέρος ἐστὶ μέγιστον,
Ἡμῖν ἐκ πάντων τοῦτ' ἀπένειμε τύχη.
Ἑλλάδι γὰρ σπεύσαντες ἐλευθερίαν [3] παραθεῖναι
Κείμεθ' ἀγηράτῳ χρώμενοι εὐλογίῃ.

Ἄλλο [4] τοῦ αὐτοῦ Σιμωνίδου·

Παῖδες Ἀθηναίων Περσῶν στρατὸν ἐζολέσαντες
Ἤρκεσαν ἀργαλέην πατρίδι δουλοσύναν.

In eodem scholio . . . . . Καὶ Θουκυδίδης οὕτως ἐποίησε, βουλόμενος δεῖξαι τῶν Ἀθηναίων τὸ πᾶν κατόρθωμα, πρῶτον εἶπε τὴν εὐβουλίαν, εἶτα τὸ πλῆθος τριήρων, τρίτον, τὴν ἀπόλειψιν τῆς πόλεως. Cod. bomb. Εἰκότως χειμάῤῥῳ αὐτοὺς παρείκασεν, ὥσπερ γὰρ οὐχ ἕνα τόπον ὁ χείμαῤῥος τῇ ῥοῇ κατέχει, ἀλλ' ἀσχέτως πανταχῇ λιμνάζει, οὕτω καὶ Πέρσαι πάντα τὸν τῆς Ἑλλάδος τόπον κατέσχον τῷ πλήθει. Ἐπίγραμμα εἰς τοὺς ἐν Πύλαις ἀποθανόντας τριακοσίους.

Εἰ τὸ καλῶς θνήσκειν ἀρετῆς μέρος ἐστὶ μέγιστον,
Ἡμῖν [5] ἐκ πάντων τοῦτ' ἀπένειμε τυχη.
Ἑλλάδι γὰρ σπεύδοντες ἐλευθερίαν [6] περιθεῖναι
Κείμεθ' ἀγηράτῳ [7] χρώμενοι εὐλογίῃ.

1) Χειμάῤῥους, sublin. Valken. — 2) δεχομένων, sic ex ipso Aristide emendavi, Apogr. ἐχομένων. — 3) ἐλευθερίαν et δουλοσύναν ex ipso Apogr. retinui, cum Werferus mallet ἐλευθερίην et δουλοσύνην, ut legitur in bomb. Sed ego secutus sum Gaisford. in poett. minor. I, p. 369 et 372, Dorismum Simonideum in Aristide ubivis fere negligi querentem, praeeunte Brunckio in Anal. t. III, emend. p. 20. Ursinus, qui laudatur in poett. minor. l. l., pag. 331. se ex schol. mscr. hos versus deprompsisse fatetur. Adde Valken. ad Herod. VII, 228., qui silet de hoc scholiastae nostri testimonio, quod miror. — 4) Ἄλλο τοῦ αὐτοῦ Σ., Apogr. ἄλλου. Id genus quidvis excidisse, ad pag. 218, A. suspicatus sum. — 5) Ἡμῖν ἐκ κ. τ. λ. Cod. ita fert: Ἐκ πάντων τοῦθ' ἡμῖν ἀπένειμε τύχη. Nota item σπεύδοντες pro σπεύσαντες et περιθεῖναι, pro παραθεῖναι. — 6) ἐλευθερίαν, Cod. ἐλευθερίην. — 7) ἀγηράτῳ, Cod. ἀκηράτῳ, quod quum per se stare posset, metrum erat in caussa, cur repudiarem, cf. Ruhnk. ad Tim. pag. 17 seq. Gaisf. l. l. ἀγηράντῳ.

Digitized by Google

Οὕτω δε καὶ Θουκυδίδης ἐν τῷ ἐπιταφίῳ ποιεῖ, σεμνύων δὲ σοφιστικῶς τὴν ἀπόλειψιν, εὐψυχίαν καὶ τόλμαν καλεῖ· τὸ δὲ ἀληθὲς διὰ τοῦτο τὴν πόλιν ἀπέλιπον, διὰ τὸ μὴ ἔχειν ἐν τῇ γῇ σωτηρίαν· καὶ γὰρ καὶ αὐτὸ τὸ εἰς τὴν θάλατταν ἐμβῆναι, οὐκ ἐντεῦθεν ἐλπίδα ἔχοντες ἀγαθὴν, ἀλλ' ἀπορίᾳ πολλῇ συνεχόμενοι, ῥιψοκινδύνως εἰργάσαντο. In marg. Schell.

Σιμωνίδης·

Παῖδες Ἀθηναίων, Περσῶν στρατὸν ἐξολέσαντες,
Ἧρκεσαν ἀργαλέην πατρίδι δουλοσύναν [1].

Τῷ πλήθει τῶν τριήρων] In marg. Schell. Ἦσαν γὰρ τῶν μὲν ὅλων Ἑλλήνων ργ', αἱ δὲ τῆς πόλεως σξσ [2]. p. 229, C.

Κατασχῇ] Supra in Schell. Ἤγουν λαβῇ. p. 230, C.

Ἀλλ' ἀπέραντα ποιεῖ καὶ τοῖς ἐν Ἅιδου καταδ. ὁμ.] p. 231, A. Apogr. Mon. et Leid. Ἀντὶ τοῦ ἀδύνατον ποιεῖ, ὡς Τάνταλος ἢ αἱ τοῦ Δαναοῦ θυγατέρες ἐν Ἅιδου· ὁ μὲν ὑπεκφεύγον [3] ἔχων τὸ ὕδωρ, αἱ δὲ κοσκίνῳ φέρουσαι ὕδωρ, τὸν τετρημένον οὐ δυνάμεναι πίθον πληρῶσαι. Αἰνίττεται δὲ οἶμαι Ταντάλου μὲν ὁ ὑπὲρ κεφαλῆς λίθος τὴν λήθην, ἣ [4] κατακέκριται φιλόσοφος φυσικὸς ὤν· ἐν ἴσῳ γάρ τι τῶν δι' ἐπιθυμίας θεωριῶν ἐπήρχετο τὴν διάνοιαν τοῦ φιλοσόφου, περὶ ἃ μάλιστα [5] διψητικώτατος ἦν, ἡ λήθη τούτου ὑποτρέχουσα [6] διαδιδράσκειν ἐποίει τὸ θηραθέν. Τῶν δὲ Δαναΐδων ὁ τετρημένος πίθος τὸ μήποτε [7] ταύτας μετὰ

1) δουλοσύναν, Schell. δουλοσύνην. — 2) σξσ, 266, cf. Intt. ad Herod. VIII, 1. — 3) ὑπεκφεύγον, Apogr. ὑπ' ἐκφεύγων. — 4) ἣ, Apogr. ἡ. — 5) μάλιστα διψητικώτατος, nescio an emend. — 6) post ὑποτρέχουσα erat punctum in Apogr. itemque post πίθος, ubi subaudi αἰνίττεται. — 7) μήποτε, i. e. *nunquam*, quod bene tenendum, cum aliis in schol., praesertim autem in Aristophaneis semper fere audiat *fortasse*, ad Vesp. 438. 479. 491. 716. 769. 854. 942. 1113. ad Pac. 696. 831. 1012. Av. 917. Lys. 768. Nimio honore itaque hanc voculam affecit Clericus, qui vel pro Menandrea eam venire voluisset, fragm. Menandr. p. 178. Omne vero dubium Clerico exemit Bentl. emend. p. 61. seq. qui recte vertit *fortasse*, cum Clericus vertisset *nec* unquam. Idem accidit Heynio ad Il. I, 522, ubi cum dixisset sch. Ven. καὶ μήποτε ἐκ περισσοῦ τὸ τι προσκεῖται — addit V D. declaratur quoque exemplis, τι non abundare; id quod nemo ignorat. Immo μήποτε h. l. est *fortasse*, ut passim, exstatautem, ut hoc addam, idem

Digitized by Google

τὸν φόνον τῶν φιλτάτων τὴν ἀναψύχουσαν αὐτὰς[1] ἐκ τῆς ἀνδρείας κηδεμονίας χάριν παρ' ἄλλων τυγχάνειν, πᾶσι γενομένας ὑπόπτους διὰ τὸ ἄγος καὶ μὴ δυναμένας[2] ταύτην πληρουμένην εὑρεῖν. Ἐν Ἅιδου δὲ ταῦτα πάσχειν αὐτοὺς[3] μυθολογεῖται ἢ διὰ τὸ τοῖς πολλοῖς ἀδήλους καὶ ἀφανεῖς εἶναι τὰς τιμωρίας, ἢ διὰ τὸ ξενικὸν τῆς κατακρίσεως, ὡς οὐχ οἷόν τε ἐν ζῶσιν ὂν τοιοῦτον εἰς καταδίκην ἰδεῖν· ὁ δὲ νοῦς, ὅτι ὥσπερ ἐκείνας ἀδύνατόν ἐστι πληρῶσαι τὸν πίθον, οὕτω καὶ τὸν Ξέρξην λαβεῖν τὰς Ἀθήνας. Cod. bomb. Κατάδικοι ἐν Ἅιδου εἰσὶ Τάνταλος, Σίσυφος, Τιτυός, Ἰξίων, καὶ αἱ Δαναοῦ θυγατέρες· αἱ μὲν γὰρ κόσκινον κατέχουσαι εἰς τετρυπημένον πίθον ἀντλοῦσι, Τάνταλος δὲ κολάζεται τῇ[4] τοῦ ὕδατος καὶ τῷ ὑπὲρ[5] κεφαλὴν λίθῳ, Ἰξίων δὲ τρόχου περιφορᾷ συνεχεῖ, Σίσυφος δὲ πρὸς κολωνὸν πέτρου ἀγωγῇ καὶ ὀλίσθῳ, Τίτυος δὲ τῇ τῶν ἐγκάτων ὑπ' ὄρνεως[6] βρώσει. Πάντες οὖν οὗτοι ἀπέραντα κάμνουσι.

p. 231, C. Ἐπὶ σφῶν] Supra in Schell. Καθ' ἑαυτῶν.

p. 233, C. Κρατηθῶσι] Ibid. Οἱ Ἕλληνες.

p. 234, A. Τὰ κοινὰ τῆς ἀνθρ. φ.] Ibid. Παῖδες, γυναῖκες καὶ τἄλλα.

p. 234, C. Ὅτι εἰ μὲν δέχεσθε] Apogr. Mon. Λείπει τὸ εὖ ἂν ἔχοι. καὶ παρὰ τῷ ποιητῇ[7]·

Ἀλλ' εἰ μὲν δώσουσι γέρας μεγάθυμοι[8] Ἀχαιοί
Ἄρσαντες κατὰ θυμόν. . . . . .
Εὐθὺς ἐπήγαγεν
Εἰ δὲ κε μὴ δώωσι. . . . . .

schol. in Leid. (et subl. Valken.) inde ab Λιπίττεται δ' οἶμαι κ. τ. λ. — πεπληρουμένην εὑρεῖν, reliqua desiderantur in excerptis. Ex varietates: Leid. δ' οἶμαι — ἢ — κατεκέκριτο — post φιλοσόφου deest interp. — τούτων ὑποτρέχουσα διαδιδρ. — κατὰ τὸν φόνον. — 1) αὐτὰς, Ap. Mon. et Leid. ταύτας. — 2) δυναμένας, utrumque Ap. δυνάμεθα. — 3) αὐτοὺς, f. αὐτὰς, cum statim de Danaid. — τετρυπημένον, Cod. τετριπ. — 4) τῇ τοῦ ὕδατος, excidit ἀποῤῥοῇ vel φυγῇ vel id genus aliquid. — 5) ὑπὲρ κεφαλὴν, f. κεφαλῆς. — 6) ὑπ' ὄρνεως βρώσει, Cod. ὑπ' ὄφεων τρώσει. — 7) τῷ ποιητῇ, Iliad I, 135. — 8) μεγάθυμοι, sic Hom. et infra bomb., Apogr. μεγέθυμοι. Quae sequuntur, Werf. ex Apogr. non distinxerat.

Digitized by Google

Τὸ δὲ σχῆμα καλεῖται ἀναπόδοτον. Cod. bomb. *Τὸ σχῆμα ἀναπυδότον, λείπεται γὰρ τὸ εὖ ἂν ἔχοι, ὡς καὶ παρ᾽ Ὁμήρῳ·*

Ἀλλ᾽ εἰ μὲν δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί.

Προκλήσει) Supra in Schell. *Ζητήσει.* ibid.

Συμβαίνοντας] In marg. Schell. *Ἥγουν συμφωνοῦντας.* p. 235, A.

Οἱ δὲ ναύαρχοι] Apogr. Mon. *Θεμιστοκλέα δὲ λέγει καὶ Εὐρυβιάδην τὸν τῶν Λακεδαιμονίων· λέγει δὲ τοὺς στρατηγούς· οὕτω γὰρ καὶ Δημοσθένης καλεῖ τούτους.* p. 235, C.

Παρακλήσεως] In marg. Schell. *Παρακινήσεως.* p. 238, C.

Τοῖς ψηφίσμασιν] Supra in Schell. *Διὰ γραφῆς.* ibid.

Πάντ᾽ ἦν ἄκυρα] In Phot. *Πάντα ἦν (τῶν ἄλλων Ἑλλήνων) ἄκυρα.* p. 238, D.

Τὰ ἀριστεῖα τῶν ναυμαχιῶν [1]] Apogr. Mon. et Leid. *Ἀριστεῖα δὲ λέγει τὰ ἐξαίρετα τῶν λαφύρων· μέμνηται Δημοσθένης τὸν δίφρον τὸν ἀργυρόποδα καὶ τὸν ἀκινάκην τὸν Μαρδονίου.* (p. 129. ed. S.) *Τινὲς δὲ λέγουσιν, ὅτι νῦν πρὸς χάριν τῶν Ἀθηναίων λέγει· ὁ γὰρ Ἡρόδοτος λέγει τῆς ναυμαχίας ἀπενέγκασθαι* [2] *δόξαν τοὺς Αἰγινήτας.* Cod. bomb. *Τὰ ἐξαιρετα τῶν λαφύρων, λέγει δὲ τὸν δίφρον τὸν ἀργυρόποδα, καὶ τὸν Μαρδονίου ἀκινάκην* [3]. p. 239, A.

Ἡγησάμενοι] Supra in Schell. *Προοδοποιήσαντες.* p. 239, B.

Ἐν τῷ] Ibid. *Διά.* ibid.

Προέστησαν] Ibid. *Προστάτην ἐποίησαν.* p. 239, C.

Οἱ σύλλογοι [4]] In marg. Schell. *Σύλλογος ὁ ἀπὸ μιᾶς πόλεως ἀθροισμός, σύνοδος ὁ ἀπο πολλῶν.* ibid.

Παρ᾽ Ἀθηναίων] Supra in Schell. *Πρὸς τοὺς Ἕλληνας μετὰ ταῦτα.* ibid.

1) *Τὰ ἀριστεῖα τῶν ν.* subl. Valken. et publicavit ad Herod. VIII, 93. inde ab *τινὲς δὲ λέγουσιν κ. τ. λ.* Quae de sella Xerxis et acinace Mardonii prodit, schol., et Valken. innuit l. l. et leguntur in excerptis Leid., unde recepi *Ἀριστεῖα δὲ λ.* pro *Ἀριστείδης δὲ λέγει* quod erat in Apogr. Mon. *Ἀριστοφάνης, Ἀριστοτέλης, Ἀριστείδης, Ἀριστεῖα κ. τ. λ.* facile confunduntur. — 2) *ἀπενέγκασθαι*, sic Mon., Leid. *ἐπενέγκασθαι*, dudum emendat. a Valken. l. l. — ibid. *Αἰγινήτας*, sic Mon. et Valk. l. l., in excerpt. Leid. male *Ἀθηναίους* describentis culpa. — 3) *τὸν ἀκινάκην*, Cod. *ἀκίνακιν.* — 4) *Οἱ σύλλογοι* subl. Valk.

Digitized by Google

ibid. Ἐν τῷ μέσῳ] Ibid. Ἐν τῷ μεταξὺ τῆς μάχης.

p. 240, A. Διατρίβειν] Ibid. Ἀργεῖν.

ibid. Ἐπ' ἐξειργ.] Ibid. Μετά. Item super ἀναλαβ. est ἐπαναλ.

p. 240, B. Ἥρμοττεν] Ibid. Ἐρεῖσθαι.

p. 241, A. Μικρολογουμένου] Ibid. βασκαίνοντος.

ibid. Τοῦ περὶ Πύλας πάθους [1]] Apogr. Mon. Καὶ Ἰσοκράτης φησὶν ἐν τῷ Πανηγυρικῷ [2]· οὐ γὰρ φεύγειν ἠξίωσαν, ἀλλ' οὐκ ἤρκεσαν αὐτῶν πρὸς τὴν μάχην τὰ σώματα.

p. 241, C. Μάλα ἵλεω κ. τ. λ.] In marg. Schell. Στοχάζονται τῆς τοῦ χρησμοῦ τοῦ θεοῦ διανοίας ἵλεω, εὐμενῶς γὰρ διατεθεὶς ἐνέπνευσεν αὐτοῖς σύνεσιν τῆς μαντείας συνεῖναι [3]. Χρᾷ ὁ χρησμοδότης [4], χρᾶται ὁ τοὺς χρησμοὺς δεχόμενος.

p. 242, B. Ἀλλὰ μὴν] Ibid. Ἀλλὰ μὴν τίς ἐκείνοις ὅμοιος τὸ γνῶναι, τὴν σοφίαν λέγω, τουτέστι τὴν φρόνησιν καὶ ἀληθῆ γνῶσιν, δι' ἣν — (reliqua in ipso Aristide leguntur).

ibid. Τῷ δείγματι] Ibid. Τῷ δόγματι τῆς εὐπαθείας, ὅπερ ἐδογμάτισεν αὐτοὶ ἑαυτοῖς, πείθεσθαι τοῖς ἄρχουσιν.

p, 243, A. Αἱ δὲ γυναῖκες [5]] Ibid. Ἀκούσασαι γαρ ἐν Τροιζῆνι τοῦ Κυρσίλου τὸν θάνατον, τὴν αὐτοῦ γυναῖκα διέφθειραν.

p. 243, B. Διεκώλυσαν] Apogr. Mon. Καὶ γὰρ Θεμιστοκλῆς, ὁτε ἑώρα αὐτοὺς φεύγειν ἐθέλοντας, ὡς δῆθεν προδότης δηλοῖ τῷ Πέρσῃ διὰ Συκίνου [6] τοῦ παιδαγωγοῦ τῶν παίδων αὐτοῦ, ἐπειδὴ φυγεῖν θέλουσιν, ἐπίθου καὶ νίκα. ὁ δὲ πεισθεὶς ἐπετέθη [7]· τοῦτο ἑωρακότες οἱ Ἕλλη-

1) τοῦ περὶ Π. π. subl. Valken. — 2) Καὶ Ἰσοκράτης ἐν Π. p. 80. ed. L. ex memoria laudatur Isocrates, quem lege. — 3) erat cum mallem συνιέναι. — 4) χρησμοδότης, Cod. Sch. χρησμοθέτης. — 5) Αἱ δὲ γυναῖκες κ. τ. λ. sublin. Valk., sed profunde silent et Apogr. Mon. et bomb. et excerpta Leid. In Leidensi autem plura forte legi, colligi potest ex annot. Valk. ad Herod. IX, 5. — 6) διὰ Συκίνου, sic bomb., Plutarch. Them. cap. XII, Σίκινος, Herod. VIII, 75 et 110 Σικίννος, Apogr. οἰκίου ubi vel illud vel οἰκέτου, (cf. Valk. ad Herod. VIII, 75. qui silentio hoc scholion transmisit atque adeo verbum Διεκώλυσαν ne subl. quidem) vel Δυκίου et cett. latere potest. — 7) ἐπετίθη, Ap. ὑπετέθη.

Digitized by Google

νες οὐκέτι [1] φεύγειν ἠδυνήθησαν, ἀλλ' ἀνάγκῃ ἔμειναν. Cod. bomb. Ἰδόντες οἱ Ἕλληνες τὸ τῶν νεῶν πλῆθος, ἐκπλαγέντες εἰς δρασμὸν ἐχώρησαν. Θεμιστοκλῆς οὖν λογισάμενος, ὡς εἰ τοῦτο γένοιτο, οἰχήσεται ἡ Ἑλλὰς, καὶ ἄκοντας ἠναγκάσαντες ὑποστῆναι τὴν μάχην· πέμψας γὰρ ὡς τὸν ναύαρχον τῶν Περσῶν Σύκινον τὸν τῶν υἱέων αὐτοῦ παιδαγωγὸν, ἔφησεν ὡς ἐπεὶ φεύγειν θέλουσιν, ἐπίθου σφισὶ καὶ νίκα· καὶ ὃς πεισθεὶς ἐπετίθη [2]· τοῦτο ἑωρακότες Ἕλληνες, οὐκέτι φεύγειν ἠδύναντο, ἀλλ' ἠναγκάσθησαν μένειν· ὅθεν ἐνίκησαν.

Τὸν ἔξω τρόπον] Supra in Schell. Σαλαμῖνα. p. 243, D.

Ἀλλὰ πρῶτοι μὲν κ. τ. λ.] Ap. Mon. et Leid. Σωκλῆς [3] πρῶτος Ἀθηναῖος ἐνέβαλε Περσικῇ νηῒ καὶ ἐνεπάγη ὁ ἔμβολος· ἐνταῦθα τῶν Περσῶν νικηθέντων καὶ οἱ Ἀθηναῖοι ἀντελάβοντο. Cod. bomb. Σώφιλός τις ἀνὴρ Ἀθηναῖος πρῶτος ἐν τῇ σφετέρα τριήρει κατά τινος τριήρους Περσικῆς ἐχώρησεν· ἐμπαγέντος οὖν ταύτῃ τοῦ τῆς τριήρους αὐτοῦ ἐμβόλου καὶ θραῦσιν ποιήσαντος, ἰδόντες οἱ ἄλλοι ταὐτὰ ποιεῖν ἤρξαντο καὶ οὕτως ἐνίκησαν. Τὸ δὲ πλάντων ἀποκνούντων καὶ πρὸς τὴν Σαλαμῖνα νοεῖ καὶ πρὸς τὴν Εὔβοιαν. Cod. Schell. Πρῶτος Σωκλῆς, ἀνὴρ Ἀθηναῖος ἐνέβαλε Περσικῇ νηῒ καὶ τοῦ ἐμβόλου ἐμπαγέντος εἰς ναυμαχίαν πᾶν τὸ Περσικὸν ἐκινήθη. p. 243, D. p. 244, A.

Ὥστε ἐν τοῖς πολεμίοις φιλίων [4]] Apogr. Mon. Περὶ τῶν Ἰώνων δὲ λέγει· ἄποικοι γὰρ ὄντες τῶν Ἀθηναίων μετὰ τοῦ Ξέρξου ἦλθον· ὁ δὲ Θεμιστοκλῆς προορώμενος, ἔνθα ἤμελλον προορμίσασθαι, ἐν ταῖς ναυλόχοις πέτραις ἔγραψεν· Μέμνησθε, Ἴωνες, κατὰ πατέρων στρατεύοντες, καὶ τοῦτο ἀναγόντες πρὸς Ἀθηναίους ἦλθον. Cod. bomb. p. 244, B.

1) οὐκέτι Ap. οὐκ ἔστι. — 2) ἐπετίθη, Cod. ἐπετέθη. — 3) Σωκλῆς κ. τ. λ. Hujus viri nomen vel Σωκλῆς vel Σωσικλῆς scribi, cf. Valken ad Herod. VIII, 11. ubi quae inde ab ἐνταῦθα τῶν Π. leguntur, edidit, reliquis omissis. Cod. bomb. Σώφιλος, Schell. Σωκλης, lineola supra transverse ducta, quae vel nominis proprii vel compendii indicio est. De ejus commatis confusionibus vid. Valk. ad Herod. V, 92. — 4) ὥστε ἐν τοῖς πολεμίοις κ. τ. λ. sublin. Valken.

Digitized by Google

Ἴωνες, ἄποικοι Ἰώνων ὄντες, ὡς ἴσμεν, μετὰ Ξέρξου κατ' αὐτῶν ἐστράτευσαν. Θεμιστοκλῆς οὖν προϊδὼν ἔνθα ἔμελλον ὁρμίσεσθαι, ἔργαψεν ἐν ταῖς ναυλόχοις πέτραις ταυτί· Μέμνησθε, ἄνδρες Ἴωνες, κατὰ πατέρων στρατεύοντες. Ἐλθόντες οὖν Ἴωνες καὶ ταυτ' ἀναγνόντες, ἐβουλεύσαντο ἐν τῇ τῆς μάχης συμβολῇ Ἀθηναίοις συμπρᾶξαι καὶ μετ' τὸ αὐτῶν ναυτικὸν καταπολεμῆσαι τοῦ Πέρσου. Cod. Schell. Θεμιστοκλῆς ταῖς ναυλόχοις πέτραις, ἔνθα προσοκέλλειν οἱ Ἴωνες ἔμελλον, οὕτως ἐνέγραψε· Μέμνησθε, Ἴωνες, κατὰ πατέρων στρατεύοντες.

ibid. Ὑφ' ἡλίῳ μάρτυρι [1]] Apogr. Mon. Παρὰ τὸ Ὁμηρικόν·

Ἥλιός τ' ὃς παντ' ἐφορᾷς καὶ παντ' ἐπακούεις.

p. 244, C. Παντοδαποῖς τῶν ἔργων εἴδεσι] Apogr. Mon. Τουτέστι τροπαίοις [2] πολλοῖς πολεμικοῖς· εἴδεσιν ἀντὶ τοῦ τρόποις, τουτέστι ἐμβολαῖς, ἀναστροφαῖς, διέκπλοις· πολλὰ γὰρ εἴδη τῆς ναυμαχίας.

p. 245, C. Τὴν πρὸ τῆς Σαλαμῖνος νῆσον [3]] Apogr. Mon. et Leid. Τὴν Ψυτταλίαν λέγει· ἐκεῖ γάρ τινες τῶν Περσῶν ἀπέβησαν, ἵνα ὅσοι [4] τῶν Ἑλλήνων τὴν ναυμαχίαν ἐκφεύγουσι, περιτυγχάνοντες αὐτοῖς διαφθείρωνται [5]. Ἐνταῦθα οὖν Ἀριστείδης ὁ Λυσιμάχου, συστρατηγὸς Θεμιστοκλέους, μετὰ τὴν νίκην τῆς ναυμαχίας ἀποβὰς μετὰ τῶν γερόντων [6] τῶν

1) Ὑφ' ἡλίῳ μάρτυρι, sic noster. supra pag. 106. ed. Jebb. τῶν ὑφ' ἡλίῳ π. et imitatur Menander 606, 18. 619, 13. 632, 5. ubi excidit aliquid, v. gr. καλλίστης ἑφ' ἡλίῳ vel τῶν ὑφ' ἡλίῳ, p. 633, 13. — ibid. τὸ Ὁμηρικὸν iliad III, 277. unde rescripsi Ἥλιός τ' ὃς pro Ἥλιός ὃς, et ἐφορᾷς — ἐπακούεις, pro ἐφορᾷ — ἐπακούει. — 2) Apogr. M. sic: τουτέστι τροπαίοις (f. τρόποις v. τροπαῖς) πολλοῖς πολεμικοῖς εἴδεσιν ἀντὶ τοῦ τρόποις· τουτέστι ἐμβ. κ. τ. λ. — 3) Τὴν πρὸ τῆς Σαλ. sublin. Valken. et edid. ad Herod. VIII, 96, ubi legitur ex Leid. Ψυτταλείαν, ex Herodoto. Dissentiunt et Apogr. Mon. et bomb., qui Ψιτταλίᾳ, et Coll. Nov. qui Ψιτταλίαν, nec non Barocc. 7., Steph. Byz. Ψυτταλείαν. vid. Jebb. ad p. 143. Falli autem nostrum cum in pluribus, tum in eo, quod Aristidem dixerit Themistoclis συστράτηγον, non praeteriit doctiss. Valkenarium l. l. — 4) ὅσοι, Mon. ὅσαι, illud recte bomb. et Leid. — 5) διαφθείρωνται, sic Leid. et bomb., Mon. διαφθείρονται. — 6) μετὰ τῶν γ., sic Leid., Mon. κατὰ. — Ἀνταίρειν τῷ βασιλεῖ subl. Valk.

Digitized by Google

Ἀθηναίων ἀνεῖλε τὸ Περσικόν. Cod. bomb. *Ἐν γὰρ τῇ Ψυτταλίᾳ ἀπέβησάν τινες τῶν Περσῶν, ἵνα ὅσοι τῶν Ἑλλήνων τὴν ναυμαχίαν ἐκφεύγουσι, περιτυγχάνοντες αὐτοῖς διαφθείρωνται.* Coll. Nov. *Ψυτταλίαν* in marg. et Bar. 7. *ἢ τὴν Ψυτταλίαν.*

Ἀνταίρειν τῷ βασιλεῖ] Apogr. Mon. *Νόμος γὰρ ἦν,* p. 246, A. *μᾶλλον δὲ ἔθος Περσικόν, κατὰ κράτος φονεύειν τοὺς τολμῶντας ἀντιστῆναι τῷ βασιλεῖ, ὡς λέγει*[1] *καὶ Ἰσοκράτης ἐν τῷ Εὐαγόρᾳ.* Cod bomb. *Νόμος ἦν Περσικός, εἴτις ἀντῆρε*[2] *τῷ βασιλεῖ, τοῦτον φονεύειν, ὡς καὶ Ἰσοκράτης ἐν τῷ Εὐαγόρᾳ μαρτυρεῖ.*

Παλινῳδίαν ᾠδε] Apogr. Mon. *Παροιμία ἐπὶ τῶν* p. 246, D. *τὰ ἐναντία ἑαυτοῖς ποιούντων, ἀπὸ Στησιχόρου τοῦ Ἰμεραίου.* Cod. bomb. *Παροιμία*[3] *ἐστὶν ἐπὶ τοὺς τἀναντία ποιοῦντας τοῖς πρόσθεν, ἀπὸ Στησιχόρου τοῦ Ἰμεραίου, ποιήσαντος μὲν ψόγον εἰς τὴν Ἑλένην καὶ διὰ τοῦτο τυφλωθέντος, μετὰ ταῦτα δὲ ἔπαινον ᾄσαντος καὶ ἀπειληφότος τοὺς ὀφθαλμούς, ὡς Ἰσοκράτης φησι*[4] *ἐν τῷ τῆς Ἑλένης ἐγκωμίῳ.*

Τοὺς συστάντας] In marg. Schell. *Τοὺς συμπολεμή-* p. 247, B. *σαντας Ἕλληνας.*

Ταῖς τοῦ θεοῦ μαντείαις] Apogr. Mon. *Δίτται ἦσαν* ibid. *αἱ μαντεῖαι, αἱ μὲν διὰ τὸ ξύλινον τεῖχος, αἱ δὲ ὅτι ἀπολοῦνται τέκνα γυναικῶν παρὰ Σαλαμῖνι.* Cod. bomb. *Διπλοῦ ἦσαν οἱ χρησμοὶ, ὁ μὲν γὰρ ἔλεγε*

Τεῖχος Τριτογενεῖ[5] *ξύλινον διδοῖ εὐρυόπα Ζεύς.*

Ὁ δὲ Ἑλλήνων ἀπώλειαν ἐθέσπιζε τὴν Ἀθηναίων μετὰ τῶν βαρβάρων παρατύξιν.

1) *ὡς λέγει καὶ Ἰσοκρ. ἐν τ. Εὐαγ.* p. 327. ed. Lang. *τελευτῶν δ' οὕτως ἀνέπλησεν (Εὐαγόρας) αὐτοὺς (τοὺς πολεμίους) τοῦ πολεμεῖν, ὥστε εἰθισμένων τὸν ἄλλον χρόνον τῶν βασιλέων μὴ διαλλάττεσθαι τοῖς ἀποστᾶσι, πρὶν κύριοι γένοιντο τῶν σωμάτων, ἅσμενοι τὴν εἰρήνην ἐποιήσαντο, λύσαντες μὲν τὸν νόμον τοῦτον κ. τ. λ.* — 2) *ἀντῆρε*, Ap. *ἀντῆρκε*, debebat saltem *ἀντήρει.* — 3) *Παροιμία κ. τ. λ.* Vulgavit hoc schol. F. Ursinus ad poet. lyr. p. 307. ubi *τὰ ante ἐναντία* deest, reliqua sine varietate. — 4) *ὡς Ἰσοκράτης φ. κ. τ. λ.* pag. 360. ed. Lang. — 5) *Τεῖχος Τριτογενεῖ*, bomb. invers. ord. *Διδοῖ τριτογενείη ξύλινον τεῖχος εὐρυόπα Ζεύς.*

Digitized by Google

p. 247, D. *Τοὺς τόπους*] Supra in Schell. *Τῆς ναυμαχίας.*

p. 248, A. *Τοῖς ἀπ' Ἐλευσῖνος φάσμασι*] Apogr. Mon. et Leid. *Δικαῖος καὶ Δημάρατος* [1], *φυγάδες ὄντες καὶ μένοντες παρα Ξέρξῃ, ἔφησαν τῷ βασιλεῖ, καθ' ὧν ἂν ἔλθῃ ὁ κονιορτὸς οὗτος, πάντως ἐκεῖνοι ἡττῶνται. Ἦλθε κατὰ τῶν Περσικῶν τριήρων καὶ διεσκεδάσθη ἐν αὐτοῖς καὶ τεκμήριον τοῦ μέλλειν νικᾶσθαι τὸν βασιλέα γέγονε τοῦτο· ἦσαν δὲ καὶ ἀκούσαντες οἱ τῶν Ἀθηναίων μεμυημένοι ἀφανῶς καὶ ἀπροόπτως ἐκ δαίμονός τινος τὸ ἐπίφθεγμα τὸ λεγόμενον ἐν τοῖς Ἐλευσινίοις* [2]. Cod. bomb. *Δικαῖος* [3] *καὶ Δημάρατος, Ἀθηναῖοι* [4] *ὄντες καὶ πάλαι φυγάδες ἐκ τῆς πόλεως ὄντες παρὰ Ξέρξῃ, γενομένης συμπλοκῆς καὶ κονιορτοῦ ἀρθέντος εἰς ἀέρα ἐξ Ἐλευσῖνος, ἔφησαν τῷ βασιλεῖ, ὡς καθ' ὧν ἂν ὁ κονιορτὸς πέσῃ, ἡττηθήσονται· πέπτωκε κατὰ Περσικῶν τριήρων καὶ σκεδασθεὶς ἐν αὐταῖς εἰς φόβον ἐνῆκε τὸν βασιλέα, ὧν ὕστερον ἔμελλε πείσεσθαι. Ἐν δὲ τῇ τοῦ κονιορτοῦ ἄρσει καὶ ὅσοι τῶν Ἀθηναίων ἦσαν μεμυημένοι, ἤκουσαν φωνῆς τινὸς ἐκ δαίμονός τινος ἀφανοῦς λεχθείσης, ὡς παρέσονται τῇ ναυμαχίᾳ Περσεφόνη καὶ Δημήτηρ.* In marg. Schell. *Τοῖς παραδόξοις θαύμασι* [5].

ibid. *Τοῖς παρὰ τῶν ἐχθρῶν*] In marg. Schell. *Ἐνόμιζον γὰρ μὴ πρὶν κρατῆσαι τῶν ἄλλων, πρὶν Ἀθηναίους καταστρέψασθαι.*

1) *Δικαῖος καὶ Δημάρατος* in Mon. et Leid. abierant in *Ἴακχος* (*ΔΙΚΑΙΟΣ* in *ΑΚΑΤΟΣ*) et *Δημάλατος*, quem errorem jam ante Valkenarium viderat doctus Codicis Burmanniani lector, cf. Valken. ad Herod. VIII, 65. et Creuz. comment. Herodot. I. p. 234. Valkenario l. l. imposuit mala in Leid. interpunctio, ita emendat: *καὶ τεκμήριον (ἦν) τὸ μέλλειν νικᾶσθαι τὸν βασιλέα· γέγονε τοῦτο· ἦσαν δὲ κ. τ. λ.* Jam si illud τὸ, quod legitur item in Mon. mutaveris in τοῦ, sublatis istis interpunctionibus, et sensus et verba constabunt. — 2) In clausula hujus schol. Monacensis addit: *Τοῖς ἀπ' Ἐλευσῖνος δὲ φάσματα*, quae ipsius Aristidis sint. — 3) *Δικαῖος*, bomb. *Δίκαιος*. — 4) *Ἀθηναῖοι κ. τ. λ.* Quid? Demaratumne nobis Atheniensem mentitur? Non magis recte, cum nubem istam mysticam in Persarum triremes deplasam prodit, qui quidem error antiquitus obtinuisse videtur, cum vel ipsi Aristidi a Jebbio ex schedis Baroce. inculcatus sit, vide Wessel. ad Herod. VIII, 65 extr. Alius erroris coarguit nostrum Valken. l. l. — 5) *θαύμασι*, f. *θεάμασι*.

Digitized by Google

Ὁ δὲ ἐκείνων βασιλεὺς] Supra in Schell. Τους περὶ τὸν Μαρδόνιον λέγει. ibid.

Τῶν ἐκ Δελφῶν λογίων [1]] Apogr. Mon. Σοφίζεται τοῦτο· ἦν γαρ Μαρδόνιος πέμψας εἰς πολλὰ μαντεῖα, καὶ εἰς τὸ Ἀμφιαράου Ἄρμα [2] καὶ εἰς τὴν Λεβάδειαν, πόλιν τῆς Βοιωτίας, ἔνθα ἦν τὸ ἱερὸν Τροφωνίου, βουλόμενος μαθεῖν, πῶς ἂν προλάβοι [3] τὴν Ἑλλάδα. Εἶτα ἐδόθη αὐτῷ χρησμός· ὡς δὲ οὐκ ἐνόησεν αὐτὸν, πέμπει πρεσβείαν πρὸς τοὺς Ἀθηναίους ἐπὶ τῷ προδοῦναι τὴν Ἑλλάδα· καὶ ἐκ τούτου ἐστοχάσαντο ὕστερον, ὅτι ἐδήλου ὁ χρησμὸς [4], εἰ προδοῖεν Ἀθηναῖοι τὴν Ἑλλάδα, πάντων τῶν ἄλλων Ἑλλήνων Πέρσαι κρατήσουσιν. p. 249, C.

Ἀλέξανδρος] In marg. Schell. Ὁ καὶ φιλέλλην καλούμενος. p. 250, B.

Πρὸ ἡλίου δύνοντος] In marg. Coll. Nov. Γρ. δυσμοῦ. ibid.

Τοῦ λοιποῦ προειπόντος [5]] Apogr. Mon. Ταύτην λέγει τὴν μωρίαν, καὶ Θουκυδίδης τοῦτο εἶπε περὶ τοῦ Μελισάνδρου. p. 250, C.

Διαρκέστερον] In marg. Schell. Ἦγουν εὐτελέστερον τῶν Ἀθηναίων, a rec. man. p. 251, B.

Συνέγνωσαν] Ibid. Ἤτοι κατέγνωσαν. p. 252, A

Πολλοῦ τ. κρ.] Ibid. Ἐκ τοῦ πολλῷ ὑπερέχοντος. p. 253, B.

Ἀκολουθεῖν δυναμένους] Ibid. Εἰς τὸ συμμαχεῖν προθυμοτέρους γεγενημένους· πρότερον ἐδεδίεσαν, μὴ εἰδότες τὴν ἀρετὴν αὐτῶν. p. 253, C.

Ἐξεχώρησαν] Ibid. Ὡς πρὸς τὸ ὅλον στρατόπεδον πολλὸν (sic) καὶ οἱ φεύγοντες πολλοὶ διὰ πλήθους περιουσίαν. p. 254, C.

1) Τῶν ἐκ Δ. λογ. sublin. Valken. Apogr. Mon. ita: Σοφίζεται· τοῦτο γὰρ ἦν Μαρδόνιος. — 2) εἰς τὸ Ἀμφιαράου Ἄρμα, recte; vide Steph. B. s. v. et Et. M. s. v. et Intt. ad Hesych. s. v. — 3) προλάβοι, sic Apogr. f. προσλάβοι. — 4) a fine vocis χρησμὸς absorptum forte ὡς. — 5) τοῦ λοιποῦ προειπ., huc Werf. ex Apogr. retulit schol., quod quâ hic locum habeat, non video; certe quidem ex Thucyd. II, 69. lucis nil affulget. Attamen pro τὴν μωρίαν suspicor τιμωρίαν legendum.

Digitized by Google

p. 255. B. Ἀπῆλθον] Ibid. Τέλος τῆς ᾱ στάσεως. Ἄλλοι δὲ εἰς τρία μέρη διαιροῦσι κατὰ τὸν ἀριθμὸν τῶν τῆς ἑορτῆς ἡμερῶν, ἄλλοι δὲ εἰς βξ ὅτι καὶ ἡμέραι βν.

p. 257, A. Παραιτούμενος] Supra in Schell. Συγγνώμην αἰτῶν.

p. 257, C. Ἐπ' αὐτοῦ τοῦ τόπου [1]] Apogr. Mon. et Leid. Ἐπὶ τῆς Πλαταίας· [2] τὸν μάντιν δὲ λέγουσιν εἰπεῖν τοῖς Ἕλλησιν ἐν Πλαταιαῖς οὖσιν, ὅτι εἰ θύομεν τοῖς θεοῖς, μὴ ἀφώμεθα [3] τοῦ παρ' ἡμῖν πυρός, ἐμολύνθη γὰρ ἐκ τῶν Μήδων· ἀλλὰ πέμψωμεν εἰς Δελφούς. Τότε Πλαταιεύς τις ἀπῆλθεν εἰς Δελφοὺς καὶ ἦλθεν αὐθήμερον χιλίους σταδίους ποιήσας· καὶ ἐλθὼν ἐς Πλαταιὰς καὶ ῥίψας ἐν μέσῳ τὸ πῦρ, ἐτελεύτησε μὴ ἐνεγκὼν τὸν κάματον. Cod. bomb. Τῆς Πλαταίας [4] φασὶ δὲ, ὡς μάντις τις εἶπε τοῖς Ἕλλησιν, ἐν Πλαταιαῖς [5] οὖσι καὶ βουλομένοις θῦσαι Δίι, ὡς εἰ πρέπουσαν θυσίαν ἡμᾶς δεῖ ποιήσασθαι, οὐ δίκαιον ἦν συμπαραλαβεῖν τὸ εὑρισκόμενον πῦρ, ἀλλ' ἑτέρωθεν μετενεγκεῖν, ἐμολύνθη γὰρ ἐκ τῶν Μήδων. Τότε Πλαταιεύς τις ἀπῆλθεν εἰς Δελφοὺς καὶ ἦλθεν αὐθήμερον χιλίους σταδίους καὶ ἐλθὼν εἰς Πλάταιαν [6] καὶ ῥίψας ἐν μέσῃ τὸ πῦρ ἐτελεύτησε, μὴ ἐνεγκὼν τὸν πόνον.

ibid. Ἐπιγράμμασιν [7]] Cod. bomb. Ἀναθήματα εἰς θεοὺς ἤγουν εἰς τοὺς Δελφοὺς μετὰ τὴν νίκην Ἀθηναῖοι καὶ Ἕλληνες ἤγαγον, ἀσπίδας καὶ κράνη, ἐφ' ὧν ἐπέγραψαν, ὅτι ἀπὸ Μήδων λαβόντες ἀνέθεσαν τῷ διὰ τῶν χρησμῶν παρεσκευακότι τὴν νίκην. Barocc. 7. ἀποτάγμασιν (sic, f. ἐπιτάγμ.), in marg. γρ. ἐπιγράμμασιν.

p. 258, A. Εἰς τοὺς κρείττους] In marg. Schell. Εἰς θεοὺς εἰς ἀρίστους ἀνδραγαθίᾳ.

1) Ἐπ' αὐτοῦ τοῦ τ., subl. Valk. et edid. ad Herod. VI, 106. inde ab: ἀπῆλθεν εἰς Δελφοὺς κ. τ. λ. sine variet. — 2) Πλαταίας, Mon. Πλαταιᾶς. — 3) μὴ ἀφώμεθα, f. ἀφώμεθα. — 4) Τῆς Πλαταίας, pendet a praep. ἐπὶ, quae est Aristidis. — 5) ἐν Πλαταιαῖς, Cod. ἐν Πλαταιᾶσιν, cujus in locum illud substitui vel propter Apogr. Mon. vel propter vocalem ἐν, quam fateor ex Ἕλλησιν enatam esse posse, de Πλαταιάσι et Πλαταιᾶσι cf. Intt. ad Thucyd. I, 131, de diverso accentu in Πλάταια et Πλαταιαὶ cf. Steph. Byz. s. v. et Duk. ad Thucyd. III, 32. — 6) εἰς Πλάταιαν, Cod. b. εἰς Πλαταιὰν. — 7) Ἐπιγράμμασιν, subl. Valken.

Digitized by Google

Ἀντ' ἀναθήματος κ. τ. λ. [1] Apogr. Mon. et Leid. p. 258, B.
Ἀνάθημά ἐστι το χαριστήριον, ἄγαλμα δὲ τὸ ξόανον· τὰ γοῦν ἱερὰ ἀεὶ ἐξ ἀναθημάτων κοσμοῦνται· ἡ δὲ ἀκρόπολις αὐτὴ [2] *κόσμος ὑπῆρχεν ἤ* [3] *οὐκ ἐξ ἑτέρου τὸν κόσμον ἐδέχετο. Τῇ ἐπανορθώσει δὲ τὸν λόγον ἐκόσμησεν· ἀνάθημα μὲν γάρ ἐστι τὸ εὐχαριστήριον τοῖς θεοῖς ἀνατιθέμενον, ἄγαλμα δὲ ὅσον* [4] *εἰς χρείαν ὑπουργεῖ· καὶ γὰρ μαντεύεται καὶ μεῖζόν γέ ἐστι τῷ μεγέθει τοῦ ἀναθήματος.* [5]

Ἐν τῇ ὑπερορίᾳ] Apogr. Mon. et Leid. *Ἔπεμψε* ibid.
δὲ καὶ εἰς Μίλητον ἀναθήματα τῷ καλουμένῳ Διδύμῳ. Cod. Schell. *Ἐν Μιλήτῳ τῷ Ἀπόλλωνι τῷ καλουμένῳ Διδύμῳ·*

Τὴν τοῦ κύκλου [6]] In marg. Schell. *Τοῦ περιβόλου,* p. 258, C.
ὡς ἔνδον παραλαβεῖν ἔρημα πολλὰ τῆς πόλεως.

Καλλίων καὶ μείζων [7]] Apogr. Mon. *Μείζονα γὰρ* ibid.
τοῦ περιβόλου ποιήσασθαι ὕστερον· διὸ καὶ ὁ Ἀδριανὸς ἐλθὼν καὶ μείζονα ποιήσας τὸν περίβολον, ἔνθα μὲν ἦν πρὸ τοῦ τείχους τὸ παλαιὸν, ἔγραψε· Τοῦτο ὁ Θησεὺς ἔκτισε καὶ οὐκ Ἀδριανός· ἔνθα δὲ αὐτὸς ἔκτισεν, ἔγραψε· Τοῦτο Ἀδριανὸς καὶ οὐ Θησεὺς ᾠκοδόμησεν.

Καθ' ὁδὸν] Phot. *Τὸ καθ' ὁδὸν ἢ κατ' ἀξίαν λέγει,* ibid.
ὥσπερ ἐστὶν εὐθεῖα ἡ ὁδὸς ἢ ὥσπερ συμβαίνει ἐν ὁδῷ γενέσθαι· πολλάκις γάρ τις ἀπερχόμενος τήνδε τὴν ὁδὸν, ἄλλην ἕλκοντος αὐτὸν βαδίζει φίλου.

Ἀντεπελθεῖν] In marg. Schell. *Ἀντεπῆλθον ἐν* p. 260, C.
Μυκάλῃ, Κίμωνος στρατηγοῦντος.

Ἐλευθερίᾳ [8]] Ibid. *Ἦ δεῖ χρῆσθαι τοὺς ἄρχοντας* ibid.
πολέμου, οἳ δὴ ἀδικοῦσιν ὡς ἐπίπαν.

1) *Ἀντ' ἀναθήματος κ. τ. λ.* Huc cum Leid. retuli hoc schol., non cum Werf. ad *Ἀκρόπολιν.* — 2) *αὐτὴ*, sic Leid., Mon. *αὕτη.* — 3) *ἤ* f. *καὶ* — 4) *ὅσον*, sic Leid., Mon. *ὅσα.* — 5) His addita erant, quae statim subjunguntur ex utroque Apogr. ad *Ἐν τῇ ὑπερορίᾳ*, unde factum est, ut in excerptis Leid. duorum scholiastarum scholia hic legi animadverteretur; id quod secus habebat. — 6) *Τὴν τοῦ κύκλου* subl. Valk. — 7) *Καλλίων καὶ μ.* subl. Valk. — 8) *Ἐλευθερίᾳ*, subl. Valk.

Digitized by Google

p. 261, A. Ἀνάγκης] Ibid. *Πολέμου ἀναγκάσαντος, τύχης γαρ ἔργον ὁ πόλεμος.*

p. 262, A. Ἐν Μυκάλῃ] Apogr. Mon. *Ὅρος ἐστὶ τῆς Ἀσίας καταντικρὺ τῆς Σάμου· ἐκλήθη Μυκάλη, ὅτι ὅτε ἡ Γοργὼ ἀπετμήθη παρὰ τοῦ Περσέως ἐν ἐκείνῳ τῷ τόπῳ, ἐμυκήσατο. Ταῦτα δὲ ἐποίουν*[1] *Ἀθηναῖοι ἐν τῇ διώξει καὶ τὴν δίκην*[2] *καθαίροντες τὴν Εὐρώπην.* Cod. bomb. *Ὅρος τῆς Ἀσίας ἡ Μυκάλη καταντικρὺ Σάμου· ἐκλήθη δὲ Μυκάλη διὰ τὸ μυκήσασθαι τὴν Γοργὼ ἐκεῖσε, ὅτε ὑπὸ Περσέως ἀπετμήθη τὴν κεφαλήν. . . . . .*

p. 262, B. Οὐκ ἐλάττω κ. τ. λ.] In marg. Schell. *Ἀθηναῖοι γὰρ ἀπογαίοις οὐκ ἐχρῶντο διὰ τὸ τέμνειν αὐτὰ τοὺς πολεμίους.*

p. 263, A. Ἔπειτ' ἀπῆραν] Apogr. Mon. *Ὑπέστρεψαν·* φησὶ καὶ ὁ Θουκυδίδης.[3]

ibid. Ἐπ' ἐκείνους κ. τ. λ.] Supra in Schell. *Μετ' ἐκείνων τῶν Ἀθηναίων καὶ τῆς Ἑλλάδος.*

p. 263, C. Δύο τρόπαια] Apogr. Mon. *Σημαίνει τὸ Κίμωνος κατόρθωμα, ὅτε ἐν μιᾷ ἡμέρᾳ ἐνίκησε καὶ ναυμαχίαν καὶ πεζομαχίαν. Ταῦτα δὲ λέγει Θουκυδίδης*[4] *ἐν τῇ πεντηκοντατετίᾳ . . . . .* Cod. bomb. *Εἰς τὰς αὐθήμερον ταύτας νικὰς Σιμωνίδης*[5] *ὕμνησε λέγων·*

Ἐξ οὗ γ'[6] *Εὐρώπαν*[7] *Ἀσίας δίχα πόντος ἔνειμε*[8]*,*
Καὶ πόλιας θνατῶν[9] *θοῦρος Ἄρης ἐφέπει*

1) *Ταῦτα δὲ ἐποίουν κ. τ. λ.* haec ad ea pertinent, quae continuo leguntur in Aristide. — 2) *καὶ τὴν δίκην κ. τ. λ.* Utrum *τὴν δίκην* h. l. est quasi, veluti? An legendum *κατὰ τὴν δίκην*, an *καταδίκων*, cum subsequatur *λῆσται*? — 3) *ὁ Θουκ.*, f. II, 25. — 4) *Θουκυδίδης* I, 100. 112. — 5) *Σιμωνίδης*, vid. Gaisford. poett. min. t. I, p. 374. ex quo omnem lectionis varietatem huc adponere, non adtinet. — 6) *Ἐξ οὗγ'*, sic ex Gaisf. et d' Orvill. ad Charit. p. 628. recepi, Cod. homb. et ipse Aristid. t. II, p. 156. et p. 380, ed. Jebb. *ἐξ οὗτ'* — 7) *Εὐρώπαν*, Cod. b. *Εὐρώπην.* — 8) *ἔνειμε*, Cod. bomb. *ἔκρινε*, sic Aristides ejusque enarratores in Codd. invenisse videntur, quod vel cum d' Orvillio p. 629. glossam vocis *ἔνειμε* crede, vel cum Wessel. ad Diod. I, p. 450. ex diversa epigrammatis editione natum. — 9) *θνατῶν*, bomb. *θνητῶν.*

Digitized by Google

Οὐδενί πω καλλίον ἐπιχθονίων γένετ' ἀνδρῶν
Ἔργον ἐν ἠπείρῳ καὶ κατὰ πόντον ὁμοῦ.
Οἵ δε γὰρ ἐν γαίῃ Μήδων πολλοὺς ὀλέσαντες
Φοινίκων ἑκατὸν ναῦς ἕλον ἐν πελάγει
Ἀνδρῶν πληθούσας· μέγα δ' ἔστενεν Ἀσὶς ὑπ' αὐτῶν
Πληγεῖσ' ἀμφοτέραις[1] *χερσὶ, κράτει πολέμου.*

Οὐ λινοδέσμῳ] Supra in Schell. *Διὰ λίνου ἦροι* καννάβεως. At in marg. *Περιουσία κέρδους ἐγένετο. Θαυμασίως εἴρηται*[2] *τὸ ἐπίσημα γενέσθαι τὰ Μήδων, ἐν οἷς ἐδυστύχησαν, κέρδος ἄκερδες καρπωσάμενοι.* p. 264, A.

Εἰ δὲ βούλει] Supra in Schell. *Διωρθωτικῶς*, mox super *ἐπιεικῶς* leg. *βεβαίως, ἀληθῶς.* p. 264, B.

Ὥστ' ἐκινήθησαν[3]] Apogr. Mon. *Ἀντὶ τοῦ ἀπέστησαν· λέγει γὰρ Θουκυδίδης·*[4] *Ἴναρος δὲ ὁ Ψαμμητίχου, Λιβύων βασιλεὺς, ἀπέστη βασιλέως.* Cod. bomb. *Ἴναρος ὁ Ψαμμητίχου, ὢν Λιβύων βασιλεὺς, ἐκπλαγεὶς πρὸς τὴν τῶν Ἀθηναίων ἔφοδον, ἀποστὰς ἐκ τοῦ βασιλέως, αὐτοῖς προσεχώρησεν.* p. 264, C.

Τὸ ἕλος] Cod. bomb. *Μέρος τι τῆς Αἰγύπτου Ἕλος καλεῖται, ὃ πρὸς Ἀθηναίους ἐχώρησε. Ἰστέον δὲ, ὅτι πᾶσα ἡ Αἴγυπτος ὑπήκους οὖσα Πέρσαις, δὶς ἀπ' αὐτῶν ἀπέστη, ἐπὶ Καμβύσου καὶ Ξέρξου, καὶ πάλιν αὐτοῖς ὑπήκουσεν ὑπὸ πολέμου καταδουλωθεῖσα.* p. 264, D.

Εἰς κοινὸν] Supra in Schell. *Ὑπὲρ τοῦ κοινοῦ.* p. 265, A.

Κακίᾳ] Supra in Schell. *Ἀνανδρίᾳ.* ibid.

Περιπόλους] In marg. Schell. *Φύλακας. Λιβάνιος· πάλαι γὰρ σὺ περίπολος καὶ φιλόδωρος.* p. 265, B.

Ἥλην ἐπηρμένος] Ad *Ἥλην*[5] in marg. *ὡς ὅπλον δηλονότι.* Super *ἐπηρμένος* legitur *βαστάζων.* p. 265, C.

1) *ἀμφοτέραις χερσὶ*, Aristid. t. II, p. 157. ed Jebb. *ἀμφοτέρᾳ χειρὶ*, quod maluit Ursin.. cf. Brunck. Anthol. t. III, emendat. p. 20 et Gaisf. l. l., ibi autem Cod. Bar. 7. Coll. Nov. et Schell. *ἀμφοτέραις χερσί.* — 2) *εἴρηται τὸ*, Cod. *εἴρηται τὰ.* — 3) *Ὥστ' ἐκινήθησαν*, subl. Valk. — 4) *Θουκυδίδης*, I, 104, memoriter laudatus. — 5) *Ἥλην ἐπηρμένος*, subl. Valken.

Digitized by Google

p. 265, D. *Τὴν χώραν*] In marg. Schell. *Τὴν Ἀσίαν λέγει, τὴν ἰδίαν*[1] *χώραν, ἣν ἤσθετο ὁρμητήριον οὖσαν κατ' αὐτοῦ· ἐκεῖθεν γὰρ ὁρμώμενοι κατέτρεχον τὴν ἄνω χώραν.* Phot. *Τὴν ἰδίαν χώραν καθ' ἑαυτοῦ· ἐξ αὐτῆς γὰρ οἱ Ἀθηναῖοι, ἤτοι τῆς Ἀσίας, ὡς ἐξ ὁρμητηρίου ἀφορμῶντες* (sic leg. pro *ἀφορῶντες*) *ἔβλαπτον αὐτόν.*

p. 266, B. *Ἐκ γῆς καὶ θαλάττης*] Apogr. Mon. *Τουτέστι κατὰ γῆν καὶ κατὰ θάλατταν.*

ibid. *Πρύμναν κρούσασθαι*] Cod. bomb. *Τὸ πρύμναν· κρούσασθαι παροιμία ἐπὶ τῶν πρὸς ὀλίγον μεταχωρούντων· τοιοῦτον δέ ἐστι καὶ τὸ ἐπὶ πόδα ἀναχωρῶν, ὃ καλεῖ Ὅμηρος ἐντροπαλισμόν.*

ibid. *Οὐδ' ὡς ἐπὶ πόδα ἀναχωρῆσαι*] Apogr. Mon. *Ὁ καλεῖ Ὅμηρος·*

Ἐντροπαλιζόμενος ὀλίγον γόνυ γουνὸς ἀμείβων.

ibid. *Μυριάδας*[4] *σταδίων*] Apogr. Mon. *Τὸ παρὰ θάλατταν, λέγει τῆς Ἰωνίας. Οὕτω καὶ*[5] *Δημοσθένης· ἵππου μὲν δρόμον ἡμέρας μὴ καταβαίνειν ἐπὶ θάλατταν βασιλέα. Ταῦτα δὲ Καλλίας ὁ πρεσβευτὴς συνέθετο μετὰ τὰ Μηδικὰ καὶ ὅτι κατὰ θάλατταν ἐντὸς Κυανέων μὴ εἰσιέναι βασιλέα.*

p. 266, C. *Πηνειοῦ*] Cod. bomb. *Ἰστέον, ὅτι δύο Πηνειοί εἰσίν, ὁ μὲν γὰρ διὰ τῶν Θετταλικῶν Τεμπῶν ῥέει καὶ καλεῖται Σαλαβρία, ὁ δὲ ἐν Μασσαλίᾳ ἐστί, περὶ οὗ νῦν λέγει.*

p. 266, D. *Τὸν ὄμφαλον τῆς γῆς κ. τ. λ.*] Apogr. Mon. *Ἐκάλεσε τῆς οἰκουμένης τοὺς Δελφούς. Φασὶ*[6] *γὰρ ὅτι ὁ Ζεὺς βουλόμενος γνῶναι τὸ μέσον τῆς γῆς, ἀετοὺς ἀπὸ τῶν ἄκρων τῆς γῆς ἀπέλυσε καὶ συνήντησαν ἑαυτοῖς εἰς Δελφούς.* Cod. bomb. *Ὥσπερ ἐπὶ σώματος ἀνθρωπινοῦ ὄμφαλός ἐστι μέσον*[7],

1) *ἰδίαν*, Cod. *ἰδίαν*. — 2) *Πρύμναν κρ.* subl. Valken. — 3) *Ὁ καλεῖ Ὅμηρος*, Iliad. XI, 547. cf. Schol. ad Av. 382, ubi tacite laudatur Homeri versiculus. Aristophanes l. l.

. . . . *Ἀναγ' ἐπὶ σκέλος.*

4) *Μυριάδας σταδίων*, subl. Valk. — 5) *καὶ Δημοσθένης*, de falsa leg. p. 102 ed. Schaef. cf. Wessel. ad Diod. Sicul. XII, 4. pag. 480. In Demosthenis verbis excidit *πεζῇ* post *ἡμέρας*. — 6) *φασὶ γ.*, Ap. *φησὶ γ.* — 7) *μέσον*, f. *τὸ μέσον.*

Digitized by Google

οὕτω καὶ οἱ Δελφοὶ τὸ μέσον εἰσὶ πάσης τῆς γῆς καὶ ὀμφάλου τόπον ἐπέχουσι. Φασὶ γὰρ, ὡς ὁ Ζεὺς βουλόμενος ἀνθρώποις τὸ μέσον τῆς γῆς ἐμφανίσαι, δύο ἀετοὺς ἰσοπετεῖς ἀπὸ τῶν ἄκρων τῆς γῆς ἀπέλυσε καὶ συναντηθέντες εἰς Δελφοὺς δῆλον τὸ μέσον τῆς γῆς ἐποίησαν.

Κεφάλαιον] In marg. Schell. *Τὸ κεκορυφωμένον καὶ ἐξειργασμένον ἀκροτελεύτιον.* p. 267, C.

Κατέκλεισε[1]] Apogr. Mon. *Περιέλαβε. Δημοσθένης*[2] *ἐν Φιλιππικοῖς· νόμῳ κατακλείσητε· ἢ ἀντὶ τοῦ ἐπεβεβαίωσεν, ἐπεσφραγίσατο.* In marg. Schell. *Περιέλαβεν, ἠσφαλίσατο, ἐπεβεβαίωσεν. Δημοσθένης· νόμῳ κατακλείσητε.* ibid.

Αἰγινητῶν] Apogr. Mon. et Leid. *Τὴν μάχην*[3] *αἰνίττεται τὴν περὶ τῶν ἀγαλμάτων. Ἐπιδαυρίοις γὰρ λιμώττουσιν ἔχρησεν ὁ θεὸς, ἀγάλματα ποιήσασθαι Ταμίης*[4] *καὶ Αὐξησίης, δαιμόνων τινῶν ἀπὸ ξύλου ἐλαίας*[5] *ἱερᾶς τῶν ἐν ἀκροπόλει· οἱ δὲ ἐλθόντες εἰς Ἀθήνας ἐδέξαντο τὸ ξύλον, φόρον τινὰ φέρειν ταξάμενοι. Αἰγινῆται δὲ μετὰ ταῦτα πολεμοῦντες πρὸς αὐτοὺς καὶ νικήσαντες τήν τε πόλιν ἐπόρθησαν καὶ τὰ ἀγάλματα ἔλαβον· ἀπαιτούμενοι δὲ τὸν φόρον Ἐπιδαύριοι ἔφησαν, μὴ ἔχειν τὰ ἀγάλματα, δίκαιον δὲ εἶναι τοὺς ἔχοντας παρασχεῖν· καὶ οὕτως ἀναγκάζονται Ἀθηναῖοι πρὸς Αἰγινήτας ἄρασθαι πόλεμον.* Cod. bomb. *Ἐπιδαυρίοις λιμώττουσιν ἔχρησεν ὁ θεὸς ἀγάλματα ποιήσασθαι Ταμίας καὶ Αὐξησίας, αἵ εἰσι θεαὶ ἔφοροι τῶν ταμιῶν καὶ τῆς τούτων αὐξήσεως, ἀπὸ ξύλου ἐλαίας ἱερᾶς τῆς ἐν ἀκροπόλει· οἱ δὲ ἐλθόντες*[6] *κ. τ. λ.* In marg. Schell. *Ἐπιδαυρίοις λιμώττουσιν ἔχρα*[7] *ὁ θεὸς, ἀγάλ-* p. 268, A.

1) *Κατέκλεισε*, subl. Valken. — 2) *Δημοσθένης ἐν Φ.*, Philipp. p. 54. ed Schaef. — 3) *Τὴν μάχην αἰνίττεται κ. τ. λ.* haec publicavit Valken. ad. Herod. V, 82, omissis quae post *οἱ δὲ ἐλθόντες κ. τ. λ.* leguntur. — 4) *Ταμίης* et *Αὐξησίης*, sic Leid. apud Valken., Mon. et Schellersh., quare cum Valken. retinui; solus bomb. *Ταμὶς* et *Αὐξησίας*, al. *Δαμίας* vel *Δαμίης*, cf. Creuz. Symb. t. IV, p. 50 seq. — 5) *ἐλαίας ἱερᾶς*, Mon. *ἐλαίας ἢ ἱερᾶς*, *ἢ* non legitur penes Valken. l. l. — 6) *οἱ δὲ ἐλθόντες, κ. τ. λ.* reliqua enim plane ut in Apogr. Mon. — 7) *ἔχρα* Cod. *ἔχρη*.

Digitized by Google

ματα ποιήσασθαι Ταμίης καὶ Αὐξησίης δαιμόνων τινῶν ἀπὸ ξύλου ἐλαίας τῆς Ἀθήνησιν ἱερᾶς ἐν ἀκροπόλει, ὅπερ ἔδοσαν Ἀθηναῖοι φόρον τινὰ φέρειν ταξάμενοι. Ταῦτα τὰ ἀγάλματα Αἰγινῆται τὴν Ἐπίδαυρον πορθήσαντες ἔλαβον, ὅθεν καὶ μὴ τελούντων τὴν φορὰν Ἐπιδαυρίων, πρὸς Αἰγινήτας Ἀθηναῖοι πόλεμον ἤραντο.

ibid. *Τὰ ναυτικὰ*[1] *πρώτους*] Apogr. Mon. et Leid. *Καὶ ὁ Ἡρόδοτος αὐτοῖς δίδωσι τὰ πρωτεῖα τῆς ἐν Σαλαμῖνι ναυμαχίας, ὡς ναυτικοῖς*[2]. *Ἔπαινος τοίνυν Ἀθηναίων ἐστὶ, ὅτι τοὺς ναυτικοὺς ἐνίκησαν.*

ibid. *Κορινθίων*[3]] Apogr. Leid. *Κορινθίων γὰρ περὶ γῆς ὅρων πολεμούντων πρὸς Μεγαρέας, Ἀθηναῖοι Μεγαρεῦσιν ἐβοήθησαν.*

p. 268, B. *Καὶ Θασίων*[4]] Apogr. Mon. *Οὗτοι γὰρ ἀπέστησαν πρῶτοι, ὡς Θουκυδίδης*[5] *φησὶν ἐν τῇ πεντηκονταετίᾳ. Ἀλλὰ καὶ οἱ Καρύστιοι.*

ibid. *Βουλευομένων*] Supra in Schell. *Ἀποστάντων.*

ibid. *Καλούντων*[6] *δὲ κ. τ. λ.*] Apogr. Mon. . . . . *Καὶ διὰ τὸ ἱερὸν, ὡς φησιν*[7] *ὁ συγγραφεὺς, ὅτι Λακεδαιμόνιοι Δελφοῖς δεδώκασιν, ἀφελόμενοι Φωκέων. Λέγει δὲ νῦν τὴν*[8] *μάχην τὴν πρὸς τοὺς Εἵλωτας γεγενημένην, ὅτι ἐν σεισμῷ ἀπέστησαν, ὅθεν ἡ ἀρχὴ τῆς ἔχθρας αὐτοῖς γέγονε, ὡς φησι*[9] *Θουκυδίδης.*

p. 269. C. *Ἐνίκων*[10] *δὲ Κορινθίους*] Apogr. Mon. *Ἡ ἱστορία δὲ παρὰ Θουκυδίδῃ*[11]· *ἐν τῇ πεντηκονταετίᾳ λέγει, Μυρωνίδου*[12] *στρατηγοῦντος.*

1) *Τὰ ναυτικὰ πρώτους*, subl. Valken. et edidit ad Herodot. VIII, 93. — 2) *ὡς ναυτικοῖς*, Werferus ex Monac. puncta post *ναυτικοῖς* posuit, omissis his: *Ἔπαινος τοίνυν κ. τ. λ.* — 3) *Κορινθίων*, scholion hoc a proxime antecedenti non erat sejunctum in Leid., atque ideo opinor Valk. vocem *Κορινθίων* in suo exemplari non sublineaverat. — 4) *Καὶ Θασίων* subl. Valk. — 5) *ὡς Θουκυδίδης φ.*, I, 100. — 6) *Καλούντων δὲ* sublin. Valken. — 7) *ὡς φησιν ὁ συγγραφεὺς*, I, 112. — 8) *νῦν τὴν*, Apogr. *τὴν νῦν.* — 9) *ὡς φησι Θουκυδίδης*, I, 102. — 10) *Ἐνίκων δὲ Κορινθίους* subl. Valken. — 11) *παρὰ Θουκυδίδῃ*, I, 105. — 12) *Μυρωνίδου*, Apogr. *Μυρωνίδου.* Eundem de Corinthiis ab Atheniensibus fusis

Digitized by Google

Τοῦ σοφίσματος] Supra in Schell. *Τῆς ἐπινοίας.* p. 270, B.

Ἀκμῆς] Apogr. Mon. *Νεότητος. Καὶ Ἰσοκράτης*[1] *ὑστερίζω*[2] *γὰρ ἀκμῆς τῆς ἐμαυτοῦ.* p. 270, C.

Ὥσπερ[3] *ἐν δράματι*] Apogr. Mon. *Ἔχομεν γὰρ πολλάκις ἐν τοῖς κωμικοῖς δράμασι θεοὺς φαινομένους διὰ μηχανῆς· καὶ πρὸς τὸ συμφέρον δὲ ἐν τοῖς*[4] *δράμασι διασκευάζεται.* Cod. bomb. *Ἔχομεν πολλάκις ἐν τοῖς ποιητῶν δράμασι θεοὺς φαινομένους ἐκ μεχανῆς· καὶ πρὸς τὸ συμφέρον δὲ ἐν τοῖς δράμασι τὰ πράγματα διασκευάζεται, ὥσπερ Εὐριπίδης εἰσήγαγε τὸν Ἀπόλλωνα, Ὀρέστην*[5] *καὶ Μενέλαον εἰς ὁμόνοιαν ἄγοντα.* p. 270, D.

Ὅποι σωθήσονται[6]] Schol. mscr. Werferi in Actis philol. mon. t. I, fasc. III, p. 417. γρ. ὅπη καὶ ὅπως, *ἀπεκέκλειντο*[7] *γὰρ πανταχόθεν.* p. 272, A.

Ἐν Τανάγρᾳ] Apogr. Mon. *Τούτου μέμνηται Θουκυδίδης,* (I, 102.) *ὅτι ἡνίκα ἐπολέμουν*[8] *Λακεδαιμόνιοι κατὰ τῶν Εἱλωτῶν*[9]*, τειχομαχῆσαι βουλόμενοι, ἐπεκαλέσαντο Ἀθηναίους· εἶτα δεδιότες τὸ νεωτεροποιὸν αὐτῶν, ἀπεπέμψαντο αὐτούς. Ὀργισθέντες οὖν οἱ Ἀθηναῖοι μετὰ τὴν ἀναχώρησιν τῶν Λακεδαιμονίων κατὰ Φωκέων στρατευσάντων καὶ μελλόντων*[10] *ἐπανιέναι, πανταχόθεν ἀπέκλεισαν ἐπιστρέφοντας ἐν τῇ Πελοποννήσῳ καὶ συνέβαλον αὐτοῖς ἐν Τανάγρᾳ καὶ ἡττήθησαν . . . . .* Cod. bomb. *Λακεδαιμόνιοι ἔν τινι τόπῳ κατὰ Εἱλώτων*[11] *πολεμοῦντες ἐπεκαλέσαντο Ἀθηναίους, ὡς δεινοὺς τειχομαχεῖν καὶ φοβηθέντες αὐτοὺς ὡς νεωτεροποιοὺς πάλιν ἀπεπέμψαν. Ὀργισθέν-* ibid.

in bomb. fol. 52. vers. occurrere, adnotavit Werferus. — 1) *Ἰσοκρατὴς*, p. 352. — 2) *Ὑστερίζων*, Ap. *ὑπερίζων ἀκμῆς* subl. Valken. — 3) *Ὥσπερ ἐν δράματι* subl. Valken. — 4) *ἐν τοῖς δράμασι*, Ap. *γράμμασι.* — 5) *Εὐριπίδης* Orest. vrs. 1641. — 6) *Ὅποι σωθήσονται* (schol. mscr. *σωθήσεται*), Werf. mavult *ὅπῃ σωθήσονται*, quem vid. pag. 411. — 7) *ἀπεκέκλειντο*, Cod. *ἀποκεκλείντο*, pro quo Werf. restituit *ἀποκέκλειντο.* — 8) *ἐπολέμουν*, Ap. *ἐπολέμου.* — 9) *κατὰ τῶν Εἱλωτῶν*, Apogr. et bomb. *μετὰ τ. Εἱλ.* — 10) *καὶ μελλόντων*, Ap. *ἢ μελλόντων.* — 11) *Εἱλώτων*, Apogr. *Εἱλωτῶν*, utrumque recte, ab *Εἵλως* et *Εἱλώτης.* Schweigh. in var. lect. ad Herod. IX, 10.

Digitized by Google

τες οὖν Ἀθηναῖοι συνέβαλον αὐτοῖς ἐν Τανάγρᾳ τῆς Βοιωτίας καὶ ἐνικήθησαν. . . . .

p. 273, B. Τῶν περιοίκων [1]] Apogr. Leid. Οἱ περίοικοι . . . οἱ περιοικοῦντες Σπάρτην τὴν μητρόπολιν.

p. 274, A. Εἰρήνην ποιεῖται [2]] Apogr. Mon. Δηλοῖ τὰς τριακοντούτεις σπονδὰς, ἃς ἐποίησαν μετὰ Εὐβοίας ἄλωσιν [3], ὡς φησιν ὁ συγγραφεύς.

p. 275, C. Οὕτω δὲ τούτων κ. τ. λ. [4]] Apogr. Mon. Ἔντεῦθεν ἄρχεται τοῦ τεττάρτου μέρους, ποιούμενος τὴν ἀρχὴν αὐτοῦ. Κατὰ δὲ Ἀθανάσιον ἐνταῦθα ἄρχεται τὸ τρίτον μέρος τοῦ λόγου. Πληρώσας δὲ τὴν πεντηκονταετίαν ἄρχεται τοῦ Πελοποννησιακοῦ.

ibid. Μέχρι μέν τινος [5] ἦν ἡσυχία] Apogr. Mon. Ἐδίδαξε καὶ τοῦτο Θουκυδίδης, λέγων τὰς σπονδὰς ἐπὶ ᾧ ἔτη φυλαχθείσας. Cod. bomb. Τὸ μέχρι μέν τινος λέγει, ἐπειδὴ αἱ τῆς εἰρήνης σπονδαὶ οὐκ εἰς λ' χρόνους [6] ἐχώρησαν, ὡς συνέθεντο, ἀλλ' εἰς τεσσαρεσκαίδεκα, ὡς Θουκυδίδης φησί. Κατέλυσαν δὲ τὰς συνθήκας Λακεδαιμόνιοι, φοβηθέντες Ἀθηναίους, μὴ αὐξηθέντες τῷ χρόνῳ αὐτούς τε τούτους καὶ πάντας τοὺς Ἕλληνας καταδουλώσονται, καὶ διὰ τοῦτο πέμποντες πρέσβεις πανταχοῦ τῆς Ἑλλάδος κατεψεύδοντο Ἀθηναίων, ὡς οὐκ εἰς καλὸν ἡμῖν τὰ τῆς εἰρήνης ἀπαντήσει, λέγοντες.

ibid. Οὐχ ὧν εὖ ἔπαθον] Apogr. Mon. Λακεδαιμόνιοι· καὶ Θουκυδίδης [7], καὶ ἀδήλως ἔχθοντο.

p. 276, A. Κατασχεῖν [8]] Apogr. Mon. Κωλύειν [9]. Λείπει δὲ τὸ ἐβούλετο· λέγει γὰρ καὶ ὁ συγγραφεὺς [10], ὅτι ἐδεῖτο [11] δὲ δίκῃ διαλύσασθαι τὰ διάφορα.

1) Valken. ad Herod. IX, 11. » Scholiastae Aristidae Mscr. οἱ περίοικοι esse dicuntur οἱ περιοικοῦντες Σπ. τ. μ.« — 2) Εἰρήνην. π. subl. Valken. — 3) μετὰ Εὐβοίας ἄλωσιν sunt ipsius Thucydidis (I, 23.) verba. — 4) Οὕτω δὲ τούτων, subl. Valken. — 5) Μέχρι μέν τινος subl. Valk. — Θουκυδίδης, I, 87. — 6) εἰς λ' χρόνους, in triginta annos. Χρόνοι recentiores saepiuscule pro ἔτη usurpant, vid. Valken. ad Euripid. reliq. p. 135. — 7) Θουκυδίδης, I, 92. — 8) Κατασχεῖν subl. Valken. — 9) Κωλύειν Apogr. Κωλύει. — 10) ὁ συγγραφεὺς, I, 78. unde δίκῃ recepi pro δίκην, quod erat in Apogr. 11) ἐδεῖτο, Apogr. ἐδεῖτο.

Digitized by Google

Τὰς ἐν Ναυπάκτῳ] Apogr. Mon. *Ἃς ὁ Φορμίων ἐνίκησε Λακεδαιμονίους ἐν τῷ Κρισαίῳ κόλπῳ* ..... Cod. bomb. *Φορμίων, στρατηγὸς ὢν Ἀθηναίων, εἴκοσι ναυσὶν ἡ καὶ [1] μ' Λακεδαιμονίων ἐνίκα ἐν τῷ Κρισαίῳ κόλπῳ εἰς τὴν Ναύπακτον· κατὰ γὰρ ταύτην ἐστράτευσαν Λακεδαιμόνιοι. Ὕστερον δὲ ταῖς αὐταῖς ναυσὶν ἐνίκησε πάλιν αὐτοὺς τούτους κατὰ Ἐπίδαμνον ἐλθόντας μετὰ ὀκτὼ καὶ πεντήκοντα νεῶν. Ἐπεὶ δὲ Φορμίων μὲν εἴκοσι ναῦς εἶχε, Λακεδαιμόνιοι δὲ ὅσας ἔφαμεν [2], διὰ τοῦτο λέγει οὔτε ὀλίγῳ πλείονας* p. 276, B.

Πενταετηρίδα] Apogr. Leid. *Διὰ πέντε γὰρ ἐτῶν ἦγον τὰ μέγαλα Παναθήναια, διὰ τριῶν τὰ Διονύσια.* In marg. Schell. *Διὰ πέντε γὰρ ἐτ. ἦγ. τ. μέγ. Παν.*, reliquis omissis. p. 277, A.

Ἀλλ' ἀπόντων [3] *μὲν κ. τ. λ.*] Apogr. Mon. et Leid. *Ὅτι ἀλλ' ἀπόντων μὲν εὐφήμως εἶπεν ἀντὶ τοῦ ἀπολωλότων* [4], *μεγάλη γὰρ συμφορᾷ περιπεπτώκασιν ἐν Σικελίᾳ, ὡς φησιν ὁ συγγραφεύς.* p. 278, A.

Ἐκ Δεκελείας [5]] In marg. Schell. *Ταύτην γὰρ ἐτείχισαν Λακεδαιμόνιοι, κώμην οὖσαν τῆς Ἀττικῆς, ὅτε ἐδυστύχησαν Ἀθηναῖοι ἐν Σικελίᾳ.* p. 278, C.

Καὶ στρατηγοὺς ἐφαμίλλους] Apogr. Mon. *Ὡς συμμαχοῦντας τοῖς ἐν Σικελίᾳ. Λαμάχου γὰρ ἀποθανόντος ἐκεῖ καὶ γράψαντος Νικίᾳ* [6] *πεμφθῆναι αὐτῷ ἄλλον στρατηγὸν διὰ τὴν νεφρῖτιν* [7] *νόσον, ἔπεμψαν Δημοσθένην τὸν ἐν τῇ Πύλῳ ἀριστεύσαντα.* Cod. bomb. *Πρώην ἐν Σικελίᾳ πεντήκοντα καὶ ἑκατὸν ναῦς πέμψασιν Ἀθηναίοις καὶ στρατηγοὺς Νικίαν καὶ Λάμαχον, ἐπειδὴ ἅπασα ἡ τοιαύτη παρασκευὴ ἥττηται καὶ Λάμαχος ἐτεθνήκει, γράφει πάλιν* ibid.

1) *η' καὶ μ'*, i. e. XLVII, cf. Thucyd. II, 83. — 2) *ἔφαμεν*, Cod. *ἔφημεν*. — 3) *Ἀλλ' ἀπόντων* subl. Valk., ex Leidensi autem edidisse Abreschium ad Aristaenetum annot. p. 34, inde suspicor, quod plane congruit cum Monac. *Ὅτι* ex Abresch. recepi. Non sublin. Valk. — 4) *ἀπολωλότων*, Mon. *ἀπολωλότος*. — 5) *Ἐκ Δεκελείας* subl. Valken. — 6) *Νικίᾳ* Apogr. *Νικίᾳ*. — 7) *νεφρῖτιν*, Ap. *νεφρίτιν*.

Digitized by Google

Νίκιας ἕτερον πέμπειν στόλον καὶ στρατηγὸν, αὐτὸς γὰρ νεφρίτιδι νόσῳ κατείχετο· ἔπεμψαν οὖν Ἀθηναῖοι στόλον παραπλήσιον τῷ προτέρῳ καὶ στρατηγὸν Δημοσθένη τὸν ἐν τῇ Πύλῳ ἡριστευκότα.

p. 279, A. *Τὴν μὲν τῶν τρόπων κ. τ. λ.*] Apogr. Mon. *Λέγει δὲ ὁ Θουκυδίδης* [1], *ὅτι μετὰ τὴν ἧτταν οἱ Ἀθηναῖοι οὐκέτι ἐτρύφων.*

p. 279, B. *Ὑπὲρ τοῦ μηδὲν αἰσχρὸν κ. τ. λ.*] Apogr. Mon. *Ὑπὲρ τοῦ μηδὲν ποιῆσαι* [2], *τουτέστι παραχωρῆσαι τοῖς Λάκωσι.*

p. 279, C. *Ὥστε καὶ βασιλέα*] In marg. Schell. *Ὅτι τὸν Πέρσην ἤγαγον κατ' αὐτῶν.*

p. 280, B. *Ὅτι καὶ τῆς πολιτείας κινηθείσης*] Apogr. Mon. *Τούτου μέμνηται καὶ ὁ Θουκυδίδης* [3], *λέγει γὰρ οὕτως· καταφρονήσαντές τινες τῶν Ἀθηναίων, ὅτι ἡττῶντο ἐν Σικελίᾳ* [4], *τεκρακόσιοι τὸν ἀριθμὸν καὶ ἀχθόμενοι ἐπὶ τῇ δημοκρατίᾳ, ἐζήτησαν καταλῦσαι αὐτὴν* [5] *καὶ αὐτοὶ ἄρξαι, ἀλλὰ κατέλυσεν καὶ αὐτοὺς ἡ πόλις. Λέγει οὖν ὅτι καὶ τοὺς πολίτας εἶχον πολεμίους.* Cod. bomb. *Ἐν τούτῳ τῷ καιρῷ φησὶ Θουκυδίδης, ὅτι τινες τῶν Ἀθηναίων τετρακόσιοι τὸν ἀριθμὸν ὁρῶντες τὴν πόλιν οὕτως ἔχουσαν, ἐστασίασαν* [6], *βουλόμενοι τὴν μὲν δημοκρατίαν καταλῦσαι, αὐτοὶ δὲ ἄρξαι. . . . .*

ibid. *Ἀλλοτριωθέντων*] Apogr. Mon. *Πολεμίων γινομένων· καὶ Ὅμηρος* [7] *·*

. . . . . *Ἀλλότριος φώς.*

p. 280, D. *Ὡς ἑτέρῳ προείρηται*] Apogr. Mon. *Τῷ Θουκυδίδῃ* [8].

1) ὁ *Θουκυδίδης*, lib. VIII init. — 2) *Ὑπὲρ τοῦ μηδὲν ποιῆσαι κ. τ. λ.* hoc scholion priori addiderat Werf. ex Apogr., quae disjunxi; sed ne ita quidem satisfacit, deest aliquid, forte *αἰσχρὸν* post *ποιῆσαι*. — 3) *καὶ ὁ Θουκυδίδης· λέγει γὰρ οὕτως· καταφρ. κ. τ. λ.* Frustra quaesivi, illa *καταφρονήσαντες κ. τ. λ.* Thucydidis ipsius esse arbitratus. Narrat eam rem Th. libro VII, inde a cap. 63. Quae cum ita sint, pro *οὕτως* malim *ὅτι*, quod legitur in bomb., *λέγει γὰρ, ὅτι καταφρ. κ. τ. λ.* — 4) *ὅτι ἡττῶντο ἐν Σικελίᾳ*, Apogr. *ὅτι ἥττοντο ἐν Σικιλίᾳ*. — 5) *αὐτὴν*, Ap. *αὐτούς*. — 6) *ἐστασίασαν*, sic Werf.. Cod. *ἐσασίασαν*. — 7) *καὶ Ὅμηρος*, Iliad. V, 224., quem laudat Hesych. t. I, p. 242. ed. Alb., ubi male *φῶς*, ut est in Apogr. — 8) *Τῷ Θουκυδίδῃ κ. τ. λ.* I, 18. Edidit hoc sch. Creuz. V. D. ad Plotin. p. 514, ubi *κινδύνου*, typo-

Digitized by Google

μέχρι γὰρ τῶν ἐνταῦθα τὰ Θουκυδίδου. Τινὲς οὖν αὐτὸν εἰς Θουκυδίδην αἰνίττεσθαι λέγουσιν, εἶπε γὰρ κἀκεῖνος ἐν τῷ πρώτῳ, μετὰ κινδύνων τὰς μελετὰς ποιούμενοι [1]. Ἢ εἰς Πλάτωνα αἰνίττεται, καὶ γὰρ καὶ αὐτὸς φαίνεται ἐπιτάφιον γράψας τὸν καλούμενον Μενέξενον, ἐν ᾧ [2] ἐχρήσατο τοῖς ἐπιχειρήμασι τούτοις. Ἄλλοι δέ φασιν, ὅτι εἰς Ξενοφῶντα ἀποτείνεται· καὶ γὰρ καὶ αὐτὸς ταῦτα ἐν ταῖς Ἑλληνικαῖς [3] εἶπε. Cod. bomb. Τινὲς τὸ ἕτερῳ διὰ τὸν Θουκυδίδην νοοῦσι· εἶπε γὰρ κἀκεῖνος τὸ ἐνθύμημα τοῦτο ἐν ἀρχῇ, μετὰ κινδύνων τὰς μελετὰς ποιούμενοι. Ἄλλοι δὲ εἰς Πλάτωνα [4] λέγουσιν αἰνίττεσθαι, καὶ αὐτὸς γὰρ ἐχρήσατο τοῖς ἐπιχειρήμασι τούτοις εἰς τὸν ἐπιτάφιον τὸν καλούμενον καὶ Μενέξενον. Ἄλλοι δὲ εἰς Ξενοφῶντα, καὶ γὰρ αὐτὸς ἐν τοῖς Ἑλληνικοῖς ταῦτα εἶπεν. In marg. Schell. Τῷ Θουκυδίδῃ, μετὰ κ. τ. μ. π. λέγοντι.

Ἐκ ποδὸς] Cod. bomb. Οὐ μόνον τὸ ἐκποδὼν ἀντὶ τοῦ μακρὰν, ἀλλὰ καὶ ἀντὶ τοῦ παρακυτίκα, ὥσπερ κἀνταῦθα τὸ ἐκποδός. . . . . p. 281, B.

Ἀεὶ μὲν οἶν ἔγωγε κ. τ. λ.] Apogr. Mon. . . Καί ἐστι Θουκυδίδου ἡ μεταχείρισις· κἀκεῖνος γὰρ ἐν τῷ προοιμίῳ τοῦ Ἐπιταφίου κατιαμέμφεται τὸν νομοθέτην τὸν κελεύσαντα τὸν ἐπιτάφιον λέγεσθαι· εἶτα ὕστερον καὶ αὐτὸς κέχρηται αὐτῷ. Cod. bomb. . . . Θουκυδίδου ἡ μεταχείρισις κ. τ. λ. plane ut apogr., nisi quod in fine τὸν κελεύοντα ἐπιτάφιον λέγεσθαι. p. 281, C.

Τὰ πρὸς ἄλληλα] Supra in Schell. Αἱ συγκρίσεις. p. 282, B.

Πᾶς τις] In marg. Schell. γρ. πᾶν, ἤτοι ἐστὶ τὸ πᾶν p. 282, D.

thetae errore; nam et Apogr. et Cod. bomb. et ipse Thucyd. l. l. κινδύνων. — 1) ποιούμενοι, cujus in locum se insinuaverat ποιούμενος in Apogr., ex bomb., Schell. et Thucyd. restitui. — 2) ἐν ᾧ, Apogr. ἐν ᾗ. — 3) ἐν ταῖς Ἑλληνικαῖς, bomb. ἐν τοῖς Ἑλληνικοῖς, ad quam varietatem animum attendere nos jubet Creuzerus l. l. Utrumque probum, eademque diversitate uti solent scriptores in laudandis Theopompi Ἑλληνικοῖς et Ἑλληνικαῖς, Φιλιππικοῖς et Φιλιππικαῖς. — 4) Ἄλλοι δὲ εἰς Πλάτωνα κ. τ. λ. edidit Creuzerus l. l. usque ad Ἄλλοι δὲ εἰς Ξενοφ., quae cum reliquis desunt.

Digitized by Google

ἔργον τῆς ἀγωνίας δίσκου, πυγμῆς, διαύλου, ἅλματος καὶ παλῆς.

ibid. Εἴκῃ] Supra in Schell. Ἀγωνιζόμενος.

p. 283, A. Ἐν Μιτυλήνῃ [1]] Apogr. Mon. Εἰς γὰρ Μιτυλήνην Κόνων συνηλάθη μετὰ Λέοντος καὶ Ἐρασινίδου [2], συστρατήγων ὄντων [3], ὑπὸ Καλλικρατίδου κατὰ γῆν [4] μὲν τῷ ἀπὸ [5] Χίου στρατεύματι καὶ τοῖς Μηθυμναίοις, κατὰ θάλατταν δὲ ταῖς ναυσὶ τὸν λιμένα, [6] ὡς Ξενοφῶν. Συμβαλὼν δὲ ὁ Κόνων τοῖς Λακεδαιμονίοις ἐκεῖ, ἡττήθη καὶ πολιορκήθη παρ' αὐτῶν. Cod. bomb. Ὑπὸ Καλλικρατίδου, στρατηγοῦ Λακεδαιμονίων, συνηλάθη εἰς Μιτυλήνην Κόνων μετὰ Λέοντος καὶ Ἐρασινίδου τῶν συστρατήγων· καὶ γὰρ κατὰ γῆν μὲν ἐβιάζετο τῷ ἀπὸ Χίου στρατεύματι καὶ τῷ ἐκ Μηθύμνης, κατὰ θάλατταν δὲ ὑπὸ Λακεδαιμονίων. Συμβαλὼν οὖν Καλλικρατίδῃ κατὰ θάλατταν ἐνικήθη· μαθόντες δὲ Ἀθηναῖοι τὴν τῶν σφετέρων στρατηγῶν ἧτταν [7] καὶ παροξυνθέντες ἔπεμψαν οὐκ ὀλίγας ναῦς ἐκεῖσε καὶ στρατηγοὺς δέκα, οἳ καὶ [8] συμβαλόντες ἐπ' Ἀργινούσαις τοῖς Λακεδαιμονίοις, κατὰ κράτος ἐνίκησαν.

p. 283, B. Ἐν δὲ τῷ Καρὶ] Apogr. Mon. Παροιμία, ἐν Καρὶ τὸν κίνδυνον· τὸ δὲ οὐκ ἐν τοῖς [9] αὐτῶν σώμασι, οἱ γὰρ μισθούμενοι αὐτοὺς προέταττον ἐν τοῖς κινδύνοις. Λέγεται δὲ ἡ παροιμία ἐπὶ τῶν ἀφειδῶς [10] εἰς τὰ ἑαυτῶν σώματα πολεμούντων, ἀπὸ μεταφορᾶς τῶν Καρῶν· οὗτοι γὰρ τὰ ἑαυτῶν σώματα ἐμίσθουν εἰς τοὺς πολέμους. Πρῶτοι δὲ λέγονται βαρβάρων μισθοφορῆσαι, ὅθεν καὶ ὁ ποιητὴς [11] φησι·

1) Ἐν Μιτυλήνῃ sublin. Valken. — 2) Ἐρασινίδου, sic bomb., Thucyd. VII, 7. et Aristophanes, Apogr. Ἐρασιννίδου. — 3) συστρατήγων ὄντων, Apogr. συστρατηγωνόντων. — 4) κατὰ γῆν, Apogr. κατὰ τὴν frequenti errore. — 5) τῷ ἀπὸ, Apogr. τῶν ἀπὸ. — 6) τὸν λιμένα, f. εἰς τὸν λιμένα, Xenophontis locum vide apud Wesseling. ad Diodor. XIII, p. 602 seqq. — 7) ἧτταν, bomb. ἥτταν. — 8) οἳ καὶ κ. τ. λ., sic exhibet bomb.: οἳ καὶ συμβαλόντες ἐπ' Ἀργινούσαις, τοῖς Λακεδαιμονίοις κ. κρ. ἐν., tum foret legendum τοὺς Λακεδαιμονίους. Utrumque scribendi genus autem optimis scriptoribus in usu. — 9) τὸ δὲ, f. τουτέστιν v. τὸ δέ ἐστιν. — 10) ἐπὶ τῶν ἀφειδῶς, Apogr. ἐπὶ τῷ ἀφ. — 11) ὁ ποιητὴς, Iliad. IX, 378. cf. Valken. ad Herod. V, 66. et schol. ad Hom. l. l.

Digitized by Google

. . . . . *Τίω δέ μιν ἐν Καρὸς αἴσῃ.*

Ἑλλήνων δὲ πρῶτοι Ἀρκάδες ἐμισθοφόρησαν. Cod. bomb. *Παροιμία ἐστὶν ἐν Καρὶ τὸν κίνδυνον, τουτέστιν οὐκ ἐν τοῖς αὐτῶν σώμασι, ἀλλ' ἐν ἀλλοτρίοις, ὡς καὶ οὗτος ἑρμηνεύων φησί, Κᾶρες γὰρ πρῶτοι ἀνθρώπων ἐμισθοφόρησαν, οὓς καὶ προὔταττον τῷ πολέμῳ·* [1] *φέρεται δὲ καὶ ἑτέρα παροιμία, ἐν Καρὸς μοίρᾳ, ἐπὶ τῶν εὐτελῶν καὶ δουλοπρεπῶν ταττομένη.*

Καλλικρατίδου [2]] Supra in Schell. *Στρατηγοῦ τῶν Λακεδαιμονίων.*

Ἠλλοτριωμένης] Ibid. *Ἀποστάσης.* ibid.

Ὅτι [3] *τὸν ἄνδρα ῥύονται*] Apogr. Mon. *Τὴν* [4] *ἱστορίαν* (de Conone ad Evagoram fugiente, dein Athenis moenia restituente, Werf.) *Ἰσοκράτης λέγει ἐν τῷ Εὐαγόρᾳ.* In marg. Schell., *Τὸν Κόνωνα· εἰς γὰρ ὢν τῶν ϖβ στρατηγῶν ἔφυγεν αἰσθομένος τῆς Ἀθηναίων ὀργῆς καὶ ἐλθὼν πρὸς Εὐαγόραν, τὸν τῆς Κύπρου βασιλέα, διέτριβε. Ὕστερον δὲ μέτα τὸ νικῆσαι τοὺς Ἀθηναίους Λακεδαιμόνιοι καὶ κατὰ τῆς Ἀσίας στρατεύονται Εὐαγόρᾳ συμμαχοῦντες καὶ Κόνων παρεγένετο. Καὶ καταναυμαχήσας Λακεδαιμονίους ἐλθὼν εἰς τὴν Ἀττικὴν τὰ τείχη τῶν Ἀθηναίων ἀνέστησε.* p. 284, A.

Δυναστείαν] Supra in Schell. *Ἐν Κνίδῳ.* ibid.

Πρὸς αὐτοὺς] Ibid. *Λακεδαιμονίους.* p. 284, C.

Ἀντιπολιτευομένους] Ibid. *Ἀντισεμνυομένους* [5]. ibid.

Ὅστις οὐ μετὰ] Apogr. Mon. *Εἰς Λακεδαιμονίους αἰνίττεται, ὡς λέγει ὁ Θουκυδίδης, ἐν τῷ ἐπιταφίῳ, ὅτι μέρος τῆς πόλεως ἐνίκησαν συμβαλόντες μέρει τῶν ἱππέων.* p. 285, A.

Ἤ τις [6] *ἢ οὐδείς*] Apogr. Mon. *Τὸ Θουκυδίδειον· ἢ οὐδείς, φησὶν, ἐπειράθη τῆς πόλεως ἢ μόνος εἷς, τουτέστιν* p. 285, B.

apud Valken. de scholiis Leid. in opusc. t. II, p. 102. ed. Lips., cui adde schol. ad Aristoph. Av. 765. schol. plat. p. 93. ed. Ruhnk. — 1) *προὔταττον τῷ π.*, forte *προὔταττον ἐν τῷ π.* — 2) *Καλλικρατίδου* subl Valken. — 3) *Ὅτι τὸν ἄνδρα ῥύονται* subl. Valken. — 4) *Τὴν ἱστορίαν κ. τ. λ.* sic exhibet Werf., forte intercidernnt, quae dedi ex Schell. — 5) Post glossam interlin. ad *Ἀντιπολιτευομένους* super voce *Ὁμοῦ πάντες*, pag. 284., quae a Valken. sublin., conspicitur in Cod. Schell. glossae signum, glossa ipsa praetermissa. — 6) *Ἤ τις ἢ οὐδείς* subl. Valken.

Digitized by Google

ὁ Ξέρξης. Cod. bomb. *Τὸ μὲν τίς λεγει διὰ μόνον τὸν Ξέρξην, τὸ δὲ οὐδεὶς, ἐπειδὴ καὶ οὗτος κατακράτος ἡττηθεὶς ἔφυγεν. Ἄλλωστε καὶ παροιμίας λεγούσης, εἷς οὐδείς, διὰ τὸ μὴ τοῦ ἑνὸς λόγον εἶναι.* In marg. Schell. *Ὁ Ξέρξης.*

ibid. *Ἴσα καὶ ἀήττητος*] In marg. Schell. *Σχεδὸν καὶ παρέλκει ἀττικῶς.*

p. 285, C. *Ἀνακλίνασα*] Supra in Schell. *Εἰς τοὐπίσω κλίνασα.* Photius: *Εἰς τί ἀνέκλινεν ἢ εἰς τὸ ἐπιθυμῆσαι εἰρήνης;*

p. 286, B. *Ἡ δὲ πόλις κλαπεῖσα*] Supra in Schell. *Κατὰ λήθην ἡττηθεῖσα.*

ibid. *Ναυμαχίᾳ τῇ καθ' Ἑλλ.*] In marg. Schell. *Ἐν Αἰγὸς ποταμοῖς· ἀπόντων γὰρ ἐπὶ χρείαν Λύσανδρος ἐπιθέμενος τὰς τριήρεις ἀφείλετο.*

p. 286, C. *Δι' ἑνὸς ἀνδρὸς*] Ibid. *Τοῦ Κόνωνος.*

ibid. *Γενομένων*] Ibid. γρ. *γεγενημένων* [1].

p. 287, A. *Ἀψοφητί*] Apogr. Mon. *Ἀντὶ τοῦ ἀμαχητί· καὶ γὰρ αὐτὸς λέγει ὁ Θουκυδίδης ἐν τῇ ὀγδόῃ,* [2] *ὅτι ἀπὸ τῶν Ἀθηναίων ἐν τῇ Σάμῳ, ταύτην γὰρ μόνην εἶχον ὁρμητήριον κατὰ πάντων τῶν πολεμίων, τετρακόσιοί τινες Ἀθηναίων ἐπανέστησαν, αὐτοὶ θέλοντες ἔχειν τὴν πολιτείαν· ἀκούσαντες οἱ ἐν Σάμῳ ἐβουλεύσαντο ἐλθόντες καταλῦσαι αὐτούς· οἱ δὲ ἀκηκοότες, ὅτι μέλλουσιν ἐλθεῖν, διέλυσαν ἑαυτούς.* Cod. bomb. *Τετρακόσιοί τινες Ἀθηναῖοι ἠβουλήθησαν ἐπαναστῆναι τῇ πολιτείᾳ καὶ κατακυριεῦσαι αὐτῆς μαθόντες οὖν Σάμιοι τοῦτο ὥρμησαν εἰς τὴν τούτων κατάλυσιν, ἅτε μάλιστα πάντων φιλίαν πρὸς Ἀθηναίους ἔχοντες· ὡς δὲ ἤκουσαν οἱ τετράκοσιοι, ἔκοντες διελύθησαν ἀψοφητί. . . . .*

ibid. *Τοὺς τριάκοντα*] In marg. Schell. *Λ ὄντων καὶ οἱ ἀντάραντες λ ἦσαν.*

ibid. *Σωφροσύνης*] Ibid. *Ὅτι καλῶς παρεσκυάσαντο.*

1) γεγενημένων, Cod. γενημένων. — 2) *Θουκυδίδης ἐν τῇ ὀγδόῃ*, cap. 63. Ceterum ἀψοφητὶ a Valk. subl.

Digitized by Google

Ὀλίγῳ [1] μὲν πλείους] Ibid. Ὅτι ὀλίγοι προς τοσού- p. 287, B.
τους ἀντῆραν.

Τῶν ἐν τοῖς δεινοῖς ἐλπ.] Apogr. Mon. Θουκυδί- p. 287, C.
δειον· καὶ ἐν τοῖς δεινοῖς εὐελπίδες.

Ἐπὶ [2] τὸν δῆμον] Apogr. Mon. Ἀντὶ τοῦ κατὰ τοῦ p. 289, B.
δήμου. Τοῦτο [3] καὶ Δημοσθένης [4] ἐν τῷ πρὸς Λεπ-
τίνην [5] εἶπεν.

Τούς τε γὰρ Ἕλληνας κ. τ. λ.] In marg. Schell. p. 290, A.
Ἐπιλογίζεται τὰς συγκρίσεις.

Ἄλλοθεν] In marg. Schell. Ἐκ τῆς Βοιωτίας εἰς ibid.
Πελοπόννησον, τῆς καὶ Δωρίδος.

Καταδεέξάσης] Ibid. Διὰ μαντείας γὰρ αὐτοὺς Ἀθη- p. 290, B.
ναῖοι κατήγαγον μετὰ τῶν Ἡρακλειδῶν.

Ἡ ταύτη νικώσης] Ibid. Τὸ ἢ συντακτέον τοῖς ἄλλοις ibid.
καθ' ὑπερβιβασμόν.

Πλὴν τῶν εἰς τὸν πολ.] Apogr. Mon. et bomb. Λα- ibid.
κεδαιμόνιοι γὰρ παράμονα [6] εἶχον τὰ πολεμικά, ὡς λέγει
καὶ Ἰσοκράτης [7] ἐν τῷ Βουσίριδι καὶ Δημοσθένης φησί,
ὅτι τὰ Ἀθηναίων νόμιμα ἐζήλωσαν, ἐν τῷ τέλει τοῦ κατὰ [8]
Τιμοκράτους.

Οὐ ταῦτα [9] μόνα] Cod. bomb. Ἰστέον, ὅτι τὸ μὲν ibid.
ταῦτα αἰτιατικὴ ἐστι, τὸ δὲ οὐκ ἴσον εὐθεῖα· σύν-
τασσε δὲ οὕτως· τὸ οὐκ ἴσον, ἤγουν ἡ οὐκ ἰσότης, οὐ
μόνον δείκνυσι ταῦτα, λέγω τοὺς ἄλλοθεν, ἥκοντας καὶ πόλ-
λῳ νεωτέρους πρὸς αὐτόχθονας καὶ πρεσβυτέρους, οὐδὲ τὸ
τῆς πόλεως καταδεξάσης ἑτέροις δηλονότι, οὐδὲ τὸ προ-
νοουμένους μηδένος ἄλλου πλὴν τῶν εἰς τὸν πόλεμον νικώ-
σης τῆς πόλεως, πλέον ἐν τοῖς ἄλλοις, ἢ ταύτη καὶ οὕτως.
Λέγει δὲ ἄλλοθεν ἥκοντας καὶ πολλῷ νεωτέρους
τοὺς Λακεδαιμονίους· καὶ γὰρ Δωριεῖς ὄντες τὸ παλαιὸν

1) Ὀλίγῳ μὲν πλείους subl. Valken. — 2) Ἐπὶ τὸν δῆμον, subl. Valk. — 3) τοῦτο, Apog. τούτῳ. 4) Δημοσθένης ἐν τῷ πρὸς Λεπτ., cf. Wolf. ad eam orat. p. 227. — 5) Λεπτίνην, Ap. Λεπτήνην. — 6) παράμονα, Ap. et bomb. περὶ μόνα. — 7) καὶ Ἰσοκράτης, Busir. p. 371. ed. Lang. — 8) τοῦ κατὰ Τιμ., Codd. τῷ κ. Τ. — 9) Οὐ ταῦτα μόνα, subl. Valk.

Digitized by Google

Πελοποννήσιοι ὑστερον γεγόνασι, ὡς Ἑλλανίκος[1] *λέγει καὶ ἄλλοι πολλοὶ τῶν ἱστορικῶν οἱ περὶ αὐτῶν γράψαντες. Αὐτόχθονας δὲ καὶ πρεσβυτέρους ἁπάντων Ἑλλήνων λέγει τοὺς Ἀθηναίους, ὡς ἐμάθομεν. Τὸ δὲ ἥκοντας ἢ συναπτε πρὸς τὸ αὐτόχθονας, ἵν' ᾖ διὰ τὴν πάλαι τῶν Ἡρακλειδῶν φυγὴν εἰς Ἀθήνας, ὅτε ὑπ' Ἐρεχθέως ἐδιώκοντο, ἢ τὸ μὲν ἥκοντας λέγε*[2]*, διότι Δωριεῖς ὄντες ἦλθον εἰς Πελοπόνησον, ὡς ἔφαμεν*[3] *τὴν δὲ πρὸς πρόθεσιν νόει συγκριτικῶς ἐκφέρεσθαι· καὶ γὰρ οὕτως εἰώθαμεν λέγειν, δείκνυμι τὸν δεῖνα νεώτερον πρὸς τὸν δεῖνα*[4]*. Τὸ τῆς πόλεως δὲ λέγει ἀντὶ τοῦ ὅπερ εἰωθεν ἡ πόλις ποιεῖν*[5] *ἐξ ἀρχῆς, τοὺς καταφεύγοντας ὑποδέχεσθαι, τοὺς κινδυνεύοντας ἐπανορθοῦν, καὶ ὅσα τοιαῦτα πλεονεκτήματα, ἅπαντα ἡ πόλις εὑροῦσα ἑτέροις κατέδειξε ποιεῖν. Μηδένος δὲ ἄλλου προνοουμένους λέγει τοὺς Λακεδαιμονίους, οἳ μόνων τῶν πολεμικῶν ἐποιοῦντο πρόνοιαν, ὡς Ἰσοκράτης φησὶν ἐν Βουσίριδι. . . . .*

p. 290, C. *Τὸν λόγον*] Supra in Schell. *Τὸν εὔλογον.*

ibid. *Ἐξ ὧν ἅμα*[6]] Apogr. Mon. *Ἐνταῦθα βούλεται εἰπεῖν, ὅσα οὐκ ἔστι μὲν ὑπὲρ αὐτῆς, ὑπὲρ δὲ τῶν ἄλλων Ἑλλήνων ἠγωνίσατο πρὸς Λακεδαιμονίους. Ἐνταῦθα γὰρ ἄρχεται τῶν Ἑλληνικῶν καὶ ὧν ἐποίησε μετὰ*[7] *τοὺς λ', ὡς φησι Μένανδρος.*

p. 291, A. *Ἄτοπον*[8]] Supra in Schell. *Παράδοξον* et in marg. *Ὅτι ὑπὲρ ἐχθρῶν.*

p. 291, C. *Μήτε*[9] *τεῖχος*] In marg. Schell. *Τὸ μακρὸν ὃ Κόνων ὕστερον ἔκτισε.*

ibid. *Ἀπαντῶντας*] Ibid. *Τοὺς ἐναντιουμένους, ἀμυνομένους.*

1) Ἑλλάνικος, Cod. Ἑλάνικος. — 2) *λέγε*, f. *λέγει*, quod infra, licet subsequatur *νόει*. — 3) *ὡς ἔφαμεν*, Cod. *ὡς ἔφημεν*. — 4) *πρὸς τὸν δεῖνα*, Cod. τὸ. — 5) *ποιεῖν ἐξ ἀρχῆς, κ. τ. λ.* Cod. ita exhibet: *ποιεῖν ἐξ ἀρχῆς, τοὺς καταφεύγοντας ὑποδέχεσθω· τοὺς κ. ἐπανορθοῦν· καὶ ὅσα τ. πλεονεκτήματα· ἅπαντα κ. τ. λ.* Possis vel post *ἐξ ἀρχῆς· τοὺς κ. τ. λ.* pergere virgulis tantum immissis, vel ita: *ἐξ ἀρχῆς, τοὺς κ. τ. λ. — πλεονεκτήματα· ἃ πάντα κ. τ. λ.* — 6) *Ἐξ ὧν ἅμα* subl. Valk. — 7) *μετὰ τοὺς λ'*, Apogr. *μετὰ τῶν λ.* — 8) *Ἄτοπον* subl. Valk. — 9) *Μήτε τεῖχος* subl. Valk.

Digitized by Google

Ἑλληνικὴ [1]. Ibid. *Φιλάνθρωπος, ἕως σωφρονισμοῦ· ἐχώρησαν γὰρ καὶ κατ' ἐκείνων Λακεδαιμόνιοι.* p. 292, A.

Πρέπουσα] Ibid. *Προσήκουσα.* ibid.

Καταφεύγουσι[2]] Apogr. Mon. *Καὶ Ἀριστοφάνης*[3] *μέμνηται τῆς στρατιᾶς λέγων·* ibid.

Τὸ δ' ἐν Κορίνθῳ ξενικὸν οὐχ οὗτος τρέφει.

Δρῶσαν[4] *κακὸν*] In marg. Schell. *Αὐτοὶ γὰρ αἴτιοι τοῦ πόλεμου καὶ πολλῶν ἄλλων κακῶν ἐγένοντο.* ibid.

Τὸν Ἀκροκόρινθον] Cod. bomb. *Ἡ τῶν Κορινθίων ἀκρόπολις Ἀκροκόρινθος λέγεται, ὥσπερ καὶ ἡ τῆς Ἰλίου Πέργαμος, καὶ ἡ τῶν Θηβῶν Κάδμεια, καὶ ἡ τοῦ Ἄργους Λάρισσα.* p. 292, C.

Τὸν Περσῶν βασιλέα[5]] Apogr. Mon. *Τὸν υἱὸν Δαρείου τοῦ νεωτέρου· Κύρον δὲ ὁ Ἀλέξανδρος, Ἀρταξέρξην δὲ λέγει, οὗ ἐν τοῖς Ἑλληνικοῖς μέμνηται Ξενοφῶν. Τὸ δὲ γένος οὗτος ἔχει ἀπὸ Δαρείου· Ξέρξης ὁ κατὰ τῆς Ἑλλάδος στρατεύσας. εἶτα Ἀρταξέρξης καὶ Κῦρος· οἱ ἐν ταῖς ἀναβάσεσι. Τὸ δὲ πάλιν εἶπεν, ἐπειδὴ ἐν τῷ Πελοποννησιακῷ πολέμῳ πρὸς τὸν Πέρσην κατέφυγον.* In marg. ibid.

1) *Ἑλληνικὴ* subl. Valken. — 2) *Καταφεύγουσι*, subl. Valk. 3) *Καὶ Ἀριστοφ.*, Plut. 173. — *στρατιᾶς*, Apogr. *στρατίας*, quod foret mutandum in *στρατεία*, cf. Hess. ad Timol. p. 14. seq. — 4) *Δρῶσαν κακὸν* subl. Valk. — 5) *Τὸν Περσῶν βασιλέα*, subl. Valk., Werf. *τῶν Περσῶν*. Ipsius Apographi lectiones corruptissimas excudendas curavi, si discesseris a voce *Ἀρταξέρξης*, pro qua in Apogr. est *Ἀρκαξέρξης*. Scholion ipsum autem adeo vel disturbatum vel mancum; ut de sanando desperarem. Latet vitium in *Ἀλεξάνδρος*, qui utrum inter Aristidis enarratores sit recensendus, an mutandus in *Μένανδρος*, an familiaris ille credendus, cui Sopater sua in Aristidem scholia transmisisse videtur, id Oedipus enuclearit, donec Codices nos expediverint. Erat cum ita emendanda haec arbitrarer: *Τὸν υἱὸν Δαρείου τοῦ νεωτέρου, Κύρου δὲ ἀδελφὸν, Ἀρταξέρξην λέγει, οὗ ἐν τ. Ἑλλ. μ. Ξ., τὸ δὲ γένος οὗτος* (f. *οὕτως*) *ἔχει ἀπὸ Δ., Ξ. ὁ κ. τ. Ἑλλ. στ., εἶτα Ἀρτ. κ. Κ., οἱ ἐν τῇ ἀναβάσει* (An schol. de duplici et Xenophontis et quae Sophaeneti fertur, expeditione Cyri cogitavit, ut retinendum sit *οἱ ἐν ταῖς ἀναβάσεσι*?). *Τὸ δὲ πάλιν κ. τ. λ.* sed ne ita quidem salutaris medicina, id quod bene video, affertur. Malum inde obortum, quod vel scholii auctor vel epitomator, confudit Artax. I, qui erat Xerxis I f., et Artax. II, Darii II f. et Cyri junioris fratrem. Quem errorem manifestius etiam deprehendis in schol. ex Cod. Schell. Nunc aliunde meliora exspecto.

Digitized by Google

Schell. *Ἀρταξέρξην τὸν Ξέρξου, τοῦ κατὰ τῆς Ἑλλάδος στρατεύσαντος, ἀδελφὸν δὲ Κύρου τοῦ χρησαμένου Ξενοφῶντι κατὰ τοῦ ἀδελφοῦ.*

ibid. *Θρυλλουμένην* [1]] Supra in Schell. *Ἐπὶ ἀδοξίᾳ.*

p. 293, A. *Πότερον ἑκόντες*] In marg. Schell. *Ἐξ ἀμφοτέρων φαυλίζει τοὺς Λακεδαιμονίους.*

p. 293, C. *Τοῦ πολέμου*] Supra in Schell. *Τοῦ ἐν Μαραθῶνι.*

ibid. *Ἡ τοῖς ὕστερον*] Ibid. *Ἐν Σαλαμῖνι.*

ibid. *Τιθοῖτο*] Ibid. *Πῶς ἀρεστὸν φαίνοιτο, ἀρέσκοιτο.*

ibid. *Ὑπερῆρεν*] Ibid. *Περιεγένετο.*

ibid. *Τὰ δ' αὖ τελευταῖα*] Ibid. *Τὸ ἐπεξελθεῖν.*

p. 294, C. *Ἡ δ' ἑτέρα*] Ibid. *Εἰρήνην φησί.*

ibid. *Καταλύσεις*] Ibid. *Καταπαύσεις.*

p. 296, A. *Τύχης* [2]] Apogr. Mon. *Ἀντὶ τοῦ εὐτυχίας· τὸ ἐνθύμημα εἶπε καὶ Θουκυδίδης* [3] *ἐν τῇ δ', ἔνθα οἱ Λακεδαιμόνιοι πρὸς Ἀθηναίους δημηγοροῦσι περὶ τῆς Πύλου.* In marg. Schell. *Εὐτυχίας* [4].

ibid. *Ἐξ ἴσου* [5] *τοῖς παροῦσι*] Apogr. Mon. *Θουκυδίδειόν ἐστι, ὡς λέγει ἐκεῖνος· ἐξ ἴσου τὰ ἀπόντα ἔχειν νομίζουσιν.*

p. 296, B. *Ἀνὴρ εἷς* [6]] In marg. Schell. *Κόνων ὁ Πέρσης* (sic), *Λακεδαιμονίους καταδιώκων ἐν τῷ πυριέναι, δέδωκε τοῖς Ἀθηναίοις χρήματα περσικά, ἐφ' ᾧ ὁ βασιλεὺς* [7] *συνελάβετο αὐτόν· ὁ δὲ πάλιν πρὸς Εὐαγόραν φυγῇ διασώζεται.*

p. 297, A. *Ὥστε κάλλιστ' ἀνθρώπων* [8]] Apogr. Mon. *Θουκυδίδης* [9] *ἄλλους γ' ἂν οὖν οἰόμεθα τὰ ἡμέτερα λαβόντας δεῖξαι ἂν μάλιστα, εἴ τι μετριάζομεν.....* In marg. Schell. *Τὴν ὑπερβολὴν τῆς Λακεδαιμονίων*

1) *Θρυλλουμένην*, subl. Valk. — 2) *Τύχης* subl. Valk. — 3) *Θουκ. ἐν τῇ δ'*, c. 17. seq. — 4) *Εὐτυχίας*, Schell. *ἀτυχίας*, sic *ἀπαθὴς* et *εὐπαθὴς*, Vales. ad Harp. p. 153. *ἀσεβὴς* et *εὐσ.* p. 170. *ἀμερὴς* et *εὐμ.* p. 211. *ἀτρεπὴς* et *εὐτρ.* Reisk. ad Orat. de Cor. p. 107. ed H. — 5) *Ἐξ ἴσου τ. π.* sublin. Valken. — 6) *Ἀνὴρ εἷς*, Valken. sublin *Τοὺς Λακεδ.*, quae subsequuntur. — 7) *ἐφ' ᾧ ὁ β.*, in Schell. ὁ deest. — 8) *Ὥστε κάλλ. ἀνθρ.* sublin. Valken. — 9) *Θουκυδίδης* I, 76. unde *ἄλλους γ' ἄν* pro *ἄλλοις ἂν* recepi, et *μάλιστα* pro *μάλιστος*, itemque *μετριάζομεν* pro *μετριάζωμεν.*

Digitized by Google

ἀδικίας ἀπολογίαν ὑπὲρ τῶν ἐν τῇ πόλει ὑπαιτίων ἐπάλεσε, ἡ γὰρ ἄκρα [1] αὐτῶν ὠμότης ἐξαιτεῖται τὰ τῆς πόλεως ὑπαίτια.

Ἐξικνεῖσθαι] Supra in Schell. Φθάνειν et super p. 297, B.
φύσεις est τῶν Λακεδαιμονίων.

Οὐδ' εἰς τρεῖς] Apogr. Mon. et bomb. Ἄξιον ζητῆσαι, τί δήποτε μὲν Ἀριστείδης λέγει $\overline{ιε}$ ἔτη τοὺς Λακεδαιμονίους τὴν ἀρχὴν ἐσχηκέναι, ὁ δὲ Δημοσθένης [2] φησὶν $\overline{κθ}$ ἔτη [3]; Λέγομεν [4], ὅτι ἕως τῶν ἐν Κνίδῳ $\overline{ιε}$ ἔτη εἶχον τὴν ἡγεμονίαν κτησάμενοι [5], εἶτα καταναυμαχηθέντες μετρίως εἶχον· εἶτα πάλιν ἕως τῶν Λευκτρικῶν ἔχοντες τὴν ἀρχήν, τότε καταπολεμήθησαν ὑπὸ Θηβαίων τελέως, ὅθεν οὐκέτι ἀνήνεγκαν. Ὥσθ' ὁ μὲν Ἀριστείδης ἐπιβλέπων [6] πρὸς τὰ ἕως ἐν Κνίδῳ [7], ὁ δὲ Δημοσθένης πρὸς τὸν ὅλον χρόνων ἕως τῶν Λευκτρικῶν [8]. Τὸ δὲ προσαγόντων ἀντὶ τοῦ ἐγγιζόντων καὶ ἀρχομένων, ἵνα δείξῃ τὴν ἀκρίβειαν, οὕτω προσέθηκε. In marg. Schell. Ὁ μὲν Δημοσθένης $\overline{κϑ}$ ἔτη φησὶ τὴν ἀρχὴν ἐσχηκέναι Λακεδαιμονίους μέχρι τῶν Λευκτρικῶν ἀριθμῶν· οὗτος δὲ $\overline{ιε}$ μεχρι τῆς ἐν Κνίδῳ ναυμαχίας λογιζόμενος, θέλων δηλῶσαι τὴν ἀκμὴν τῆς ἀρχῆς. ibid.

Τοὺς ὁμοίους λόγους] Supra in Schell. Τοὺς αὐτούς. p. 297, C.
Statim οἱ λόγοι, supra τῆς συγκρίσεως.

Οὔτ' ἐξεπίτηδες] Phot. Ἀλλὰ κατὰ τὸ πάρεργον οἷον p 298, A.
ὥσπερ νῦν ἐγώ.

Ἀποδεῖξαι] Supra in Schell. Ἐκεῖνο. p. 298, B.

Ἐξ ὧν ἔφευγον] Ibid. Ἤγουν ἃ ἔδει φυγεῖν. ibid.

Προήχθησαν] Ibid. Ἠναγκάσθησαν. ibid.

Ἀναχωρεῖ] Ibid. Κατέφευγε. ibid.

Προκινδυνεύων] Ibid. Προμαχόμενος. ibid.

1) ἄκρα, Cod. ἄκρως. — 2) ὁ δὲ Δημοσθένης, Philipp. III, p. 125 ed Sch. — 3) $\overline{κθ}$, bomb. $\overline{κα}$. — 4) Λέγομεν, ὅτι κ. τ. λ. bomb. Λέγομεν οὖν τοῦτο. — 5) κτησάμενοι in bomb. deest. — 6) ἐπιβλέπων, bomb. ἀποβλέπων. — 7) ἕως ἐν Κνίδῳ, f. ἕως τῶν ἐν Κνίδῳ. — 8) ἕως τῶν Λευκτρικῶν. Τὸ δὲ κ. τ. λ. bomb. ἕως τῶν Λευκτρικῶν, οὕτως ἀνομοίως εἰρήκεσαν, reliquis omissis.

Digitized by Google

p. 298, C. *Παραβαλεῖν* [1] (Steph. *παραβάλλειν*, Werf. *παραβάλλεσθαι*] Apogr. Mon. *Παρ' Ὁμήρου* [2], *ἐν οἷς φησιν ὁ ποιητής·*

. . . . . *παῖς ὡς* [3] *ὑπὸ μητέρα, δύσκεν*
Εἰς Ἄϊαν θ'· ὁ δέ μιν σάκεϊ κρύπτασκε [4] *φαεινῷ.*

Cod. bomb. *Οὕτως Ὁμηρος περὶ Τεύκρου φησί.*

. . . . . *παῖς* [5] *ὡς ὑπὸ μητέρα, δύσκεν*
Εἰς Ἄϊαν θ'· ὁ δέ μιν σάκεϊ κρύπτασκε φαεινῷ.

Supra in Schell. *Παρεξετασθῆναι.*

p. 299, B. *Δρύμου*] Apogr. Mon. *Εἶδός ἐστι σχήματος λόγου· Διονύσιος γὰρ ὁ Ἁλικαρνασσεὺς* [6] *λέγει, ὅτι ιβ εἰσὶ σχήματα τοῦ λύγου, ὧν ἕν ἐστι τὸ τοῦ δρόμου.*

ibid. *Ἐν Λεχαίῳ*] Cod. bomb. *Λέχαιος λιμήν ἐστι Κορίνθου, πρὸς δυσμαῖς τῆς πόλεως κείμενος* [8]. *Ἡ δὲ ἱστορία αὕτη· ἐπεστρατεύσαντο Κορινθίων Λακεδαιμόνιοι, ὅτι μὴ συνεστρατεύσαντο αὐτοῖς κατὰ Ἀθηναίων, λέγοντες, ὅτι ἡνίκα ἐκινδυνεύετε, ἐβοηθήσαμεν, νῦν οὖν ἀδικεῖτε· ἐλθόντες οὖν πρὸς συμμαχίαν Κορινθίων Ἀθηναῖοι ἐν τῷ Λεχαίῳ νενικήκασιν. Ἔστι δὲ τόπος πλησίον τοῦ Λεχαίου μόρα καλούμενος ἦν ὁ τῶν Ἀθηναίων στρατηγὸς Ἰφικράτης κατέκοψε καὶ ἐφεξῆς δὲ πάντα οὕτως ἐποίησε· καὶ γὰρ τὰ ἐν Ὀροδοῦντι καὶ ἐν Κρομίωνι καὶ ἐν Οἰνόῃ φρούρια Λακεδαιμονίων πάντα εἶλε καὶ τὰ τείχη κατέσκαψεν, ἃ ἦσαν περιβαλόντες περὶ τὴν Κόρινθον Λακεδαιμόνιοι, ἵνα αὐτὴν παραστήσωνται βίᾳ.*

p. 300, C. *Τοὺς ἐν Φλιοῦντι* [9]] Cod. bomb. *Τὰ μετὰ Κορινθίων αὐτοῖς λέγει γενόμενα πρὸς τῷ Τρικαράνῳ* [10] *καὶ τὸ*

1) *Παραβ.*, subl. Valk. — 2) *Παρ' Ὁμήρου*, Iliad. VIII, 271, Forte *παρ' Ὁμήρον*, i. e secundum Homerum, sic *παρ' Εὐριπίδην*, *παρὰ τὸν ποιητήν*, *παρ' Αἰσχυλον*, Sch. ad Pac. 677. inde *παρωδία*, *παραγλύφειν σφραγῖδας*, *παρακόπτειν νόμισμα*, clavem faciendam curare, excudere numismata in modum alius clavis, alius numismatis. — 3) *παῖς ὡς κ. τ. λ.* Apogr. *παῖς ὡς ὑπὸ μητέρα δύσκεν, Εἰς Αἴ. κ. τ. λ.* — 4) *κρύπτασκε*, Ap. et bomb. *κρύπτεσκε.* — 5) *παῖς*, bomb. *παῖς ὡς, ὑπὸ μητέρα δύσκεν Εἰς Ἄϊαν θ' ὁ δέ μιν κ. τ. λ.* — 6) Ap. *Ἁλικαρνασεὺς.* Vocem *Δρόμου* sublin. Valken. — 7) *Ἐν Λεχαίῳ* subl. Valk. — 8) *κείμενος*, bomb. *κείμενον.* — 9) *Τοὺς ἐν Φλ.* subl. Valk. — 10) *πρὸς τῷ Τρ.*, bomb. *πρὸς τὸ Τρ.*

Digitized by Google

κατὰ Φλιασίων τρόπαιον, στρατηγοῦντος Ἰφικράτους· Φλιοῦς δὲ πόλις Πελοποννήσου· Φλιασίους οὖν φίλους ὄντας Λακεδαιμονίων ἐπιόρκησαν καί τινας αὐτῶν ἐπεξελθόντας διέφθειραν, στρατηγὸν ἔχοντες Χαβρίαν. Ἐκράτησαν δὲ καὶ Σικυωνίων καὶ Μαντινέων, στρατηγὸν ἔχοντες Διότιμον.

Μαντινέων[1]] Apogr. Mon. Ὅτε ἐν Κορίνθῳ πελτασταὶ τῶν Ἀθηναίων ἐνίκων, στρατηγοῦντος Χαβρίου, Σικυωνίων δὲ, ἐπειδὴ καὶ οὗτοι Λακεδαιμονίοις συνεμάχουν. Διότιμος δὲ Σικυωνίων καὶ τῶν συμμάχων ἐκράτησεν ἐν τῷ πεδίῳ. ibid.

Κατέγνωσαν] Cod. bomb. Εἰς Ἐπικράτην αἰνίττεται, ὃς ἔπεισεν Ἀθηναίους δι' ἅσπερ ἴσμεν αἰτίας, δέξασθαι τὴν εἰρήνην. p. 300, C.

Παρὰ ταύτην τὴν εἰρήνην] In marg. Schell. Παραβάντες τὴν ἐπὶ Ἀνταλκίδου οἱ περὶ Φοιβίδαν τὸν Σπαρτιάτην. ibid.

Οὐχ ἓν εἶδος] In marg. Schell. Ἐκ καταθέσεως καὶ ἀναιρέσεως τοὐπιχείρημα. ibid.

Τὴν φυγὴν[2]] Apogr. Mon. Τετρακόσιοι ἦσαν οἱ φυγάδες, ὡς Ἀνδροτίων λέγει. In marg. Schell. Ἀντὶ προσώπου τὸ πρᾶγμα, τοὺς φεύγοντας δηλονότι· κατασχεθείσης γαρ τῆς Καδμείας ὑ Θηβαίων εἰς Ἀθήνας κατέφυγον. ibid.

Τὴν πρᾶξιν[3]] Apogr. Mon. . . . . Λέγει δὲ, ὅτι ἐδίδαξαν αὐτοὺς, πῶς δεῖ τοὺς καταλαβόντας τὴν Καδμείαν χρήσασθαι· συνεβούλευσαν γὰρ ἐγχειρίδια λαβόντας νεωτέρους τινὰς καὶ γυναικεῖον σχῆμα περιθεμένους αὐτοῖς εἰς τὴν ἀκρόπολιν ὡς γυναῖκας συγγενέσθαι τοῖς καταλαβοῦσι τὴν Καδμείαν, τούτων αἰτησάντων εὑρεῖν πρὸς συνουσίαν γυναῖκας, καὶ οὕτως ἀνελεῖν αὐτούς. Ὥσπερ δὲ δρᾶμα λέγει, ὅτι δώθασιν[4] (sic). In marg. Schell. Συνεβούλευσαν γὰρ ἐγχειρίδια λαβόντας τῶν ἀγενείων ἐνίους. ibid.

1) *Μαντινέων* subl. Valk. — 2) *Τὴν φυγὴν* subl. Valken. — 3) *Τὴν πρᾶξιν*, subl. Valken. — 4) *δώθασιν*. Quid sibi vult *δώθασιν*? Utrum *δεδιδάχασιν*? Felicitate quadam factum, ut supersit explicatio ex Cod. Schell.

Digitized by Google

καὶ γυναικεῖον σχῆμα περιθεμένους συμμίξαι αὐτοῖς γυναῖκας αἰτήσασι πρὸς συνουσίαν.

ibid. Συνθέντες] Supra in Schell. Συγγράψαντες.

p. 301, A. Ὥσπερ δρᾶμα [1]] In marg. Schell. Προτυποῦσι γὰρ οἱ τραγῳδοὶ καὶ προκατασκευάζουσιν τὴν ἐπιδεῖξιν.

ibid. Καὶ Βυζαντίου [2]] Apogr. Mon. Τοῖς μετοικήσασι [3]. Ταῦτα καὶ Δημοσθένης λέγει ἐν τῷ πρὸς Λεπτίνην [4].

p. 301, B. Τὴν προτέραν [5]] In marg. Schell. Τὴν ἐν Ἁλιάρτῳ κατὰ Λυσάνδρου καὶ Παυσανίου, τῶν Λακεδαιμονίων ἡγουμένων.

ibid. Στηλῶν [6]] Ibid. Ἐνεγράφοντο γὰρ στήλαις καὶ συμμαχίαι, καθάπερ αἱ δωρεαί.

p. 301, C. Ὠργίσθησαν] Ibid. Τουτέστιν ἀνεγέρθησαν [7] εἰς ἀμοιβὴν τῆς ἐν Ἁλιάρτῳ συμμαχίας.

p. 302, A. Παροξυνθέντων] Cod. bomb. Ἀκούσαντες Λακεδαιμόνιοι τὴν ἐν Κορωνείᾳ τοῦ στρατοπέδου αὐτῶν ἧτταν [8], μετὰ δυνάμεως πολλῆς ἔπεμψαν Ἀγησίλαον κατὰ Θηβαίων, ὃς μάλιστα πάντων ἐδόκει φιλοπόλεμος εἶναι. Ἀθηναῖοι δὲ καὶ αὖθις ἐβοήθησαν Θηβαίοις καὶ συμβαλόντες πρὸ τῆς Θηβαίων πόλεως Ἀγησιλάῳ, εἰς φυγὴν ἔτρεψαν, στρατηγοῦντος αὐτοῖς Χαβρίου καὶ Δημέου. Τὸ δὲ σὺν Ἀγησιλάῳ λέγει, ἢ ὅτι μετ' αὐτοῦ ἦσαν καὶ ἕτεροι στρατηγοί, ἢ ὥσπερ φαμὲν τοὺς ἀμφὶ τὸν Ἀχιλλέα, δηλοῦντες αὐτὸν μόνον τὸν Ἀχιλλέα.

p. 302, A. Στρατηγούς τε φοβερωτέρους [9]] Apogr. Mon. Τὸν Χαβρίαν λέγει καὶ Δημέαν· ἐπέμφθη δὲ ὕστερον Ἀγησίλαος μετὰ δυνάμεως πολλῆς κατὰ Θηβαίων· οὗτος δὲ πάνυ ἐγένετο φιλοπόλεμος, ὡς μαρτυρεῖ Ξενοφῶν, πρὸς ὃν Θηβαῖοι μετὰ Χαβρίου ἀντετάξαντο. In marg. Schell. Χαβρίαν καὶ Δημέαν [10].

1) Ὥσπερ δρᾶμα subl. Valk. — 2) Καὶ Βυζαντίου subl. Valken. — 3) Τοῖς μετ., Apogr. sic: τοῖς μετοικήσασι ταῦτα· Καὶ Δημ. — 4) Δημοσθένης ἐν τῷ πρὸς Λ., p. 55. ed. Wolf. — 5) Τὴν προτέραν subl. Valken. — 6) Στηλῶν subl. Valken. — 7) τουτέστιν ἀνεγέρθησαν, Cod. sic: ᾗ ἀνεγερθεῖσ. — 8) ἧτταν, bomb. ἥτταν. — 9) Στρατηγούς τε φοβ. subl. Valken. — 10) Δημέαν, Cod. Δημέα.

Digitized by Google

Τῆς ἐν Νάξῳ [1]] In marg. Schell. *κδ ναῦς ὁ Χα-* p. 302, B.
βρίας τῶν Ναξίων κατέδυσε.

Περὶ Κέρκυραν [2]] Apogr. Mon. *Ὅτε Τιμόθεος εἶλε Κέρκυραν· καὶ παρ' αὐτὴν Λακεδαιμονίους καὶ τὸν ναύαρχον Νικόλαον ἐνίκησε καὶ ἐν Ἁλυζᾷ τροπαίον ἔστησε καὶ ἐπεκράτησε* [3] *τῶν κατ' ἐκεῖνα τόπων. Ὅτε ὕστερον Λακεδαιμονίων Κέρκυραν πολιορκούντων Ἰφικράτης πλεύσας τὰς Διονυσίου τριήρεις Λακεδαιμονίοις ἥκουσας βοηθοὺς ἐλθὼν διέφθειρε καὶ ἀπήλλαξε κινδύνων τὴν νῆσον.* Cod. bomb. *Ἡ Κέρκυρα Λακεδαιμονίων οὖσα ὑπ' Ἀθηναίων ἐπολιορκεῖτο στρατηγοῦντος αὐτοῖς Τιμοθέου. Ἀκούσαντες δὲ Λακεδαιμόνιοι, στράτευμα οὐκ ὀλίγον ἔπεμψαν καὶ στρατηγὸν Νικόλαον· Τιμόθεος δὲ τήν τε Κέρκυραν παρεστήσατο καὶ Λακεδαιμονίους διέφθειρεν. Ὕστερον δὲ ἐπ' ἀναιρέσει Κερκύρας πεπλευκόσι Λακεδαιμονίοις, μαθόντες Ἀθηναῖοι, ἔπεμψαν Ἰφικράτην μετὰ νεῶν οὐ πολλῶν, ὃς συμβαλὼν αὐτοῖς καὶ κατακράτος νικήσας ἀπήλλαξε κινδύνου τὴν νῆσον.* In marg. Schell. *Λακεδαιμονίων Κέρκυραν πολιορκούντων πλεύσας Ἰφικράτης τὰς Διονυσίου τριήρεις Λακεδαιμονίοις ἥκουσας βοηθοὺς διέφθειρε καὶ τὴν νῆσον διέσωσε.*

Κελεύουσα [4]] In marg. Schell. *Παρακαλοῦσα, ἀττικῶς.* p. 303, A.

Ἀναιρέσει] Supra in Schell. *Κατα . . .* sc. *καταιρέσει.* ibid.

Ὠσθέντας] Apogr. Mon. *Ἀντὶ τοῦ καλῶς παθόντας· δεινὸν γὰρ τὸ ἐν τῇ κεφαλῇ τινα πληγῆναι. Ἔστι δὲ καὶ παροιμία ἐπ' ὀλέθρου ταττομένη, παρὸ οἱ ἐπὶ κεφαλὴν φερόμενοι κινδυνεύουσιν.* Cod. bomb. *Παροιμία ἐστὶν ἐπὶ τῶν κακῶς παθόντων καὶ ἀπολωλότων ταττομένη· εἴρηται δὲ ἀπὸ τῶν κακούργων* [5] *τῶν δικαζομένων ἐκ κρημνοῦ ῥίπτεσθαι κατὰ κεφαλήν.* p. 303, D.

Μηλίων καὶ Σκιωναίων [6]] Apogr. Mon. *Τὰ περὶ* p. 304, B.

1) *Τῆς ἐν Νάξῳ* subl. Valken. — 2) *Περὶ Κέρκυραν* sublin. Valken. — 3) *ἐπεκράτησε*, Ap. *ἐπικράτησε*. — 4) *Κελεύουσα* subl. Valken. — 5) *ἀπὸ τῶν κακούργων*, f. *ἐπὶ τ. κ.* — 6) *Μηλίων καὶ Σκιωνίων* subl. Valken.

Digitized by Google

τῆς Σκιώνης ὁ Θουκυδίδης λέγει ἐν τῇ δ'·[1] αὕτη γὰρ ἐν Θράκῃ πόλις οὖσα τῶν Ἀθηναίων ὑπήκοος ἀπέστη[2] αὐτῶν καὶ Λακεδαιμονίοις συνεμάχει· καὶ ὀργισθέντες Ἀθηναῖοι ἀπελθόντες κατέσκαψαν αὐτήν. Ὁ αὐτὸς λέγει[3] καὶ περὶ τῆς Μήλου ἐν τῇ ε, ὅτι νῆσός ἐστιν αὕτη ἡ Μῆλος ἄποικος μὲν Λακεδαιμονίων, Ἀθηναίοις δὲ συμμαχεῖν μὴ βουλομένη,[4] ὑπ' αὐτῶν τῶν Ἀθηναίων κατεσκάφη, ὅτι νῆσος οὖσα θαλαττοκράτορσιν Ἀθηναίοις οὖσιν οὐχ ὑπήκουσεν. Ταῦτα οὖν ἐδόκουν εἶναι μόνα τῶν Ἀθηναίων ὠμὰ καὶ ἀπάνθρωπα,[5] ἅπερ ἀναγκαίως ὁ Ἀριστείδης ἀπολύεται. Καλῶς[6] δὲ εἶπε Μηλίων καὶ οὐ Μηλιέων· Μήλιοι μὲν γὰρ οἱ τὴν νῆσον οἰκοῦντες, Μηλιεῖς δὲ οἱ ἐν τῷ Μηλιακῷ κόλπῳ. Cod. homb. Τὰ περὶ τῆς Σκιώνης ὁ Θουκυδίδης λέγει ἐν τῇ δ'· αὕτη γὰρ ἐν Θράκῃ οὖσα πόλις τῶν Ἀθηναίων ὑπήκοος ἀπέστη αὐτῶν καὶ Λακεδαιμονίοις συνεμάχει· ὀργισθέντες οὖν Ἀθηναῖοι κατέσκαψαν αὐτήν. Ὁ αὐτὸς δὲ λέγει καὶ περὶ τῆς Μήλου ἐν τῇ δευτέρᾳ[7], ὅτι νῆσός ἐστιν ἄποικος μὲν Λακεδαιμονίων, Ἀθηναίοις δὲ οὐ συμμαχεῖν δὲ οὐ βουλομένη, ὑπ' αὐτῶν τῶν Ἀθηναίων κατεσκάφη, ὅτι νῆσος οὖσα θαλαττοκράτορσιν Ἀθηναίοις οὖσιν οὐχ ὑπήκουεν. Ταῦτα οὖν ἐδόκουν εἶναι μόνα τῶν Ἀθηναίων ὠμὰ καὶ ἀπάνθρωπα. Ἔστι δὲ ἡ μὲν Μῆλος νῆσος πρὸς τῇ Πελοποννήσῳ, ἡ δὲ Σκιώνη περὶ Παλήνην. In marg. Schell. Μῆλος, νῆσος ἄποικος Λακεδαιμονίων, οἱ ἀπὸ ταύτης[8]· Μηλιεῖς δὲ οἱ ἐν τῷ Μηλιακῷ κόλπῳ· Σκιώνη πόλις Θρακική, ἥτις[9] κατεσκάφθη ὑπὸ Ἀθηναίων, ὅτι συνεμάχουν Λακεδαιμονίοις.

1) ὁ *Θουκυδίδης λέγει ἐν τῇ δ'*, cap. 120. — 2) *ὑπήκοος ἀπέστη*, Apogr. *ὑπήκοος· ἀπέστη*. — 3) *Ὁ αὐτὸς λέγει*. — *ἐν τῇ ε*, cap. 114. 116. — 4) *βουλομένη*, Apogr. *βουλομένους*. — 5) *ἀπάνθρωπα*, Apogr. *ἀπάνα*, notissimo ex compendio. — 6) *Καλῶς δὲ εἶπε κ. τ. λ.*, quae hinc leguntur, edidit Valken. ad Herod. VIII, 51. vid. Palmer. ad schol. in Av. 186. — 7) *ἐν τῇ δευτέρᾳ*, II, 9. de Meliis quidem loquitur Thucydides, sed perpauca et ne ea quidem, quae intelligi voluerit enarrator; itaque auctor sim, ut pro *ἐν τῇ β* restituatur *ἐν τῇ ε*. — 8) *οἱ ἀπὸ ταύτης* excidit vox *Μήλιοι*. — 9) *ἥτις*, in Cod. *ἧτης*, quoniam exciderant apiculi, quibus discernuntur ῆ et ῖς in Cod. mscr.

Digitized by Google

Μόνα] Cod. bomb. *μόνῳ*, inter lin. *γρ. μόνα.* p. 305, A.

Λαμβάνη] Supra in Schell. *Κατηγορεῖ.* In Cod. Palatino: *Ὅτι τὸ λαμβάνομαι κεῖται κἀπὶ καταγνώσεως γενικῆ συνταττόμενον, ὡς ἐν Παναθηναϊκῷ οἷον· ὅταν δ' ἐξετάζων διὰ πάντων ἑνὸς καὶ δυεῖν*[1] *λαμβάνῃ, λέληθας ἐπαινῶν οἷς ἀφίης.*[2] ibid.

Ἄλλωστε] Supra in Schell. *Καὶ μάλιστα.* ibid.

Οὐκ ἐρῶ[3] *πῶς*] Apogr. Mon. et bomb. *Ἰσοκρατικὸν*[4] *δὲ τὸ μεταχείρισμα· ὅνπερ*[4] *γὰρ τρόπον ἐκεῖνος ἐν τῷ Βουσίριδι, ὅτε εἰσήγαγε τὸν Πολυκράτην, διέβαλεν αὐτὸν ὡς ἀπαιδεύτως ἀντιτιθέντα καὶ ὕστερον ἔλυσεν,*[5] *οὕτω καὶ ὁ Ἀριστείδης δείξας,*[6] *ὠμαθεῖς τοὺς ἀντιτιθέντας νῦν λύει τὰ παρ' αὐτῶν·*[7] *τὸ δὲ οὕτως*[8] *μεταχειρίσασθαι ῥητορικόν ἐστι.* p. 305, B.

Λυνηθέντες] Supra in Schell. *Οἱ ἄρξαντες Λακεδαιμόνιοι.* ibid.

Προσηνέχθησαν] Ibid. *Ὡμίλουν.* ibid.

Συγγνώμην] Ibid. *Συγκαταγνώμην.* p. 305, C.

Ἀλλά μοι δοκοῦσιν] Cod. bomb. *Μεταφέρων τὴν αἰτίαν τοῦ ἀδικήματος ἐπὶ τὴν φύσιν τοῦ πράγματος. Θουκυδίδειος δὲ ἡ μεταχείρισις.* p. 305, D.

Ἀνάγκη] Cod. bomb. *Ἀναγκαῖον, ἐστὶν ὅτε τὸν ἄρχοντα διὰ τὸ τῆς ἀρχῆς συμφέρον καὶ τὸ ἀδικώτατα ποιεῖν· ὅθεν καὶ ὁ Σοφοκλέους*[9] *Ἀγαμέμνων φησί·*

Τόν τοι τύραννον εὐσεβεῖν οὐ ῥᾴδιον. p. 307, C.

Αὐτὸ] *τοῦτ'* Supra in Schell. *Τὴν φιλανθρωπίαν.* p. 308, B.

Μιτυληναίων[10]] Cod. bomb. *Μιτυληναίους*[11] *κακοὺς ὑπολειφθέντας περὶ Ἀθηναίους εἶναι καὶ ἀναφα-* ibid.

Ἀνδρῶν πάντων Σωκράτης σοφώτατος[4]. Cod. bomb. *Ἐλθὼν πρὸς Δελφοὺς ὁ Λυκοῦργος τοιαῦτ' ἤκουσε παρὰ τοῦ Ἀπόλλωνος·*

Ἥκεις, ὦ Λυκόεργε, ἐμὸν ποτὶ νηὸν ἀείων,
Ζηνὶ φίλος καὶ πᾶσιν Ὀλύμπια δώματ' ἔχουσι·
Δίζω, εἴ σε θεὸν μαντεύσομαι, ἦὲ βροτόντε·
Ἀλλ' ἔτι καὶ μᾶλλον θεὸν ἔλπυμαι, ὦ Λυκόεργε.

Ζητούντων δέ τινων ἐν τῷ Ἀπόλλωνι (sic), *τίς εἴη μάλιστ' ἁπάντων σοφὸς ἀνεῖλεν ἡ Πυθία,*

Ἀνδρῶν ἁπάντων Σωκράτης σοφώτατος.

In marg. Schell.

Ἥκεις, ὦ Λυκόεργε, ἐμ. π. ν. ἀε.
Ζ. φ. κ. π. Ὀλ. δ. ἔχ.
Δ. ἦ σε θ. μ. ἢ ἄνθρωπον.
Ἀνδρῶν πάντων Σωκράτης σοφώτατος.

p. 333, A. *Κορινθίων*] Apogr. Mon. *Λέγει Δημοσθένης*[5] *ἐπὶ μὲν Κορινθίους καὶ Μεγαρέας ἁρπάσαντας τα ὅπλα πορεύεσθε. Πανήγυριν δὲ λέγει τῷ* (sic) *τῶν Ἀθηναίων.*

p. 335, B.

1) *Λυκούργῳ τε κ. τ. λ.* subl. Valken. Exhibui autem lectiones Apogr. Monac. Eu varietas Leid. — 2) *νηὸν* Leid. *ναὸν.* 3) *δώματ' ἔχουσι* Leid. *δ. ἔχουσιν*, Mon. *δόματ' ἔχουσι.* — 4) *Σωκράτης σοφ.*, Leid. *Σωκράτη σοφότατον.* Illud oraculum desumtum ex Herod. I, 65. Inter haec et quae sequuntur *Ἀνδρῶν π.* excidisse nonnihil, facile intelligitur, nam *Ἀνδρῶν πάντων κ. τ. λ.* ex oraculo, quod servavit schol. ad Aristoph. Nub. vrs. 145. (cf. Creuz. ad Olymp. II, p. 53.)

Σοφὸς Σοφοκλῆς, σοφώτερος δ' Εὐριπίδης,
Ἀνδρῶν δὲ πάντων Σωκράτης σοφώτατος.

Hinc simillima leguntur in bomb. F. *Ἀνδρῶν δ' ἁπάντων κ. τ. λ.*, etenim bomb. sic: *Σωκράτης ἀνδρῶν ἁπάντων σοφώτατος.* Quodsi Apologia Socratis Xenophontea esset, ex sect. 14 pluribus hoc oraculum constitisse crederem. Memoratur ib. orac. Lycurgi. — 5) *Δημοσθένης*, subl. Valk. vocem *Κορινθίων.* — 6) *ὡς ἀρχαῖα* subl. Valk.

Digitized by Google

Ὡς ἀρχαῖα [6]] Apogr. Mon. *Ἀρχαῖα μὲν τα Σαμοθρᾴκης ἢ τὰ Λυκομήδου· ἀναγκαῖα δὲ καὶ πάντα τὰ μυστήρια τῶν θεῶν ἄλλωστε ἐν Αἰγίνῃ* [1] *· γνώριμα δὲ τὰ Ἰσθμοῖ* [2] *ἢ Πυθοῖ ἅ ἃ καλοῦσι δημοτελῆ.*

Οὐχ ἡμῶν ὁ λόγος] In marg. Schell. *Ἀπόῤῥητα γὰρ καὶ κρυπτὰ τὰ μυστήρια.* ibid.

Τῷ Ἐλευσινίῳ] Supra in Schell. *Τῷ ἱερῷ τῆς Δήμητρος.* p. 333, C.

Τέλους] In marg. Schell. *Τέλους, δαπανήματος* (sic.) p. 334, A.

Οἳ μηδὲν ἔχοντες φανερὸν] Apogr. Mon. *Τουτέστι μηδὲν ἐπίδηλον* [3]*, μηδὲ ἔνδοξον· καὶ Ὅμηρος* [4]

p. 384, B.

. . . . . *Ἴν' ἔκδηλος μετὰ πᾶσιν*
Ἀργείοισι γένοιτο.

Οὐδὲν κοινὸν] Supra in Schell. *Πόλεως δηλονότι κατόρθωμα.* ibid.

Γεωπεῖναι] Penes Photium: *Οἱ γεωργοί, οἱ μὴ οἰκείαν γῆν ἔχοντες ἀροῦν.* p. 334, C.

Τοῦ ἡδύσματος] In marg. Schell. *Οὐκ εἶπεν* [5] *φιλοτιμήματος, ἀλλ' ἡδύσματος, εὐτελίζων.* ibid.

Κοσμῆσαι ἵππους] Penes Phot. *Εἰς Μενεσθέα* [6] *Ἀλέξανδρον* (sic) *ἀποτείνεται.* p. 334, D.

Κράτιστος] In Schell. *Κάρτιστος*, in marg. *Ἤτοι κράτιστος.* p. 335, A.

Ἐπωνύμων] In marg. Schell. *Ἀφ' ὧν αἱ φύλαι ὀνομάζονται· καὶ γὰρ ἀπὸ τῶν ἐν αὐταῖς ἀρίστων γενομένων εἶχον τὰ ὀνόματα.* p. 336, A.

Συνέταξε] Apogr. Mon. *Συνέταξε λέγει, ὅτι γνώμη τοῦ Ἀπόλλωνος· ὁ Λυκοῦργος παρὰ τοῦ Κρητὸς τοῦ Μίνωος τὰ νόμιμα δεξάμενος κατὰ τὴν μαντείαν τοῦ Ἀπόλλωνος, οὕτως ἐθάῤῥησε παρὰ Λακεδαιμονίοις θεῖναι τοὺς* ibid.

1) *ἄλλωστε ἐν Αἰγ.*, Apogr. *ἀλλ' ὡς τὰ*, f. *ἄλλως τε τὰ ἐν Αἰγ.* — 2) *Ἰσθμοῖ*, Apogr. Mon. *Ἰσθμῷ.* —3) *Ἐπίδηλον*, Apogr. *ἐπιδημον μὴ δὲ ἔνδ.* — 4) *Καὶ Ὅμηρος*, Iliad. V, 2. Apogr. sic exhibet:

Ἴν' ἔκδηλος μετὰ πᾶσιν Ἀργεῖοι
γένονται (in Cod. corr. *γένηται.*)

5) *οὐκ εἶπεν*, Cod. *εἰπεῖν.* — 6) *Εἰς Μενεσθέα Ἀλ.*, cf. Iliad. II.554.

Digitized by Google

νόμους. Cod. bomb. *Συνέταξε λέγει, ὅτι γνώμη τοῦ Ἀπόλλωνος·* [1] *ὁ Λυκοῦργος παρὰ τῶν Κρητῶν καὶ τοῦ Μίνωος τὰ νόμιμα λαβὼν κατὰ μαντείαν τοῦ Ἀπόλλωνος, οὕτως ἐθάῤῥησε παρὰ Λακεδαιμονίοις θεῖναι τοὺς νόμους.* In marg. Schell. *"Οτι γνώμῃ Ἀπόλλωνος ὁ Λυκοῦργος παρὰ τοῦ Μίνωος τὰ νόμιμα δεξάμενος οὕτως ἐθάῤῥησε θεῖναι τοὺς νόμους.*

ibid. *Ὁ δέ γε* [2] *αὐτὸς οὗτος θεὸς*] Apogr. Mon. et Leid. *Τεσσάρων οὐσῶν φυλῶν παρὰ τοῖς Ἀθηναίοις Κλεισθένης ὁ Ἀλκμαιωνίδης* [3] *δεδιὼς, μὴ ἔν τινι καιρῷ μία τῶν δ' φυλῶν βουληθεῖσα τυραννῆσαι, προσποιήσῃ ἑαυτῇ τῶν ἄλλων μίαν* [4] *καὶ ἐκ τούτου κρατήσῃ τῶν ἄλλων δύο φυλῶν, λαβὼν* [5] *ῥ' ἡρώων ὀνόματα ἦλθεν εἰς Πυθίαν, μαθεῖν βουλόμενος, ἐκ ποίων ὀνομάτων καλέσει τὰς φυλὰς, ἃς μέλλει κτίζειν. Λαβὼν τὸν χρησμὸν καὶ ἐλθὼν Ἀθήνησιν, ἐποίησε δέκα φυλὰς, ἵνα καὶ εἴν βούληται μία τῶν δέκα τυραννῆσαι, μὴ δύνηται πεῖσαι τὰς λοιπάς. "Υστερον,* [6] *ὡς ἐταπεινώθησαν Ἀθηναῖοι ὑπὸ Μακεδόνων, χαριζόμενοι αὐτοῖς ἐποίησαν δύο φυλὰς καὶ ὠνόμασαν τὴν μὲν Ἀντιγονίαν, τὴν δὲ Δημητρίαν, ἀπὸ Ἀντιγόνου καὶ Δημητρίου βασιλέων.* In marg. Schell. *"Οτι δ' οὐσῶν τῶν φυλῶν Ἀθήνησι Κλεισθένης* [7] *δεδιὼς, μὴ μία τούτων ἐπίθηται τυραννίδι, εἰς δέκα ταύτας διεῖλε χρησμῷ πειθόμενος.*

Τὰς ἑκάστοις προσηκούσας θυσίας] Cod. bomb. *Τὸ*
p. 336, B. *ἑκάστοις ἢ ἀντὶ τοῦ θεοῖς νόει ἢ ἀντὶ τοῦ γένεσι· λέγει δὲ ὅτι ὁ Ἀπόλλων προσέταξε ταύτην μὲν τὴν φυλὴν*

1) *ὅτι γνώμη τοῦ Ἀπόλλωνος· ὁ Λυκοῦργος κ. τ. λ.* Interpungendum censui post *Ἀπόλλωνος*, ut diserte exhibet Apogr. Mon. Quodsi abessent *κ. μ. τ. Απ.*, cum Schell. ita legere possis; *Συνέταξε λέγει, ὅτι γνώμῃ τοῦ Ἀπόλλωνος ὁ Λυκοῦργος κ. τ. λ.*, lenius item fluente oratione. Forte *κατὰ μαντείαν*, vel *κατὰ τὴν μ. τ. Ἀπ.* sunt interpretamenta illorum, *γνώμῃ τ. Ἀπ.* — 2) *Ὁ δέ γε κ. τ. λ.* subl. Valk. et edid. ad Herod. V, 66. — 3) *Κλεισθ. ὁ Ἀλκμ.*, sic emend. Valk. l. l. et probat Fisch. ad Aeschin. p. 105., ed. sec. Utrumque apogr. *Καλλισθένης ἢ Ἀλκμ.* — 4) *τῶν ἄλλων μίαν*, ita Valk., Codd. *τὴν ἄλλην μίαν.* — 5) *λαβὼν ῥ' ἡρ.*, monet Valk. ne *ι'* legas pro *ῥ'*, cum Clisthenes Pythiae de multis eligendi potestatem facere vellet. cf. Creuz. S. et M. t. III, 63. — 6) *ὕστερον κ. τ. λ.* non ed. Valken. — 7) *Κλεισθένης*, Schell. *Καλλ.*

Digitized by Google

Θύειν Διΐ, ταύτην δὲ Ποσειδῶνι, ἄλλην δὲ Διονύσῳ, καὶ ἑτέραν ἑτέρῳ· Τὸ δὲ βασιλέας καὶ ἄρχοντας, δικαστήρια ἦσαν ἐν Ἀθήναις διάφορα· τὸ μὲν γὰρ ἐκαλεῖτο Ἄρειος πάγος, κρίνον περὶ φόνων, τὸ δὲ βασιλεὺς, κρίνον περὶ δημοσίων, τὸ δὲ Εὐμολπίδαι καὶ Κήρυκες, κρίνον περὶ ἱερῶν, τὸ δὲ Ἔνδεκα, κρίνον περὶ ἄλλου τινός.

Ἁπλοῦν τε καὶ οὐχ ἁπλ.] In ora inferiore Schell. p. 336. C.
Ἁπλοῦν μὲν διὰ τὴν διαίρεσιν, οὐχ ἁπλοῦν δὲ διὰ τὸ εἶναι ἐν αὐτῇ τὰς τρεῖς πολιτείας, μᾶλλον δὲ τὰ τῶν τριῶν χρήσιμα.

Ἀλλὰ καὶ τῶν ὕστερον] Apogr. Mon. Τοῦτο διὰ p. 336, D.
Θυμοίτην φησὶν τὸν βασιλέα τῶν Ἀθηναίων· ἐπερχομένου γὰρ Ξάνθου τοῦ Βοιωτῶν βασιλέως καὶ δόξαν, ἵνα μονομαχήσωσιν οἱ δύο στρατηγοὶ τῶν στρατοπέδων, Θυμοίτης γέρων ὢν καὶ μὴ δυνάμενος μονομαχῆσαι, ἔδωκε τὴν βασιλείαν Μελάνθῳ καὶ αὐτὸς ἐμονομάχησε....

Ὥσπερ γὰρ ὁ πᾶς οὗτοσὶ κόσμος] Apogr. Leid. Πλα- p. 338, A.
τωνικὸν δὲ τοῦτο θεώρημά ἐστιν, ὅτι οὐδὲ ἓν τούτων ἁπλοῦν ἐστι καθ' ἑαυτό· οὐ γὰρ ἂν συνέστη, ἀλλὰ ἐν ἑαυτῷ καὶ τὰ ἄλλα στοιχεῖα[1] τῷ πλεονάζοντι ἔσχε τὴν προσηγορίαν· οὕτω καὶ αἱ πολιτεῖαι εἰ καὶ ἰδίᾳ κεχωρισμέναι εἰσὶν, ἀλλα μετέχουσι καὶ τῶν ἄλλων.

Συνέδριον] Supra in Schell. Φανήσεται προέχον. p. 338, C.

Ἡγούμενα] Ibid. Ἡγεμονεύμενα. ibid.

Τβριστότεροι] Sic Colleg. Nov. Sed in marg. γρ. p. 339, A.
Τβριστικώτεροι.

Γεγενημένοι] Ibid. Δεδειγμένοι. ibid.

Τίθεσθαι] Ibid. Ἀρέσκεσθαι. ibid.

Ἀλλ' ὅσον μὴ ἀδικεῖσθαι] Cod. bomb. Ἐπειδὴ p. 339, B.
πρὸς τοὺς ἔχοντας φθόνος ἕρπει, κατὰ Σοφοκλῆ,[3] διὰ τοῦτο ἡ πόλις οἰκ εἴα τοὺς πλουτοῦντας ἀδικεῖσθαι ὑπὸ τῶν ἄλλων τοῖς τοιούτοις φθονούντων. Penes Phot. Ἐπειδὴ πρὸς τοὺς ἔχοντας ὁ φθόνος ἕρπει.

1) Ὥσπερ γὰρ ὁ πᾶς κ. τ. λ. non subl. Valken. — 2) post στοιχεῖα excidit forte ἔχων. — 3) κατὰ Σοφοκλῆ, Ajac. vrs. 157. πρὸς γὰρ τὸν ἔχοντ' ὁ φθόνος ἕρπει.

Digitized by Google

p. 339, C. *Τὸν θεσμὸν*] Supra in Schell. *Τὸν φυσικὸν νόμον.*

ibid. *Τὰ τῇ φύσει τρίτα*] Cod. bomb. *Τὰ χρήματα λέγει.*[1] *Πλατωνικὸν δὲ τὸ νόημα· λέγει γὰρ ἐκεῖνος πρῶτον μὲν ψυχήν, δεύτερον δὲ τὸ σῶμα, τρίτον δὲ τὰ τοῦ σώματος, ἅπερ ἐστὶ τὰ χρήματα καὶ ἀρχαὶ καὶ ὅσα τοιαῦτα. Λέγει δὲ ὡς οὐκ ἀρετῆς τὸν πλοῦτον προετίμησεν.* In marg. Schell. *Τὰ χρήματα λέγει κατὰ Πλάτωνα, λέγοντα μὲν πρῶτον τὴν ψυχήν, δεύτερον δὲ τὸ σῶμα, τρίτον δὲ τὰ τοῦ σώματος, χρήματα, ἀρχήν, φίλους καὶ ὅσα τῶν ἐκτός.*

p. 340, A. *Ἀπὸ τῶν μεγίστων τιμημάτων*[1]] Cod. bomb. *Τίμημα λέγει τὸν πλοῦτον, ὡς καὶ Πλάτων καὶ Δημοσθένης χρῆται τῇ λέξει· ἀπετετίμηντο*[3] *γὰρ ἑκάστων αἱ οὐσίαι ἐν Ἀττικῇ, ὥστε εἶναι δῆλας καὶ τὰς λειτουργίας καὶ τὰς εἰσφοράς.* In marg. Schell. *Τιμήματα ἐκάλουν τοὺς πλούτους καὶ τὰς οὐσίας, ἐκτετιμῆσθαι γὰρ εἰώθασιν· ὡς ἂν ἀνάλογοι αἱ εἰσφοραὶ πρὸς τὰς οὐσίας γίνοιντο.* Supra in Schell. *Πάντων* (sc. *μεγίστων*) *οὐσιῶν* (sc. *τιμημάτων*).

ibid. *Φύσεις*] Supra in Schell. *Προαιρέσεις, ὅτι κ. τ. λ.*

p. 340, C. *Ἐν ᾗ ζῇν*[4]] Apogr. Mon. *Τὸ νόημα Θουκυδίδειον, ἐκ τῶν ἐπιταφίων*[5] *κείμενον.*

p. 341, B. *Εἰ δέ που διασταῖεν*] In marg. Schell. *Τὰ ἐπὶ τῶν Α αἰνίττεται.*

ibid. *Πένταθλοι*[6]] Apogr. Mon. *Ἀντὶ τῶν ἆθλος ἔχων πέντε ἀγωνίσματα, πάλην, δρόμον, ἀκόντιον, δίσκον, παγκράτιον· ἢ ἀντὶ τοῦ οἱ ε' ἐξαγωνιζόμενοι, ἢ ἐν τοῖς ε' ἀγωνίσμασι νικῶντες· οὐχ ὅτι πάντως οἱ πένταθλοι πάντα νικῶσιν· ἀρκεῖ γὰρ αὐτοῖς γ' τῶν ε'*[7] *πρὸς νίκην. Λέγεται δὲ πρῶτος Πηλεύς, ὅτε ἦν μετὰ τῶν Ἀργοναυτῶν, τοῦτον θεῖναι τὸν ἀγῶνα· τὰ δὲ πένταθλα ἦν ταῦτα· δρόμος, πάλη, δίσκος, ἀκόντιον, ἅλμα·*[8] *οἱ δὲ παγκράτιον.* In marg. Schell.

1) *Τὰ χρήματα λέγει κ. τ. λ.* Ea prostant edita in Creuz. annot. ad Plot. p. 329. Quae inde ab *λέγει δὲ ὡς κ. τ. λ.* leguntur, praetermissit V. D. — 2) *Ἀπὸ τῶν μεγ. τιμ.* subl. Valken. — 3) *ἀπετετίμηντο*, Ap. *ἀποτετίμηντο*, f. *ἀποτετίμηνται.* — 4) *ἐν ᾗ ζῇν* subl. Valk. — 5) *ἐκ τῶν ἐπιταφίων*, sic. f. *ἐν τῷ ἐπιταφίῳ.* — 6) *Πένταθλοι* subl. Valk. — 7) *ἀρκεῖ γὰρ αὐτοῖς γ' τῶν ε'*, sic ex Photio emendavi, Apogr. *ἀρκ. γ. αὐτ. γ' τρεῖς ε'.* — 8) *ἅλμα*, Apogr. *ἅκμα.*

Digitized by Google

Ἐμοὶ μὲν οὐδ' οἱ πάντα νικῶντες πένταθλοι τοσοῦτο δοκοῦσι τοῖς πᾶσι κρατεῖν. Penes Phot. Πράγματα εἶπεν ἀντὶ προσώπων· δέον γὰρ εἰπεῖν οἱ τοὺς πεντάθλους νικῶντες, ὁ δὲ εἶπεν οἱ πένταθλοι, πάλην, δρόμον, ἀκόντιον, δίσκον, παγκράτιον· ἢ ἀντὶ τοῦ οἱ ε ἀγωνιζόμενοι, ἢ οἱ ἐν τοῖς πέντε ἀγωνίσμασι νικῶντες· οὐχ ὅτι δὲ οἱ πένταθλοι πάντα νικῶσιν, ἀρκεῖ γὰρ αὐτοῖς τρία τῶν πέντε πρὸς νίκην. Λέγεται δὲ Πηλεὺς, ὅτε ἦν μετὰ τῶν Ἀργοναυτῶν [1] τοῦτον θεῖναι τὸν ἀγῶνα πρῶτος· τὰ δὲ πέντε ἆθλα ἦν ἃ προείρηται· οἱ δὲ ἀντὶ τοῦ παγκρατίου τὸ ἅλμα συναριθμοῦσι.

Βελτίων] Supra in Schell. Ἡ πόλις. p. 341, C.

Τῆς λοιπῆς σοφίας [2]] Cod. bomb. Λοιπὴν σοφίαν λέγει ἰατρικὴν, ζωγραφίαν, τὰς ἄλλας τέχνας· καὶ γὰρ Ὅμηρος οὐ μόνον ἐπὶ τῶν λόγων τὸ σοφὸν [3] χρῆται, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν, ὡς τὸ· [4] ibid.

. . . . . σοφὸς ἤραρε τέκτων.

Προηροσίαν [5]] Apogr. Mon. Τουτέστι πρὸ τοῦ ἀροτρου καὶ τοῦ σπόρου· λέγει δὲ τὴν πρὸ τοῦ ἀροτριᾶν θυσίαν, ἣν ποιοῦσιν, ὥστε καλοὺς τοὺς καρποὺς γενέσθαι. Ἡ δὲ ἱστορία τοιαύτη· λιμοῦ [6] κατασχόντος τοὺς Ἕλληνας, ἔχρησεν ὁ θεὸς παύσασθαι, εἰ Ἀθηναῖοι εὔξοιντο [7] ὑπὲρ αὐτῶν· ἐλθόντων δὲ πρέσβεων ἐς τὴν Ἀττικὴν, πεισθέντες ἔθυσαν ὑπὲρ αὐτῶν τὴν προηροσίαν [8] ἀντὶ τοῦ τὴν πρὸ ἀρότρου, οὕτως ἐπαύσατο ὁ λιμός. In marg. Schell. Τὴν προηροσίαν [9] ἔθυσαν Ἀθηναῖοι ὑπὲρ Ἑλλήνων διὰ χρησμοῦ, λιμοῦ κατασχόντος αὐτούς. p. 342, D.

1) τῶν Ἀργοναυτῶν, sic in marg., in ipsis excerptis Photii est Ἀργείων αὐτῶν. — 2) Τῆς λοιπῆς σοφίας, Werf. dedit τῇ λοιπῇ σοφίᾳ — 3) τὸ σόφον nolui τῷ emendare propter scholion, quod legitur inter edita ad. t. III, p. 93, C. — 4) Utrumque expressit Pind. Pyth. III, 201. — 5) Προηροσίαν, subl. Valken. — Cf. ad hoc scholion enarratorem graecum ad Aristoph. Eq. vrs. 725. quem laudat et cum Suida comparat H. Vales. ad Harp. p. I. — 6) λιμοῦ, Apogr. λοιμοῦ; refert sch. l. l. alios λοιμὸν, alios λιμὸν in caussa fuisse perhibere. — 7) εὔξοιντο, hoc in marg. Apogr. ἄξοντο. — 9) προηροσίαν; schol. l. l. εἰ προηρόσιον, quod tacite emendavit Vales.

Digitized by Google

ibid. Ἀετὸν ἐν νεφέλαις [1]] Apogr. Mon. *Λέγεται ὁ ἀετὸς βασιλεὺς εἶναι τῶν ὀρνέων· οὕτω καὶ ἡ πόλις τῶν Ἀθηναίων τῶν ἄλλων πόλεων. Τοῦτο δέ ἐστι μὲν ἀπὸ χρησμοῦ· εἰς δὲ παροιμίαν ἦλθεν ἐπὶ τῶν δυσαλώτων, καὶ γὰρ ὁ ἀετὸς ἐν νεφέλαις ὢν δυσάλωτός ἐστι· τὸ δὲ τοῦ χρησμοῦ μέρος τοιοῦτον·*

Εὔδαιμον πτολίεθρον Ἀθηναίης ἀγελείης [2]
Ἀετὸς ἐν νεφέλῃσι πετήσεται ἤματα πάντα.

Cod. bomb. *Ἐπειδὴ ὁ ἀετὸς ἄρχει τῶν ἄλλων ὀρνέων, (διὰ τοῦτο γὰρ καὶ τῷ Διῒ ἀνάκειται), καὶ ἡ πόλις τῶν Ἀθηναίων κρείττων ἁπασῶν ἐστι τοῖς ὅλοις, τούτου χάριν ἀετὸν ὁ θεὸς ταύτην προσεῖπε, δεικνὺς αὐτῆς τὴν ὑπεροχὴν καὶ ὅτι ὅσον αἱ νεφέλαι τῆς γῆς ἀπέχουσι, τοσοῦτον καὶ αὕτη τῶν ἄλλων πόλεων.* In marg. Schell.

Εὔδαιμον πτολίεθρον Ἀθηναίης ἀγελείης
Ἀετὸς ἐν νεφέλῃσι πετήσεται ἤματα παντα.

Ἐντεῦθεν καὶ παροιμία ἐπὶ τῶν δυσαλώτων. Ἀετὸς ἐν νεφέλῃσι.

p. 343, A. *Τὸ τῆς σοφίας πρυτανεῖον* [3]] Apogr. Mon. *Πλάτων ἐν Πρωταγόρᾳ· [4] κατὰ ταὐτὸ νῦν συνεληλυθότες εἰς Ἑλλάδος πρυτανεῖον. Τὴν ἑστίαν τῆς Ἑλλάδος καὶ ὁ Πύθιος λέγει· χρωμένοις τοῖς Λακεδαι-*

1) *Ἀετὸν ἐν νεφ.* subl. Valken., Steph. *Ἀετὸν*, quod malui in oraculo obtinere, quam in ipsius Sophistae verbis. — 2) *ἀγελείης*, Apogr. *ἀδολίαν*, vid. Hom. Iliad. VI, 269. 279. Legitur hoc oraculum plenius in schol. ad Aristoph. Eq. vrs. 1010.

Εὔδαιμον πτολίεθρον Ἀθηναίης ἀγελείης
Πολλὰ ἰδὸν καὶ παθὸν καὶ πολλὰ μόγησαν
Ἀετὸς ἐν νεφέλῃσι γενήσεται ἥματα πάντα.

In ultimo hujus oraculi versu marg. Schell. hab. *ἀετὸς*, attice quidem, sed secus atque oraculorum mos fert. Comicus cum suo interprete ibidem exhibent *γενήσεται* pro *πετήσεται* cf. vrs. 1085. item *γενήσεται* in Av. 979 et schol. ad Av. 989. — 3) *Τὸ τῆς σοφ. πρ.* subl. Valken. — 4) *Πλάτων ἐν Πρωταγόρᾳ* pag. 561. ex quo post *συνεληλυθότες* inserui *εἰς*. Totum autem sch. ita fere habet: *Πλ. ἐν Πρ. κατὰ ταὐτὸ νῦν συνεληλυθότες Ἑλλάδος πρυτανεῖον τῆς περὶ τῆς ἑστίας τῆς Ἑλλάδος· καὶ ὁ Πύθιος λέγει χρωμένοις τὴν Λακεδαιμονίαν μετὰ τὰ ἐν αἰγὸς ποταμοῖς ἔχρησεν κ. τ. λ.* F. — *πρυτανεῖον· περὶ κ. τ. λ.* —

Digitized by Google

μονίοις μετὰ τὰ ἐν Λιγὸς ποταμοῖς ἔχρησεν ὁ Ἀπόλλων, μὴ δεῖν ἀνελεῖν τὴν τῆς Ἑλλάδος ἑστίαν. Τὸ δὲ ἔρεισμα πολλοὶ μὲν καὶ ἄλλοι καὶ Πίνδαρος δέ φησιν· Ἔρεισμ' Ἀθηνᾶ,[1] εὐδαιμόνιον πτολίεθρον. Cod. bomb. Πλάτων ἐν Πρωταγόρᾳ[2] σοφίας πρυτανεῖον τὰς Ἀθήνας καλεῖ, Ἑλλάδος δὲ ἑστίαν ὁ Πύθιος· βουλομένοις γὰρ Λακεδαιμονίοις μετὰ τὰ ἐν Λιγὸς ποταμοῖς καθάπαξ Ἀθήνας καὶ τὸ τῶν Ἀθηναίων ὄνομα ἀπολέσαι καὶ ἐρομένοις περὶ τούτου τὸν Πύθιον, χρησμὸς αὐτοῖς δέδοται, ὡς οὐ τὴν τῆς Ἑλλάδος ἀνελεῖν ἑστίαν. Τὸ δὲ ἔρεισμα Πίνδαρός φησιν οὕτως· Ἔρεισμ' Ἀθάνας, δαιμόνιον πτολίεθρον.

Εἴσω· πίπτειν[5]] Supra in Schell. Μικρὰ εἶναι. ibid.

Πρεσβεύη τὴν ἀκρ.] Penes Phot. Ἀντὶ τοῦ τιμιωτέραν καὶ ἐνδοξοτέραν τῆς πάσης Ἀττικῆς, εἴ τις λέγει τὴν ἀκρόπολιν. p. 343, D.

Ἀντὶ τοῦ πέπλου[4]] Apogr. Mon. et Leid. Πέπλον[5] λέγει τὸ ἱστίον τῆς νεώς· φασὶ γάρ, ὅτι ναῦς ἦν ὑπότροχος κατασκευασθεῖσα, ἥτις ἐν τοῖς Παναθηναίοις ἀπό τινος τόπου ἀγομένη ἐπὶ τὴν ἀκρόπολιν εἶχεν ἄρμενον,[6] ἐν ᾗ ἦν γεγραμμένη[7] ἡ γιγαντομαχία, ἐν ᾗ φασὶν ἀριστεῦσαι τὴν Ἀθηνᾶν· λέγουσι δὲ, ὅτι αἱ καλαὶ τῶν παρθένων ἐν τοῖς Παναθηναίοις εἰργάζοντο πέπλους, οὓς ἀνετίθεσαν τῇ Ἀθηνᾷ. Cod. bomb. Ἐν τοῖς Παναθηναίοις ὕφαινον αἱ πάρθενοι Ἀθήνῃσι πέπλον, ἐν ᾧ ἅρμα ἦν ἐντετυπωμένον, καὶ ἃ κατὰ τῶν γιγάντων ἡ θεὸς ἔπραξεν· ἐποίουν p. 344, A.

1) Ἔρεισμ' Ἀθ. κ. τ. λ. vide Pind. fragm. p. 74 seq. et Creuz. de civit. Athen. p. 62. — 2) Πλάτων ἐν Πρ. edid. Creuz. ad Plot. p. 464. ad Orat. de Ath. p. 54. — 3) Εἴσω πίπτειν subl. Valken. — 4) Ἀντὶ τοῦ πέπλου non subl. Valk. sed ὥσπερ καὶ ὁ λόγος καὶ ἡ πόλις, quae extrema leguntur. — 5) Πέπλον, Mon. et Leid. πέπλου — ibid. ναῦς ἦν ὑπότροχος, ea adprime recte a scholiasta dici, vide Creuz. Myth. et Symb. t. II, 409. — 6) ἄρμενον, Apogr. utrumque ἅρμενον, illud recepi ex Schol. ad Aristoph. Equit. vrs. 563, ubi haec: πέπλον δὲ καλοῦσι ἄρμενον, διὰ τὸ ἀραιὸν αὐτὸ εἶναι. — 7) ἐν ᾗ ἦν γεγρ., Ap. utrumque ἐν ᾗ ἦν γεγραμμένον, f. ἐν ᾧ ἦν γεγραμμένη, ut fere legitur in marg. Schell.

Digitized by Google

τοῦτον τὸν πέπλον ἱστίον τῆς νηὸς, ἥτις ὑπότροχος κατεσκεύαστο καὶ ἐκ τινὸς τόπου πρὸς τὴν ἀκρόπολιν ἤγετο. In marg. Schell. *Πέπλον λέγει τὸ ἱστίον τῆς νεὼς τῆς ἐπὶ χέρσου φερομένης διὰ τροχῶν· ἐνεγέγραπτο γὰρ αὐτῷ ἡ γιγαντομαχία, ἐν ᾗ φασὶ ἀριστεῦσαι τὴν Ἀθηνᾶν. Ἀλλὰ καὶ αἱ πάρθενοι πέπλους ἐργαζόμεναι ἀνετίθεσαν τῇ Ἀθηνᾷ.*

ΣΧΟΛΙΑ[1]

ΕΙΣ

ΤΟΝ ΠΡΩΤΟΝ ΥΠΕΡ ΡΗΤΟΡΙΚΗΣ ΛΟΓΟΝ ΤΟΥ ΑΡΙΣΤΕΙΔΟΥ.

Εἴ τινι τῶν πρότερον] Schol. ed. *Τὸ τινὶ ἢ πρὸς τὸ τῶν πρότερον καὶ δόξαν ἐχόντων σύναπτε, λέγων τινι τῶν παλαιῶν καὶ ἐνδόξων, ἢ πρὸς τὸ συμβέβηκεν, ἵν' ἔχῃ τὸ ἑτέρως πρὸς τὸ τῶν πρότερον καὶ δόξαν ἐχόντων συνάπτεσθαι οὕτως, ἐάν τινι — ὑστέρῳ*[2]*, δηλονότι — συμβέβηκεν εἰρῆσθαι περὶ τῶν αὐτῶν ἑτέρως τῶν πρότερον καὶ δόξαν ἐχόντων. Ὅ μοι δοκεῖ κρεῖττον· καὶ γὰρ τὸ βασκαίνειν πρὸς τὸν ὕστερον ἔχει τὴν ἔμφασιν, οὐ γὰρ βασκαίνει τις τῷ πρὸ αὐτοῦ*[3]*, ἀλλὰ τῷ ὑστέρον εἰρηκότι ἑτέρως τοῦ παλαιοῦ*[4] *καὶ ἐνδόξου.* t. III, 3. A.

Κιθαριστὰς] Schol. ed. *Κιθαρῳδὸς ὁ καὶ πρὸς τὴν φωνὴν τῆς κιθάρας ᾄδων· κιθαριστὴς δὲ ὁ κρούειν μόνον ἐπιστάμενος.* Schol. Mon.[5] *Κιθαρῳδὸς κιθαριστοῦ διαφέρει, ὅτι ὁ κὲν κιθαρῳδὸς τῇ φωνῇ κέχρηται, ὁ δὲ κιθαριστὴς κρούειν μόνον ἐπίσταται.* 4, A.

1) *Σχόλια εἰς τὸν πρῶτον κ. τ. λ.* sic Jebbius, ex suone an ex Cod. nescio. Ex meo autem inserui *πρῶτον*, quod deesset in Jebb. edit., propter — *δεύτερον λόγον ὑπὲρ φ.*, quae leguntur pag. 79. — 2) *ὑστέρῳ δηλονότι* a reliquis sejunxi, *παρενθέσεως* vicem ea arbritatus egere. — 3) *πρὸ αὐτοῦ* ed. *παρὰ αὐτοῦ*. — 4) *παλαιοῦ* ed. *παλαίου*. — 5) Quae Schol. Mon. dixi, ea neque in Apogr., neque in bomb. descripserat Werferus, sed ex Cod. nro CCXLIX edidit Hardt. in Catal. Bibl. Mon. t. III, p. 85.

Digitized by Google

ib. *Καὶ τῆς τάξεως*] Schol. ed. *Ἤουν*[1] *καθ' ἣν τάξιν εἰσῆλθε τρίτος, εἰ τύχοι τοῦ πρὸ αὐτοῦ, ἢ τέταρτος, οὕτω καὶ τὴν τιμὴν δέχεσθαι.*

ib. *Ἢ κληροῦν γε ἂν*] Schol. ed. *Κατὰ κλήρους γὰρ εἰσήρχοντο οἱ ἀγωνισταί. Τοὺς δὲ τῶν ἀστειοτέρων*] Schol. ed. *Τοὺς λόγους*[2] *λέγει ἀστειότερα ἀγωνίσματα, ἤτοι σεμνότερα, ἐπειδὴ καὶ τὸ τῆς πολιτείας ὄνομα σεμνόν· εὕρηται δὲ καὶ ἀλλαχοῦ τὸ ἀστεῖον ἀντὶ τοῦ ἡδύ.*

4, C. *Γυμνικοῖς ἀγῶσι*] Schol. ed. *Γυμνικοὺς ἀγῶνας*[3] *λέγει τὰ ἐπὶ τῆς εἰρήνης ἀμιλλητήρια, ἄρματα· ἐνοπλοί τινες ἀγωνίζωνται τῆς ἀλλήλων ἰσχύος πειρώμενοι, ἢ ἀκοντίζωνται, ἢ τοξεύωσι. Ταῦτα γὰρ πάντα καὶ ὅσα τοιαῦτα, γυμνάσιά ἐστι τῶν ἐν πολέμοις.*

ib. *Οὗ τὴν ἀπογραφὴν*] Id. *Ἀπεγράφοντο γὰρ παρὰ τῶν τοὺς ἀγῶνας καθισταμένων οἱ ἀγωνισόμενοι.*

5, A. *Τὸ τοῦ λόγου καλὸν κ. τ. λ.*] Id. *Τὸ τοῦ λόγου ἐνταῦθα ἀντὶ τοῦ εὐταξίας*[4] *νοεῖ· ἐπειδὴ πᾶν τὸ εὔτακτον κατὰ λόγον γίνεται, τὸ δὲ ἄτακτον ἀλόγως.*

ib. *Οὕτως ἀργῶς*] Id. *Ἀργῶς εἶπε*[5] *διὰ τοὺς μὴ ἀντιλέγοντας, ἀδίκως δὲ διὰ τοὺς ἐπιτιμῶντας τοῖς ἀντιλέγουσιν.*

5, B. *Τοὺς περὶ τῶν ἀεὶ κ. τ. λ.*] Id. *Τοῦτο λέγει, ἢ ὅτι κατὰ τὴν αὐτῆς φύσιν ἡ ῥητορικὴ ἀεὶ ἐστὶ, κἂν ἐπιλείπῃ τῷ χρόνῳ, ἢ ὅτι τῇ φύσει τῶν ἀνθρώπων ἀεὶ σύμφυτός ἐστιν.*

ib. *Ἐπὶ τοῖς πρώτοις*] Id. *Ἐπὶ τῷ πρότερον εἰρηκότι καὶ ἕτερον μὴ δέχεσθαι.*

1) *Ἤουν κ. τ. λ.* Quid? si legere malis: *ἤγουν καθ' ἣν τάξιν εἰσῆλθε τρίτος, εἰ τύχοιεν δύο πρὸ αὐτοῦ, ἢ τετ. κ. τ. λ.* — 2) *Τοὺς λόγους λέγει κ. τ. λ.* hanc nostri observationem dilaudare non sprevit Abresch. religiosissimus alioquin Atticissimi recondito-ris aestimator, quem vid. lectt. Aristaen. p. 119. — 3) *Γυμνικοὺς ἀγῶνας κ. τ. λ.* non sine subrustico quodam pudore ad verbum reddidi, quae vel librariorum vel Jebbii vel operarum incuria disturbaverat. Auctor sim tibi ut legas: — *τὰ ἐπὶ τῆς εἰρήνης ἀμιλλητήρια, ἄρματα, ἢ ἐὰν ἔνοπλοί τινες κ. τ. λ.* seu malis: *ἀμιλλητήρια ἄρματα, ἢ ἐὰν κ. τ. λ.* — 4) Photius ita: *ἤτοι τῆς εὐταξίας· ἐπειδὴ πᾶν κ. τ. λ.* nulla varietate. — 5) *Ἀργῶς εἶπε κ. τ. λ.* eadem servavit Phot., sola vocula *δὲ* post *ἀδίκως* omissa.

Digitized by Google

Ἀλλ' ὥσπερ ὅρους κ. τ. λ.] Id. Τὸ μὲν ὅρους ἐπὶ τῶν χωρίων εἴρηται, τὸ δὲ στήλας ἐπὶ τῶν συνθηκῶν· ἐν αὐταῖς γὰρ αἱ συνθῆκαι [3] ἐγράφοντο. ib.

Καὶ μηδ' ἐκεῖνο ὁρᾶν] Id. Πρὸς τὸ προσθεῖναι συνάπτεται· τὸ δὲ ὥσπερ ἂν εἴ τις διὰ μέσου [4]. 6, A.

Ἴασος γὰρ ἂν οὕτω γε γενοίμην] Cod. bomb. Ἴασος κρητὴς δίκαιος Ἀργεῖος καὶ οὗτοι πάντες Ἀργεῖοι. Εἷς δὲ ἕκαστος τούτων ἀρχαιότερος ἑτέρου, Κρίσιος Ἰάσου, Κρότωπος Ἰάσου, Φορωνεὺς Κροτώπου. Schol. ed. Ἴασος κρητής τε καὶ δήμαρχος· οὕτως τε καὶ [5] οἱ λοιποὶ, οὕς φησιν, Ἀργεῖοι. 6, B.

Διὰ τὴν τοῦ παρὰ τοῦ βαίκους ὄνομα] Sch. ed. Παφλαγόνες καὶ Φρύγες ἤρισαν [1] πρὸς ἀλλήλους περὶ ἀρχαιότητος· θέλοντες οὖν τοῦτο μαθεῖν, ἐνέβαλον οἷῳ τινι παιδίον ἄρτι τεχθὲν, καὶ γυναῖκα μετ' αὐτοῦ γαλακτοτροφοῦσαν, ἄλαλον. Τὸ δὲ αὐξηθὲν βαὶκ πρῶτον ἐφώνησεν, ὅπερ ἐστὶ παρὰ Φρυξὶν ὁ ἄρτος. Ἔγνωσαν οὖν, ὅτι οἱ Φρύγες εἰσὶν ἀρχαιότεροι· ἐξελληνίζων δὲ ὁ Ἀριστείδης τὸ βαὶκ [2] βαῖκος λέγει. In marg. Schell. Ἐαίκης τῶν Φρυγῶν. ib.

Ὁμήρου δὲ καὶ Ἡσιόδου] Id. Αἵ γενεταὶ αὗται πρὸς τὸ πολλοστόν εἰσι, τὸ δὲ συμπροϊόντος ἴσου ἀντὶ τοῦ ὁμοίως συμπροέλθοι αὐτοῖς, ὅπερ εἰς τοὺς πρὸ αὐτῶν συμβαίνει. Λέγει τὸ τῶν μετ' αὐτοὺς εἶναι κρείττους διὰ τὸν ἀρχαιότητος λόγον· τὸ δὲ ἀεὶ εἶπεν, ἐπειδὴ ἀεὶ τοῦτο οὕτω χωρήσει. 6, C.

Πολλοστὸν] Phot. Ὕστερον. 6, D.

Λόγος] In marg. Schell. Λόγος, ἐξέτασις. 7, B.

Ἀλλὰ παρ' αὐτῶν κ. τ. λ.] Sch. ed. Ἐξ οὗ τιμῶμεν τὸν Πλάτωνα ἢ Δημοσθένην, λέγω τοῦ διενεγκεῖν [6] ἐν τοῖς λόγοις, ἐκ τούτου γινώσκειν εἰκὸς, ποσὴν διαφορὰν ib.

1) συνθῆκαι, Jebb. σύνθηκαι. — 2) διὰ μέσου, ed. διαμέσου, sed illud semper usurpatur, hoc nunquam. — 3) οὕτως δὲ καὶ οἱ λ., f. οὗτος (sc. Ἴασος) δὲ καὶ κ. τ. λ. — 4) ἤρισαν, ed. ἤριεσαν. — 5) βαὶκ, Jebb. βαῖκ. Male, nam et in Herod. II, 2 est βεκὸς et in sch. ad Apoll. Rhod. IV, 262 est βέκ. — 6) αὗται, ed. αὖται. — 7) τοῦ διενεγκεῖν, f. τὸ διεν.

Digitized by Google

ἔχει τὸ προσίεσθαι καὶ προσέχειν τισὶ πρὸς τὸ μὴ προσίεσθαι, μηδὲ προσέχειν· ἔστι δὲ ἡ διαφορὰ τὸ τοὺς μὲν καλοὺς προσίεσθαι, κἂν τε τῶν ἔπειτα ὦσι, τοὺς δὲ μὴ καλοὺς ἀποστρέφεσθαι, κἂν ἀρχαιότατοι πάντων ὦσιν· ὥστε τούτου οὕτως ἔχοντος φαίνεται μὴ τὸν χρόνον ἰσχύειν, ἀλλὰ τὴν ποιότητα τοῦ προσώπου. In marg. Schell. [2]Ἀλλὰ πιστεύειν ὑπάρχειν εἰδέναι τὸ προσίεσθαι καὶ προσέχειν, ὡς ἔοικεν ὑπόσον διαφέρει τὰ τῶν νῦν τῶν παλαιῶν παρ' αὐτῶν ὧν τιμῶμεν, τουτέστι, δεῖ ἕκαστον ἐκ τῆς οἰκείας καὶ νῦν ὑποστάσεως, οὐκ ἐκ τῆς τῶν παλαιῶν κρίνεσθαι.

8, B. Γοργίου καὶ Σωκρ.] Sch. ed. Ἀπόδειξιν τῆς ὑπὲρ τοῦ [1] δέοντος φιλονεικίας ἐπήνεγκε τὴ συνουσίαν τῶν προσωπων· ὥσπερ τοῦτο λέγων, ὅτι διὰ τοῦτο ἐποιήσω [2] τὴν συνουσίαν, ἵνα χωρήσῃς κατὰ ῥητορικῆς. Πῶς γὰρ οἰόντε Γοργίᾳ τῶν δικαίων [3] τυγχεῖν, Σωκράτους ἀγωνιζαμένου παρὰ Πλάτωνι κριτῇ;

9, B. Ἀλλὰ δυεῖν (Jebb. δυοῖν) θάτερον] Schol. ed. Τὸ μὲν πρῶτον δοκεῖν ἀντὶ τοῦ νομίζειν, τὸ δὲ δεύτερον ἀντὶ τοῦ φαίνεσθαι νόει. Λέγει δὲ [4] ἀντὶ τοῦ ἢ νομίζειν, αὐτὴν οὐ τέχνην, ὡς Πλάτων εἰρήκει, ἢ ὑπὲρ αὐτῆς ἀπολογήσασθαι, μὴ τέχνην φαίνεσθαι αὐτὴν ποιῆσαι, ἵν' ἔχῃ τὸ οὐ γάρ ἐστι τὴν συναφὴν πρὸς τὸ ταύτη τῶν παρ' αὐτῆς μὴ μεταδοῦναι, καὶ γὰρ τὸ ἀλλὰ δυοῖν (sic Schol.) θάτερον διὰ μέσου· ἢ ἄμφω τὸ δοκεῖν αὐτὴν φαίνεσθαι [5] νόει, ἵνα λέγῃ, [6] ὅτι ἐν οἷς οὐχ ὑπὲρ αὐτῆς ἀπολογησόμεθα, ποιήσομεν αὐτὴν καὶ μὴ [7] τέχνην εἶναι φαίνεσθαι κατὰ τὸν λόγον τοῦ Πλάτωνος, ἢ ποιήσομεν αὐτὸν τοιοῦτον [8] εἶναι φαίνεσθαι, οἷον μέλλει εἰπεῖν ἐκ τῆς κατασκευῆς. Λέγει

1) τῆς ὑπερ τοῦ δ., ed. περὶ τ. δ. — 2) ἐποιήσω, ed. ἐπιάσω. 3) δικαίων, ed. δικαιῶν. — 4) Λέγει δὲ, Jebb. λέγειν δὲ, quod non crediderim pendere a νόει — 5) ἢ ἄμφω τὸ δοκεῖν αὐτὴν φ., sic Jebb. Mallem equidem ἢ ἄμφω τὼ δοκεῖν ἀντὶ τοῦ φαίνεσθαι νόει, bis etenim in textu occurrit δοκεῖν et quam saepe ἀντὶ τοῦ, ἀντὶ τῆς abierit in αὐτοῦ, αὐτῆς, non est quod dicam, vid. Ind. ad. Greg. Cor. s. v. — 6) ἵνα λέγῃ, Jebb. λέγει. — 7) αὐτὴν καὶ μὴ, Jebb. αὐτὴν, καὶ μὴ. — 8) αὐτὸν τοιοῦτον κ. τ. λ. lege ex Aristid. αὐτὴν.

Digitized by Google

γὰρ, ὡς οὐ μόνα [1] βεβαιωθήσεται ἡ κατ' αὐτῆς δόξα τοῦ Πλάτωνος, ἀλλ' ἄμφω ταῦτα συμβήσεται, τό τε μὴ τυχεῖν τῆς προσηκούσης αὐτῇ ἀπολογίας, καὶ τὸ ἀπολέσαι τὴν ἰσχὺν αὐτῆς· φανήσεται γὰρ οὐ δύνασθαι τὰ δίκαια σώζειν.

Ἐν τοῦτο] In marg. Schell. γρ. ἐν τούτῳ. ib.

Οἷς ἐνταῦθα κ. τ. λ.] Id. Τὸ ἐνταῦθα καὶ περὶ τούτων. ἔν ἐστιν. 10, C.

Ὥσπερ οὖν οἱ κ. τ. λ.] Id., Οἱ γὰρ παρανόμων ψηφισμάτων κατηγορῆσαι βουλόμενοι πρῶτον ἀναγινώσκουσι ταῦτα, εἶτα παραβάλλοντες τοῖς νόμοις ἐντεῦθεν δεικνύουσι τὸ παράνομον.

Ἐπιτήδευμα] In marg. Schell. Ἐπιτήδευμα [2] ἐπιτηδεύσεως διαφέρει, φησὶν ὁ Πλούταρχος· αὕτη μὲν γὰρ ἐνεργείαν δηλοῖ, ἐκεῖνο δὲ οἷον οὐσίαν. Οὕτως οὖν καὶ ἀκοὴ καὶ ἄκουσις, καὶ ψόφος καὶ ψόφησις, τὰ μὲν πρῶτα οἷον οὐσίαν, τὰ δὲ [3] ἐνεργείαν σημαίνει. [4] ib.

Πολιτικῆς μορίου εἴδωλον] In marg. Schell. Τί [5] ἐστι ῥητορικὴ; πολιτικῆς ἐπιτηδεύσεως δηλονότι, ἤτοι κολακείας μορίου εἴδωλον. 12, A.

Ἐστι ταῦτα] Sic, in marg. Schell. Οὕτως ἔλεγε. 13, A.

Τῆς δὲ πολιτικῆς κ. τ. λ.] In marg. Schell. leguntur quae jam pridem edidit D. Ruhnken. inter schol. plat. p. 106 ad Πολιτικὴν] Ἡ πολιτικὴ κ. τ. λ. pro τὰ δὲ ἀντιδ. legitur in Schell. τὰ δ' ἀντιδ. 15, C.

Ἡ δικαιοσύνη] Cf. Ruhnk. l. l. Δικαιοσύνην, ἀλλ' οὐ δικαστικὴν κ. τ. λ. paullo infra pro edito: αὐτὴν τὴν τῆς ψυχῆς κ. τ. λ. 14, C.

1) οὐ μόνα, f. οὐ μόνον. — 2) Ἐπιτήδευμα κ. τ. λ. Ex scholiis platonicis haec irrepsisse, dudum est ex quo suspicatus est Creuzerus, V. D., quem vide ad Plot. p. 469, ubi nonnihil hujus scholii praegustandum proposuit. — 3) τὰ δὲ, in Cod. juncta leg. τάδε. — 4) σημαίνει Cod. σημαίνειν. — 5) Τί ἐστι ῥητ. κ. τ. λ. vide Creuz. ad Plot. p. 470. ubi et quae statim sequuntur schemata, eundemque doctiss. virum in Meletem. I 117. ὁ κομμ. πρὸς γυμν. sunt ipsius Platonis verba, paullo uberius in marginis ora adposita, quam in Aristide factum fuerat. Lector hujus cod. Schell. Platonis exemplar scholiis instructum ad manum habuisse videtur, unde cum textu simul scholia transscriberet, nobis non invitis.

Digitized by Google

14, C. *Ἔχει λόγον*] Supra in Schell. *Δύναμιν.*

ib. *Προσφέρει*] Ibid. *Δείξει.*

ib. *Ὥστε κ. τ. λ.*] Ibid. *Συμβαίνει.*

14, D. *Ὥσπερ λέγω*] Sic, supra *ὅπερ εἶπον.*

ib. *Κολάκεια*] Supra a rec. m. *ὡς κολάκεια.*

15, B. *Ὅτι ὁ κομμωτικὴ κ. τ. λ.*] In infima Cod. Schell. ora haec adjecta sunt:

Περιδειγμάτων (sic) εἴδωλα { *σώματα· γυμναστικὴ, ἰατρικὴ, κομμωτικὴ, ὀψοποιϊκὴ* / *ψυχὴ· νομοθετικὴ, δικαστικὴ, σοφιστικὴ, ῥητορικὴ* } *παραδειγμάτων εἴδωλα*

Ὁ κομμωτικὴ πρὸς γυμναστικὴν, τοῦτο ὀψοποιϊκὴ πρὸς ἰατρικὴν· μᾶλλον δὲ ὧδε· ὅτι ὁ κομμωτικὴ πρὸς γυμναστικὴν, τοῦτο σοφιστικὴ πρὸς νομοθετικὴν. Καὶ ἔτι (sic Cod. Schell.) *ὁ ὀψοποιϊκὴ πρὸς ἰατρικὴν, τοῦτο ῥητορικὴ πρὸς δικαιοσύνην.*

ib. *Προεληλυθὼς*] Supra in Schell. *Κινηθείς.*

15, C. *Ἁπλῶς ὥσπερ*] In marg. Schell. *Ὡς ἀδείας οὔσης, ὥσπερ εἰ προεμόχθησεν εἴς τι καὶ τοὺς ἀκούοντας κατὰ χάριν ἤτει συντίθεσθαι τοῖς λεγομένοις ἄτικρυς.*

16, A. *Μάλιστα*] Supra in Schell. *Πρῶτον.* At in marg. *Μάλιστα μὲν γὰρ ἤτοι πρῶτον μὲν γὰρ δύο* (sic cod.) *οὐσῶν δυνάμεων ἢ ἐπιστημῶν, τοῖς μὲν προϊσταμένοις τῆς ἑτέρας οὐ φήσομεν καὶ ἐνδόσομεν ὑπεῖναι ἀγροικότερον, οὐδὲν ἐὰν ὁτιοῦν βλασφημῶσιν εἰς τοὺς ἑτέρους· τοῖς δὲ ἄλλοις δεῖ οὐδὲ διὰ τῶν αὐτῶν δώσομεν ἀμύνασθαι.* (sic cod. Schell.)

ib. *Οὐ δήπου*] Supra in Schell. *Οὐ πάντως.*

ib. *Δυεῖν* (Jebb. *δυοῖν*)] Ibid. *Οὐσῶν δηλονότι.*

16, B. *Φορτικοῦ*] Ibid. *Ἐπιθετικοῦ.*

17, A. *Μεταλαμβάνοι* (Sch. — *ει*) Ibid. *Μετατίθησι.*

18, C. *Καί τινα*] In marg. Schell. *Τινὰ τῶν Πυθίων* (sic).

19, B. *Ἔπερ ἔν γε τοῦτ' ἐπ κ. τ. λ.*] Ibid. *Εἰ σώας τὰς φρένας ἔχουσι.*

Digitized by Google

Ἀπὸ Λυκούργου] Cod. bomb. Οὗτος γάρ, ὅτε τοὺς νόμους ἔμελλε θήσειν, εἰς Δελφοὺς ἐλθὼν πρῶτον ἐχρήσατο· πρὸ αὐτοῦ δὲ ἄλλοι, ὧν εἷς καὶ Βάκις. 19, C.

Χάριν τοῦ λόγου] Supra in Schell. χρησμοῦ. ib.

Οὔτ' ἔτι (Schell. οὔτε εἴτι)] In marg. Schell. Οὔτε ἐάν τι καὶ λέγωσι, γινώσκουσιν ἀφ' ὧν πεπαίδευνται καὶ προῖσασιν. 20, A.

Καὶ πάντων] Supra in Schell. περί. 21, C.

Ὅσοι περὶ χρηστήρια] Ibid. additur. Ἀναστρέφονται. ib.

Τὸν λόγον] In marg. Schell. Τὴν τέχνην. ib.

Βάκις] Ibid. Βάκις χρησμολόγος· τρεῖς δὲ λέγονται Βάκιδες, Ἀττικός, Κορίνθιος, Ἀρκάς[1] μέμνηται καὶ Ἀριστοφάνης. 22, A.

Τὴν τῶν Μουσῶν] Sch. ed. Ἐπειδὴ τὰ μὲν ἀπὸ τέχνης ἄριστα μετὰ τὴν τοῦ λόγου ἀκολουθίαν· ἡ δὲ τῶν Μουσῶν δωρεά, οὐκ ἐκ τέχνης. 22, D.

Ἐν μέτρῳ μὲν εἰπεῖν] In marg. Photii: Μουσοληπτούμενον. 23, A.

Τὸν ῥήτορα[2] μιμήσεται] Sch. ed. Ἐπειδὴ τῆς ποιήσεως εἴ τις ἀφέλοι τὸ μέτρον, ὁμοία τοῖς τῶν ῥητόρων ἔσται. ib.

Λέγωμεν Σίβυλλάν τε κ. τ. λ.] Sch. ed. Δέκα Σίβυλλαι γεγόνασιν, ὥς φασιν. 24, C.

Τῇ καλλίστῃ τέχνῃ] Id. Τέχνην καλεῖ, οὐχ ὅτι ἐστὶ τέχνη, τὰ γὰρ ἀπὸ θεῶν ὑπερ τέχνην, ἀλλ' ὅτι ἐνεργεῖται ἀεὶ παρὰ τοῦ αὐτὴν ἔχοντος, ὥσπερ ἡ τέχνη. 25, A.

Ὅσῳ δὴ οὖν] Sch. ed. Τὸ μὲν γὰρ ἐξ ἐπιπνοίας θείας, οἰωνιστικὴ δὲ ἐξ ἀνθρωπίνης διανοίας. 25, C.

Ἃ δὲ παλαιῶν] Id. Παλαιῶν μνημάτων λέγει 25, D.

1) Ἀρκάς cod. Ἀργίας, sed illud recepi ex schol. ad Aristoph. Av. 963 et ad Pac. 1071, unde sua excerpserunt Suidas et Eudocia. Pro Bacide Corinthio ibi legitur Boeotius, de quo pluribus egisse tradunt Theopompum libro nono Philippicarum. Adde Aelian. V. H. XII, 35. In schol. ad Aristoph. Eq. 123 pro Corinthio memoratur Λοκρός, cf. Wesseling. ad Herodot. VIIII, 20. — 2) τὸν ῥήτορα μιμήσεται, quae scholiasta addidit, hausit ex ipso Platone, cf. Gorg. p. 191. ed. Heind.

Digitized by Google

τῶν προγονικῶν· πολλάκις γὰρ καὶ τοὺς ἐκγόνους δίκην ἔπραττον οἱ θεοὶ τῶν ἁμαρτημάτων, ὡς Ἀγαμέμνονα ὑπὲρ Ταντάλου, τὰ τῶν θεῶν ἐξειπόντος μυστήρια, καὶ Κροῖσον ὑπὲρ Γύγου.

27, B. Σαφῶς γὰρ οὕτωσὶ] Id. Ἐπειδὴ οἱ διάλογοι ὡς ἐπὶ πλεῖστον κατὰ ἀλληγορίαν νοοῦνται ἀσαφεῖς ὄντες, διὰ τοῦτο ἐνταῦθα πάνυ σαφῶς αὐτὸν (sc. Platonem) εἰρηκέναι. Penes Photium: Ὅτι Πλάτων αὐτὴν οὐ τέχνην νομίζει· καίτοι αὐτὸς Πλάτων διορίζεται τὸ μὴ δεῖν ἐπὶ τῶν μεγίστων τέχνην ζητεῖν.

27, C. Τελετὰς δὲ κ. τ. λ.] Schol. ed. Ῥέας, Δήμητρος, Περσεφόνης, Διονύσου.

28, C. Πρὸς ἐκεῖνῳ (Jebb. ἐκεῖνο, secus atque Codd. et schol.) Sch. ed. Ὃ προεῖπεν, ὅτι δεῖ τῷ μὴ ἐρῶντι τοῦ ἐρῶντος μᾶλλον χαρίζεσθαι.

ib. Τοίνυν πρὸς ἐκεῖνο δείξας] Id. Ὃ εἶπεν, ὡς ἄλογος ἐμπειρία ἡ ῥητορικὴ καὶ διὰ τοῦτο φαύλη.

28, C. Λόγοι παρὰ θεῶν κ. τ. λ.] Id. Εἰκότως εἶπε λόγοι καὶ οὐ ῥητορικὴ, κλέπτων διὰ τοῦ γεννικωτάτου τοὺς ἀκροατάς.

29, A. Τὸν δὲ Τήλεφον κ. τ. λ.] Id. Τὶς τῶν ποιητῶν[1] εἰσάγει τὸν Τήλεφον ἐλέγχοντα τὸν Ὀδυσσέα ἐκ τῶν αὐτοῦ λόγων, οὓς πρὸς Τήλεφον εἶπε. Παρεικάζων οὖν Ἀριστείδης ἑαυτὸν τῷ Τηλέφῳ φησὶ, ὡς οὐκ οἴῃ (in Aristide οἴει) καὶ ἡμῶν[2] τι ὧν εἶπον ἐλέγξαι σε. Ἐπεὶ δὲ ὁ Τήλεφος παλαιότερος ἦν Πλάτωνος, διὰ τοῦτο λέγει τὸ εἰ δ' ἄρα μηδὲν ἐκεῖνος προτιμᾷ. In marg Schell. ad Τήλεφον legitur τὸν βάρβαρον.

29, B. Εἰ δ' οὐδὲν] Sch. ed. Τεχνικῶς εἶπε τίς, ἵνα μὴ δυσχερὴς δόξῃ αὐτὸς τοιαῦτα περὶ Πλάτωνος λέγων. In marg. Photii haec: ἀξιόπιστον ἦν ἄν.

29, C. Ταῦτα ἢ κεῖνα] Schol. ed. Ταῦτα λέγει, ἃ δεικνυ-

1) Τίς τῶν π., Euripides, vid. Valken. diatriba pag. 211. — 2) ἡμῶν τι, Jebb. ἡμ. δὲ.

Digitized by Google

σιν, ὡς τὸ ὑπὲρ τέχνην[1] κρεῖττον, ἐκεῖνα δὲ, ἃ κατὰ ῥητορικῆς[2] εἶπεν, ὡς οὐκ ἐστὶ τέχνη.

Σεμνός ἐστι] Id. Ἀξιόπιστος καὶ αἰδέσιμος. ib.

Ἐκ τοῦ αὐτοῦ γυμνασίου] Id. Πλάτων ἐν Γοργίᾳ τῷ διαλόγῳ Πῶλον καὶ Γοργίαν εἰσάγων ὑπὲρ ῥητορικῆς μαχουμένους, φησὶν, ἐκ τοῦ αὐτοῦ γυμνασίου[3] ἥκειν αὐτοὺς ἢ τὰ αὐτὰ ἀμφοτέρους ἀγωνίζεσθαι. Ἐπεὶ οὖν καὶ Αἰσχίνης ὁ Λυσανίου, Σωκρατικὸς ὢν ὥσπερ Πλάτων, ταὐτὰ Πλάτωνι φθέγγεται, ὅτι τὸ ὑπὲρ τέχνην κρεῖττον, εἰκότως ἐκ τοῦ αὐτοῦ γυμνασίου λέγει. Ἔστι δὲ τὸ ἐγὼ δὲ ἀπὸ τοῦ Σωκράτους,[4] εἰσάγει γὰρ καὶ οὗτος τὸν διδάσκαλον ἐν τοῖς διαλόγοις, ὥσπερ ὁ Πλάτων. 29, C.

Πολλῷ καὶ ἀνθρωπινώτερα (Jebb. in textu ἀνθρωπινότερα, sed illud Codd., in schol. ἀνθρωπινωτέρῳ)] Sch. ed. Ἐπειδὴ ἐν τῷ Γοργίᾳ διέβαλε τὴν ῥητορικὴν, ὡς οὐ τέχνην καὶ ὀψοποιϊκὴ παρείκασεν αὐτὴν, ἐν δὲ τῷ Φαίδρῳ ἐδείξεν, ὡς θεῖον[5] τὸ ὑπὲρ τέχνην, φησὶν Ἀριστείδης, ὡς ἃ τοῦ Αἰσχύνου νῦν προβαλλόμεθα,[6] δεικνύουσι τὰ ἐν τῷ Φαίδρῳ εἰρημένα Πλάτωνι εἶναι κρείττω τῶν ἐν τῷ Γοργίᾳ ὑπ' αὐτοῦ τούτου λεχθέντων. Τὸ δὲ ἀνθρωπινώτερα καὶ, πρὸς θεῶν, εἶναι καλλίονα ἀντὶ τοῦ καὶ ἡμερώτερα[7] — τοιοῦτον γὰρ τὸ τῶν ἀνθρώπων γένος — καὶ θειότερα δὲ εἰπεῖν ἃ συνεσκεύασεν· ὧν εἶπε πρὸς τὴν νοουμένην ἐκ τοῦ καλλίονα γενικήν· ἕνεκα δὲ τοῦ παραδόξου 31, A.

1) ὑπὲρ τέχνην, ed. τέχνη. — 2) κατὰ ῥητορικῆς, ed. ῥητορικὴν. — 3) Ἐκ τοῦ αὐτοῦ γυμν., quae de Platonis loco garrit schol., mere nugae sunt, cf. Gorg. §. 106. neque Heindorfius, quando haec uberius explicita voluit, nostro gratias habiturus fuisse videtur, cf. pag. 161. — 4) ἀπὸ τοῦ Σωκρ., i. e. ex persona Socratis, cf. Schol. ed., t. II, p. 200, ubi paucis interjectis additur ἀναλαβὼν τὸ πρόσωπον τοῦ Δ., t. II, p 329., Apogr. Mon. ad II, 236 ed. Jebb., schol. ad Aristoph. Acharn. 376. plenius ἀπὸ τοῦ προσώπου τοῦ ποιητοῦ, schol. in aram Dosiadae in Valk. Diatr. p. 130. Ἀπὸ subinde usurpari pro *secundam*, cf. Heind. ad Gorg. p. 103. — 5) θεῖον τὸ ὑπὲρ τ., f. τὸ θεῖον ὑπὲρ τ. — 6) προβαλλέμεθα f. προὐβαλλόμεθα, certe in Aristide est ἃ μικρῷ πρόσθεν παρεσχόμεθα. — 7) ἀντὶ τοῦ καὶ ἡμ., interpunctione haec sananda existimavi. In illis autem καὶ θειότερα δὲ κ. τ. λ. mendum inesse, quis est, quin viderit? Quid? si mecum legas: καὶ θειότερα δὴ (vel καὶ θειότερά τε) εἰπεῖν ἢ ἃ συν.

Digitized by Google

λέγει, ἐπειδὴ παράδοξον ἦν λέγειν, ὡς ὁμοία ἐστὶν ἡ ὀψοποιϊκὴ τῇ ῥητορικῇ.

31, B. *Τοὺς γὰρ πρὸς ἡμῶν κ. τ. λ.*] Id. *Τὸ πρὸς ἐνταῦθα*[1] *ἄργον, ὅπερ ἐστὶ καὶ τὸ·*

. . . . οὐ πρὸς ἰατροῦ σοφοῦ[2].

καὶ ἄλλα· τοὺς γὰρ αὐτοῦ λόγους πρὸς ἡμῶν[3] *ἀντὶ τοῦ τοὺς ἡμῖν συντελοῦντας.*

32, B. *Τετελεσμένοι*] Id. *Ἢ οἱ*[4] *τελεσθέντες τῇ μανίᾳ, ἢ οἱ μανέντες, ἥτις ἐστὶν ἐπώνυμος τῶν πραγμάτων ἤτοι τῆς μαντικῆς· ἀπὸ γὰρ τῆς μανίας ἡ μαντικὴ τοὔνομα εἶχεν*[5]*, ὡς ἔφη Πλάτων, μανικὴ γὰρ οὖσα μαντικὴ γέγονε, προστιθέντος τοῦ ταῦ. Λέγει δὲ, ὥσπερ οἱ θεοῦ μάντεις ἐκ θεῶν τὸ μαντεύεσθαι ἔχουσιν, οὕτω αὐτὸς δι' Ἀσκληπιοῦ ἔχω τὸ μάθημα, λέγω τὸ, ὡς ἄρα πολλοὶ ἐκ θείας μοίρας ἐσώθησαν, σωθεὶς ὑπ' αὐτοῦ ἐν μεγάλοις κινδύνοις, εἰπὼν δὲ ὑφ' ἑνός, ἐπειδὴ οὐχ ὑπὸ πολλῶν ἐσώθη θεῶν, ἀλλ' ὑπὸ μονου Ἀσκληπιοῦ· διὰ τοῦτο ἐπήγαγε τὸ ἐκ τοῦ θεοῦ· ἢ τὸ ἐκ τοῦ θεοῦ πρὸς τὸ παραμυθίαις καὶ συμβουλαῖς σύναπτε, ἵνα τὴν τοῦ Ἀσκληπιοῦ βοήθειαν κοινὴν ἁπάντων θεῶν φαίνηται*[6] *λογιζόμενος.* In marg. Schell. *οἱ ἐκ θείας ἐπιπνοίας μεμυημένοι*[7] *τὰ μαντικά.* Super *ἐπωνύμοις* est *θεοῖς.*

ib. *Τὸ μάθημα*] Supra in Schell. *Τὴν πεῖραν, γνῶσιν ἐκείνων τῶν πραγμάτων.*

ib. *Οὐχ ὅπως*] Ibid. *Οὐ μόνον.* Penes Phot. *Τῶν ἐπιλήπτων γὰρ ἦν Ἀριστείδης.*

ib. *Παραμυθίαις*] Ibid. *Διὰ παραμυθιῶν καὶ συμβουλῶν ἐκ τῆς συνεργείας τοῦ Ἀσκληπιοῦ,* quae sunt interpretandis his: *ἐκ τοῦ θ.*

32, B. *Ζῶν* (Jebb. ζῶ, sc. *διαφεύγων ζῶ*, cum Cod. Schell.

1) *ἐνταῦθα*, ed. *ἐκταῦθα*. — 2) *οὐ πρὸς ἰ. σ.*, Soph. Aj. 576. ibi Brunck, qui secus atque noster schol. ibi judicat. — 3) *λόγους πρὸς ἡμῶν*, inserui *πρὸς*, cum in edito esset *λόγους ἡμῶν*. — 4) *Ἢ δὲ τελ.*, f. *ἢ οἱ τελεσθέντες, ἢ οἱ μανέντες τῇ μανίᾳ, ἥτις κ. τ. λ.* — 5) *εἶχεν*, ed. *εἶχεν*, unde retento accentu eodem possis jure fingere *ἴσχεν*. — 6) *φαίνηται* ed. *φαίνεται*. — 7) *μεμυημένοι*, Cod. *μεμυημένα*.

Digitized by Google

et Phot., Coisl. Baroce. I, 7 *διαφεύγω ζῶν*) *παρὰ πᾶν*] Sch. ed. *Ἢ παρ' ὃ ἔδει προσδοκᾶν ἐξ ὧν κατειχόμην κακῶν.* In marg. Schell. *Ζῶν ἐκ τῶν εἰς δύναμιν ἡκόντων παρὰ πᾶσαν εἰκασίαν.*

Μὲν ἡμῶν] Supra in Schell. *ἀφ'.* ib.

Διήπουθεν] In Phot. post hanc vocem legimus *τῶν* 32, C. *ἰωμένων*, quae ex scholio forte irrepserunt. Ita paullo post infra: *τᾶν θείων ἔργων*, cum alii *θείων* negligant.

Ἀρχὴ] Supra in Schell. *Αἰτία.* ib.

Ὑπεριδεῖν] Ibid. *Καταφρονεῖν.* ib.

Ἐγὼ μὲν οἶμαι τοῦτο] Ibid. *Τὸ δεύτερον.* 53 B.

Τετελεσμένου] In marg. Schell. *Τοῦ οἷον ἀνακει-* 33, D. *μένου.*

Παθόντι] Ibid. *Ἤτοι μανέντι ἢ ἐνθέῳ γενομένῳ.* 34, A.

Διὰ τὸ ἐρᾶν βελτίω] Sch. ed. *Ἐπειδὴ, ὡς Πλάτων* 34, C. *εἰρήκει, ἐπ' ὠφελείᾳ τῷ ἐρῶντι καὶ τῷ ἐρωμένῳ ὁ ἔρως ἐκ θεῶν ἐπιπέμπεται.*

Τιμήσας φαίνεται] In marg. Schell. *Ὥστ' ἐντεῦθεν* 36, C. *σοφώτατον τῇ Πυθίᾳ μαρτυρηθῆναι.....*

Ἀλλὰ μὴν εἰ μηδετέρως] Sch. ed. *Τὸ ἀλλὰ μὴν* 36, C. *πρὸς τὸ ἅμα σύναπτε οὕτω, ἀλλὰ μὴν ἅμα ὁ Σωκράτης μαρτυρεῖ τῷ λόγῳ, ὅτι τὸ ὑπερ τέχνην καλὸν, ἐξ ἀμφοτέρων· ἐξ ὧν ἠρτεῖτο μὴ εἰδέναι τι, οὐ γὰρ οἶδε κατὰ τέχνην,* [a] *ἀλλ' ἐξ ὧν ἔλεγε σημαίνειν αὐτῷ τὸ δαιμόνιον περὶ οὗ βούλεται· οὐ γὰρ ἐχρῆτο τέχνῃ ὁ πρὸς* [3] *θεὸν καταφεύγων· εἰ καὶ δοίημεν, μηδὲ* [4] *καθ' ἕτερον τρόπον αὐτὸν εἶναι σοφὸν εἴτε ἐψεύδετο λέγων, ὡς οὐδὲν ἐπίσταιτο, οὐ σοφοῦ γὰρ τὸ ψεύδεσθαι, εἴτε ἠλήθευεν, εἴπερ αἰσχρὸν ἦν κατὰ τὸν σὸν λογόν· τὸ μὴ τέχνῃ χρῆσθαι.* In marg. Schell. *Ἀλλὰ μὴν ἔτι εἰ μήτε ψευδόμενος, μήτε ἀληθεύων μηδετέρως ἦν σοφώτατος, δῆλον* ... exciderunt nonnulla — *δι'*

1) *ἀλλὰ μὴν ἅμα ὁ Σ. κ. τ. λ.*, ea sic constituerim, *ἀλλὰ μὴν ἅμα ὁ Σ. μαρτυρεῖ κ. τ. λ. ἀμφοτέρων, ἐξ ὧν ἠρτ. κ. τ. λ. ἄμ'* (pro *ἀλλ'*) *ἐξ ὧν ἔλεγε κ. τ. λ.* — 2) *κατὰ τέχνην*, ed. *κ. τέκνην.* — 3) *ὁ πρὸς θεὸν*, ed. *ὁ πρ. θεῶν.* — 4) *μηδὲ καθ' ἕτ.*, ed *μὴ δὲ.* — 5) *ψευδόμενος*, cod. *ψευδομένου.*

Digitized by Google

ἀμφοτέρων μαρτυρεῖ τῷ λόγῳ Σωκράτης καὶ μὴν ψευδόμενος [5] περὶ τῆς τέχνης ὅτι αἰσχρόν· καὶ μὴ ἀληθεύων, ὅτι κέχρηται τῇ τέχνῃ, αἰσχρὸν γὰρ καὶ τοῦτό γε.

Σοφώτατον εἶναι] Penes Phot. *Τὸ μὲν παρὸν ἐπιχείρημα διλήμματόν ἐστι, νοῦν δὲ τοιοῦτον δηλοῖ· εἶπε, φησίν, ὁ Σωκράτης μηδὲν ἐπίστασθαι· εἰ μὲν ἀληθῆ δῶμεν λέγειν αὐτόν, οὐ σοφὸς Σωκράτης, εἰ δὲ ψευδῆ [1], πάλιν οὐ σοφός· καὶ κατ' ἀμφότερα σοφὸς, καὶ δι' ὧν ἀρνεῖταί τι εἰδέναι — οὐ γὰρ ἤδει τέχνῃ, καὶ ἀλήθευσε λέγων μὴ εἰδέναι — καὶ δι' ὧν ὁμολογεῖ τὸ δαιμόνιον αὐτῷ λέγειν. Διπλῆ δὲ μαρτυρεῖ Σωκράτης· μιᾷ μὲν, ὅτι τὸ δαιμόνιον αὐτῷ προλέγειν φάσκει, δευτέρᾳ δὲ, ὅτι λέγει μὴ εἰδέναι· καὶ ἑκατέραν μαρτυρίαν ἐπισφραγίζεται ὁ Ἀπόλλων, σοφώτατον αὐτὸν εἶναι λέγων, τοὐτ' ἔστι, μήτε ψευδόμενον, μήτ' αἰσχρὸν εἶναι τὸ μὴ εἰδέναι τέχνῃ.*

57, A. *Τοῦ Σωκράτους*] Supra in Schell. *Καὶ ψευδομένου καὶ ἀληθεύοντος.*

ib. *Παρ' αὐτοῦ*] Ibid. *ὁ Ἀπόλλων.*

37, D. *Εἴπερ*] Ibid. *Ἐπειδή.*

ib. *Κοινῇ μὲν οὖν*] Schol. ed. *Αὐτοὶ γὰρ ἐξ ἐπιπνοίας Μουσῶν καὶ οὐχ ὑπὸ τέχνης ποιηταὶ γενόμενοι ἔργῳ ματυροῦσι, ὡς ἄρα τὸ ὑπὲρ τέχνην κρεῖττον τῆς τέχνης.*

39, C. *Ἡ τέχνη*] Sch. ed. *Τὸ ἡ τέχνη πρὸς τὸ κομψὸν σύναπτε.*

40, A. *Ἀπὸ*] Supra in Schellersh. *περὶ*, et 41 C super *ὅδ'* est *ὁ Μέντωρ.*

42, C. *Τροφὴ*] Supra in Schell. *Ἀνατροφὴ* et paullo post super *προστιθεὶς — ἀνατιθείς.*

42, A. *Καὶ λόγους ἀποχρῶντας*] Schol. ed. *Ἐπειδὴ Πλάτων ἔλεγεν, ὅτι οἱ ἐκ φύσεως λέγοντες, εἰ καὶ ἄριστα λέγουσιν, ἀλλ' ὅμως οὐ πρὸς τὴν χρείαν οὐδὲ ὥστε πείθειν, οὗτός φησιν, ὅτι Τηλέμαχος πρῶτον δημηγορῶν συνεμέτρει τῇ χρείᾳ τοὺς λόγους καὶ πείθει δημηγορῶν.*

1) *εἰ δὲ ψευδῆ, πάλιν οὐ σοφὸς*, in ed. Hoesch. *εἰ (δὲ) ψευδῆ πάλιν, οὐ σοφός.*

Digitized by Google

Ἐῶ λέγειν] Sch. ed. *Μή πως τις αὐτῷ ἀντιπέσῃ, ὅτι πρῶτος ἐν τοῖς μνηστῆρσιν ἐδημηγόρησεν, ὁμολογουμένως φησιν, ὅτι Ἀθηνᾶς ἦν τὰ ῥήματα.* ib.

Τῆς Ἀθηνᾶς] Supra in Schell. *διὰ*, cujus generis quid desiderasse sibi visus est Canterus. ib.

Ὥστε ὅγε Νέστωρ] Sch. ed. *Ἐπειδὴ πολλάκις*[1] *πείθουσί τινες, οὐ κατὰ τέχνην, διὰ τὴν*[2] *τῶν ἀκροωμένων εὐήθειαν, ἔφη, ὡς οὐ τὸν τυχόντα ἔπειθεν, ἀλλὰ τὸν Νέστορα.* 42, C.

Ἦ τοι] Supra in Schell. *σο* ib.

Εοικότες] Ibid. *ὅμοιοί εἰσιν.* ib.

Ὥσπερ ἐν ἀριθμῶν ὅροις] Sch. ed. *Ἀριθμητικόν ἐστι ῥήμα, οἱ γὰρ ἀριθμητικοὶ*[3] *τὸ πρῶτον κατὰ τὴν τάξιν ἄκρον λέγουσι, καὶ πάλιν τὸ τρίτον ἄκρον ἔσχατον, τὸ δὲ μέσον, ὅ ἐστι τὸ δεύτερον, ὅρον καλοῦσιν, ἐπειδὴ τοσοῦτον ὑπερέχει κατὰ τὴν τάξιν τοῦ τρίτου, ὅσον ἀπολείπεται τοῦ*[4] *πρώτου. Οὕτω, φησὶ, καὶ ὁ πεισθεὶς λείπεται μὲν τῇ φύσει τοῦ εὐρόντος, ὑπερέχει δὲ τοῦ μήτε εὑρόντος, μήτε νοήσαντος.* 44, B.

Ὅσῳ βελτίῳ] Id. *Ἐπειδὴ οὐ πάντως ὁ νοῶν καὶ φράσαι δύναται, ἀλλ' ὁ φράσαι δυνάμενος οὗτος καὶ νοεῖ καὶ ἄριστα· ὁ δὲ μὴ δυνάμενος φράσαι ἀπόβλητός ἐστιν, ὡς καὶ ὁ*[5] *Θουκυδίδης φησὶν, ὅτι ὁ συνιεὶς καὶ μὴ φράσας ἐν ἴσῳ ἐστὶ, εἰ καὶ μὴ ἐνεθυμήθη· διὰ τοῦτο οὗτος ἀντὶ τοῦ εἰπεῖν εὑρόντος, εἰπόντος εἶπε, εἰς τὸ ὁμολογούμενον, καλὸν*[6] *εἶναι τὸν λόγον, λέγω τὸ εἰπεῖν, κατὰ γὰρ τὸν Ἰσοκράτην εἴδωλόν ἐστι τῆς ψυχῆς ὁ λόγος· φησὶ γὰρ, καὶ λόγος*[7] *νόμιμος καὶ δίκαιος ψυχῆς ἀγαθῆς καὶ πιστῆς εἴδωλόν ἐστιν.* ib.

Πολλῷ (Cod. Schell. πολλοῦ] In marg. Schell. *Πολ-* 45, C.

1) *πολλάκις*, ed. *πωλλάκις* — 2) *διὰ τὴν τῶν ἀκρ.*, fortasse *ἀλλὰ* ante *διὰ*, vel *δὲ* post hanc voc. — 3) *ἀριθμητικοὶ*, ed. *ἀριθμητοὶ*, satis vulgari errore, de quo frequentes sunt nuperrimi editores Greg. Cor. ibid. *τὸ πρῶτον*, ed. *τὸ πρῶτον* — 4) *τοῦ πρώτου*, ed. *τ. πρότου* — 5) *ὁ Θουκυδίδης*, II, 60, ubi sic: *ὅτε γὰρ γνοῦς καὶ μὴ σαφῶς διδάξας, ἐν ἴσῳ, εἰ καὶ μὴ ἐνεθ.*, quae lectio a nostro item defenditur contra nonnullos, qui maluerunt, *καὶ εἰ μὴ ἐνεθ.* — 6) *καλὸν εἶναι*; ed. *καλὸν εἶεν* — 7) *καὶ λόγος κ. τ. λ.* in ipso Isocr. p. 34. ed. L. est: *καὶ λόγος ἀληθὴς καὶ νομ. κ. τ. λ.*

Digitized by Google

λοῦ τινος δεῖ εἰς τὸ εἶναι τὴν τέχνην προσθήκην τοῦ νικῶντος, ἤτοι ἡ τέχνη πολλοῦ λείπεται τῆς νικώσης ψήφου τὴν προθήκην λέγειν.

46, B. *Ὅπου γὰρ ἄν τις κ. τ. λ.*] Sch. ed. *Τὸ, ὅπου ἐνταῦθα ἀντὶ τοῦ ποῦ, ὥσπερ καὶ τὸ ὅπως ἀντὶ τοῦ πῶς.* In marg. Schell. *Οὐκ ἔστι γὰρ οὐδὲ βουλομένῳ τρόπος ὅπως, οὐδὲ τόπος ὅπου καὶ τὸν μαθόντα θείη ἄν τις κρίτιστον.*

ib. *Πρῶτον τὸ μαθεῖν*] Schell. in marg. *Ἀλλὰ δεύτερον, δηλαδὴ τῆς φύσεως.*

47, B. *Τὰ πλείστου, φασὶν*] Sch. ed. *Διὰ τὸ εἶναι παροιμίαν τὸ τὰ πλείστου ἄξια χρῆται, διὰ τοῦτο τὸ φασὶν εἶπεν.* In marg. Schell. γρ. *καὶ χρῆσθαι.*

47, C. *Ἀνθρώπους*] In cod. Schell. *Οὐρανούς*, sed in m. γρ. *ἀνθρώπους.*

ib. *ὥσπερ σιωπὴν κηρύξας*] Sch. ed. *Ἡ ἐπειδὴ μετὰ τὴν κήρυκος φωνὴν σιωπὴ γίγνεται, ἵνα εὐτάκτως ἀκούωσι τὰ λεγόμενα παρ' οὐτινοσοῦν, διὰ τοῦτο λέγει ὥσπερ σιωπὴν κηρύξας, ἢ τῷ καθαρῶς ἀποφαίνεσθαι· τὸ διάφορον τῆς φύσεως πρὸς τὴν τέχνην, ὥσπερ σιγῖν παρασκευάζει τοὺς ἀντιλέγειν ἐθέλοντας καὶ ἀπαλλάττει ἡμᾶς πραγμάτων.*

ib. *Ὄρνιθα* (sic. Mscr., vulg. et Pind. Olymp. II, 154 seq. *ὄρνιχα*, Schell. *ὄρνιχα*)] Supra in Schell. *Ἀετόν.* In marg. *Ἤτοι πρὸς τὸν ἔχοντα δηλονότι τὴν ἰσχὺν ἀπὸ φύσεως.*

49, C. *Μήτ' αὐτὸν*] Sic cod., sed in marg. γρ. *μήτ' αὖ τὸν —*

50, B. *Οὐκοῦν διακόνου κ. τ. λ.*] Schol. ed. *Ἐπειδὴ Πλάτων διακόνους τοὺς ῥήτορας ἔλεγεν, ἀντιπεριΐστησιν αὐτῷ τὴν κατηγορίαν, ὅτι διακόνῳ ἔοικεν ἡ τέχνη.*

51, A. *Κληρονομήσαντος*] Id. *Πολλάκις γὰρ ὁ οὗτος ἔλαβε, διαφθείρει ἀσωτίᾳ φύσεως.*

53, A. *Οὐχ ὡς ἡ κ. τ. λ.*] Cod. Schell. *Οὐχ ἡ τέχνη φύσεως ἔργον*, in marg. γρ. *οὐχ ὡς κ. τ. λ.*

55, A. *Ἰσχρὸν ἄρχοντος*] Schol. ed. *Κατ' ἔμφω τοὺς θεοὺς ἄρχοντας δείκνυσιν, καὶ ὅτι τὸ εὑρεῖν ἀρχῆς προστακτικόν, ἐπειδὴ τὸ εὑρεθὲν, οὔπω πρότερον ὄν, ἀρχὴν ἔλαβεν εὑ-

Digitized by Google

ρεθὲν, ἅπαντα δὲ οἱ θεοὶ εὗρον, καὶ ὅτι ὁ ἄρχων οὐχ ἑτερός ἐστιν ἀλλ' ἢ ὁ προστάττειν ἄξιος. Τοιοῦτον δὲ οἱ θεοὶ, ὥστε ἐξ ἀμφοτέρων τὸ τῆς ἀρχῆς ὄνομα ἔχουσιν.

Ὁ Λακεδαιμόνιος ποιητὴς] In marg. Schell. ὁ Ἀλκμὰν 55, B.
(fragm. ed. F. Ursin. p. 69 et Schol. p. 302.)

Τοὺς σκυτοτόμους κ. τ. λ.] Cod. Schell. τοὺς σκυτεῖς 56, C.
καὶ σκυτοδέψας (atque sic in Coisl. et Bar. 7. legi testatur Jebbius) καὶ σκυτοτόμους καὶ νευρορράφους (rec. m. νευροῤῥάφους), sed in marg. γρ. οἷον τοὺς σκυτοδέψας καὶ σκυτοτόμους. Illa καὶ γναφεῖς in textu omissa ad marginem adpinguntur.

Τὸ τοῦ Εὐριπίδου] Sch. ed. Ἔν τινι δράματι Εὐρι- ib.
πίδης οὕτως ἔφη,

Σοῦ τάδ', οὐκ ἐμοῦ [1] κλύεις.

προσπαίζων οὖν ὁ Πλάτων εἰς τὸ τοῦ Εὐριπίδου ἰαμβεῖον, ἔφη, οὐκ ἐμὸς [2] ὁ μῦθος.

Ἢ ταῦτα ἴσα ἀντ' ἴσων;] Schol. ed. Οὕτως [3] γὰρ ἐκεῖ 57, C.
λέγει, οὐ ταῦτα ἴσα ἀντ' ἴσων.

Ὅπερ δὲ ἐν τοῖς ἄνω] Id. χρησάμενος ἄνω τῇ αὐτῇ 58, A.
παραστάσει, ὡς εἰ καὶ οὐ τέχνη ἡ ῥητορικὴ οὐδὲν βλάβυς αὐτῇ, εἰ μὴ καὶ μᾶλλον ἔπαινος, καὶ τοῦτο μάλιστα ἀποδείξας, νῦν κέχρηται τῇ ἐνστάσει, δεικνὺς ταύτην ὅτι καὶ τέχνη.

Ἡ ῥητορικὴ σώζει λόγον] Schol. ed. Ἢ οὐκ ἄλογός 59, B.
ἐστιν, ὡς σὺ φῂς, ἀλλὰ πλείστῳ χρῆται τῷ λόγῳ.

Οὐκοῦν ὁπόταν] Cod. Schell. οὐκοῦν ὅταν, in m. γρ. 60, A.
ὁπόταν.

Διὰ βιβλίου] In marg. Schell. Δι' ἀναγνώσεως βιβλίου. 61, B.

Εἰς ἔλεγχον κατὰ Πίνδαρον] Schol. ed. Καλοῦντι 62, B,
γὰρ ῥητορικὴν πολιτικῆς μορίου εἴδωλον ἀνυπόστατόν σοι τοῦτο εἰς τὸν αὐτῆς ἔλεγχον γίνεται, οὐδὲν γάρ ἐστι τὸ

1) Σοῦ τάδ' οὐκ ἐμοῦ κλ., haec ex Hippol. vrs. 352. ibiq. Valk., quem vid. ad Eurip. reliqq. p. 46. Sed οὐκ ἐμὸς ὁ μ. desumta sunt ex Euripidis Melanippa (non Menalippa, cf. Wolf. ad Symp. p. 15. et Munck. ad Ant. Liber. VIII, p. 68) — 2) ἐμὸς ὁ μ., ed. ἐμοὶ ὁ μ. — 3) Οὕτως, f. οἵτος, sc. Ἰδομενεύς, cf.

Digitized by Google

τῆς σκιᾶς ὄναρ. Λέγει δὲ τοῦτο ὁ Πίνδαρος [1] περὶ τοῦ ἀνθρώπου,

Σκιᾶς ὄναρ ἄνθρωποι. [2]

63, B. Ἰσχύσας] Cod. Schell. ἠχύιας (sic), in m. γρ. ἰσχύσας.

ib. Ἔχει φύσεως] Schol. ed. Φύσεως μὲν, ὡς ἐπὶ ὅλου τοῦ σώματος, οἱονεὶ [3] θερμός, ψυχρός, ὑγρός, συκρίσεως δὲ, ἐπὶ μορίου, οἱονεὶ τὸ μὲν ἧπαρ θερμότερος, τὸν δὲ ἐγκέφαλον ψυχρότερος, ἢ τὸν μὲν ἐγκέφαλον θερμότερος, τὴν δὲ καρδίαν ψυχρότερος.

64, A. Οὔτε ἐν ταῖς νόσοις] Sch. ed. ὃ βούλεται εἰπεῖν, τοιοῦτόν ἐστι, ὅτι ἐπειδὴ διάφοροί εἰσιν αἱ τῶν σωμάτων λυσιτελήσεις, νοσούντων τε καὶ ὑγιαινόντων, οὕτω καὶ αἱ ὑγεῖαι [4] καὶ νόσοι διάφοροι.

67, B. Καὶ ὅτι γε δι' αὐτὸ] In marg. Schell. Καὶ ὅτι γε δι' αὐτὸ τοῦτο τὸ τῆς μαντείας δηλονότι καὶ τὸ τέλος ἤτοι τὴν ἀρχὴν αὐτὸς ὁ Ζεὺς ἔχει, ὁ αὐτὸς ποιητὴς μαρτυρεῖ. Τὸ γὰρ δεύτερον ἐστὶν αὐτῷ τῷ ποιητῇ δηλονότι, τουτέστι κατὰ τὴν μαντείαν, τὸ τῆς ἀρχῆς αὐτῷ τέθειται, ἢ τὸ ἀνάπαλιν (cod. ἀνάπ' λ.)

68, A. Ποιητῶν ἤδη τις] Schol. ed. Ὁ Μένανδρος [5] εἶπε γάρ,

Μάντις δ' ἄριστος, ὅστις εἰκάζει καλῶς.

68, C. Ἀλλὰ τὰ μὲν κ. τ. λ.] Id. Τὰ μὲν, πρὸς τὸ μέγεθος, οἷον ὅτε [6] ἐστὶν ὁ Ἥλιος ἀπέχων πολὺ τοῦ Ἑρμοῦ, εἰκάζει τὴν ἀμουσίαν τοῦ τεχθέντος· τὰ δὲ, πρὸς τὰ νόμιμα, οἷον εἰ Αἰγύπτιος ἢ Σκύθης πρὸς τὰ τούτων ἁρμόζεται νόμιμα· τὰ δὲ, πρὸς τὰ ὅμοια, οἷον ἐκ τοῦ αὐτοῦ ἐπιτηδεύματος, οἷον ἐστι ζῴδιον (sic) τὸ ποιοῦν στρατηγὸν Ἑλλήνων, καὶ ἕτερον τὸ ποιοῦν στρατηγὸν βαρβάρων· τὰ

Hom. Iliad. XIII, 446. — 1) ὁ *Πίνδαρος*, Pyth. VIII, 136. — 1) *ἄνθρωποι*, ed. *ἄνθρωπε*. — 3) *οἱονεὶ*, ed. bis *οἷον εἰ* — 4) *ὑγεῖαι*, cf. Piers. ad Moer. p. 360. — 5) ὁ *Μένανδρος*, immo Euripides, notante Cantero, cf. Plut. de def. orac. t. I, p. 768, ed. St., quem locum laudat Ernest. Cl. Cic. p. 878, cum vel Cicero ad Att. VII, 13. versiculi caput usurpasset. Euripidem imitatus est Menander, p. 80, ed Cl. p. 78 ed. Menk. Ed. ὁ *Μένανδρος εἶπε, Γὰρ μάντις ἄριστος κ. τ. κ.* — 6) *ὅτε*, ed. *ὅτε*.

Digitized by Google

δὲ ἔστιν ἃ καὶ πλεῖστον ἀλλήλων κεχωρισμένα, οἷον ναυτικὴ γεωργίας πολὺ διήνεγκε· τὰ οὖν διεστηκότα ἐξ εἰκασίας προλέγει.

Ἀπόνοιαν] Schell. in marg. ad ἐπίνοιαν, quod legitur in Cod.: στοχασαμένην, δευτέραν ἔννοιαν. 69, A.

Ἀλλὰ μὴν οὕτω γε] Schol. ed. Ἐπειδὴ ἡ ῥητορικὴ ἡ αὐτή ἐστι τῇ στρατηγικῇ καὶ τὰ τῆς στρατηγικῆς διὰ τῶν ὑπηρετῶν πράττει, ἡ δὲ στρατηγικὴ μόριον τῆς πολιτικῆς· ὑπηρέτας δὲ λέγει νῦν τοὺς στρατευομένους· καὶ γὰρ ὁ ῥήτωρ παρελθὼν λέγει, ὡς δεῖ πολεμεῖν· τοῦτο οὖν οἱ στρατιῶται πληροῦσιν. Penes Phot.: κατ' εἰρώνειαν τὸ οὕτω· οἷον εἰ μὴ κατὰ τὸ ἐοικέναι τῇ στρατηγικῇ καὶ λοιπὸν ἐξ ἐπικρίσεως, ὅτι οὔτε κατὰ τοῦτο δύναιτ' ἂν εἴδωλον εἶναι. 69, C.

Δι' ἓν τοῦτο κ. τ. λ.] Schol. ed. Τὸ διὰ κατὰ συνεκδοχὴν εἰς τὸ μηδὲν λαμβάνει. 70, A.

Ἀλλ' ἐγώ, τοῦτ' εἰπέ μοι] Id. Ἐπειδὴ ἡ πασῶν ἐπιστημῶν ὑπερκειμένη φιλοσοφία κατὰ τὸν σὸν λόγον οὐ περὶ τῶν θείων διϊσχυρίζεται, ἀλλ' ἀφίης τῷ θεῷ τ' ἀκριβὲς, πῶς ἂν αὐτὸς πεισθείην, ὡς οὐκ ἔστιν ὁ Ζεὺς κρείττων τοῦ Σολέως σοφιστοῦ εἰς τὰς περὶ τῶν πραγμάτων εἰδήσεις; δείκνυσι δὲ διὰ τούτου, ὅτι ἐν πάσῃ μέν ἐστι τέχνῃ τό εἰκάζειν, ἡ δὲ ἀκριβὴς γνῶσις παρὰ θεοῖς, ὥστε οὐδὲ ἡ ῥητορικὴ φαῦλόν ἐστι, [1] ὡς εἰκάζουσα, ἐπειδὴ πασῶν ἐστι τὸ εἰκάζειν. 70, C.

Φάσκειν τὰ δοκοῦντα] Cod. Schell. haec ita exhibet in marg.: Τὸ φάσκειν οὖν συμβουλεύειν τοὺς ῥήτορας ταῦτα (leg. ταὐτὰ) τὰ δοκοῦντα τοῖς πλήθεσι καὶ τούτου μόνου στοχάζεσθαι, εἰ καὶ μὴ ἐξελέγξειε παῖς. Pergitur in marg. Ὅτι ὅλως ἐστι σόφισμα, ἀλλ' ἐξέλεγξεν ἐκεῖνος, ὅστις εὐφρονεῖ. 70, D.

Εἰ τοῦ βίου] Supra in Schell. Πολιτείας. 72, A.

Τὰ τῶν ἀκροωμένων] Ibid. Οἱ ἀκροαταί. 72, C.

Τῶν ἴσων τεύξεσθαι] Supra in Sch. Ψήφων. 73, A.

1) φαῦλόν ἐστι, quod licet sexcentis exemplis defendi posse nemo nesciat, tamen ex Schol. more in φαῦλός ἐστι mutandum crediderim.

Digitized by Google

74, C. *Εἰ τοῦτ' ἐστιν*] In marg. Sch. *Ἡ σύνταξις οὕτως· εἰ τοῦτο, ἤτοι ἡ παῤῥησία τοῦ Δημοσθένους καὶ τὸ τηροῦντα τὰς φύσεις καὶ διαθέσεις τῶν ἀκροωμένων προσομιλεῖν αὐτοῖς δηλονότι καὶ προσφέρεσθαι, στοχάζεσθαί ἐστι· τουτέστι εἰ τὴν παῤῥησίαν στοχασμὸν καλεῖς, ὦ Πλάτων, καλῶς λέγεις, καὶ ὑμεῖς ὑπαίτιοι, ἐροῦσιν οἱ ῥήτορες. εἰ δὲ λέγεις τοὺς ῥήτορας ποιεῖν, ὡς δούλους τὰ κελευόμενα, ἀντιστρόφως λαμβάνεις καὶ ποιεῖς τὸν μὲν δῆμον* [1] *δεσπότην, τοὺς δὲ ῥήτορας θεράποντας· καὶ ψέγων αὐτὸν δοκεῖς ψέγειν τοὺς ῥήτορας.*

76, A. *Ἀλλ' εἴ τί που*] Ibid. *Ἀλλ' ὅταν* [2] *τι δῶς τοῖς χορευταῖς χαρίζεσθαι, ἀλλ' οὐ καὶ τὸ μηδένα παῦσαι συμπᾶσα τηρῶν τῷ χαρίζεσθαι, χαρίζεται, οὔτε μὴν ὑποβάλλουσί γε.*

79, B. *Ὅτι τοίνυν αὐτὸς Πλάτων*] Sch. ed. *Ἐντεῦθεν ἄρχεται δεικνύειν μαχόμενον ἑαυτῷ Πλάτωνα καὶ ἐναντία λέγοντα.*

79, D. *Εἰ δὲ πιστευτικῆς* (sic supra *πιστικῆς*, quae lectio item in marg. Bar. 7.)] Schol. ed. *Πιστευτικὴ μὲν ἡ λέγουσα πιθανὰ μόνον· διδασκαλικὴ δὲ, ἡ μετὰ τῶν ἔργων καὶ τῶν ἀποδείξεων προϊοῦσα.* In marg. Sch. *Τῆς δυναμένης πείθειν.*

ib. *Τὸ νῦν εἶναι*] In m. Sch. *Τὸ εἶναι παρέλκεται·* (alibi *παρέλκει.*)

80, D. *Ὡς τοίνυν οὐτ' ἄλογον*] Sch. ed. *Μέχρι τούτου τὰς αἰτίας ἀπελύσατο, τὰς παρὰ τοῦ Πλάτωνος, καὶ ἀπέδειξεν ὅτι οὐ κακὴ ἡ ῥητορική· οὐ μέντοι ἠρκέσθη ταύτῃ μόνῃ τῇ ἀποδείξει, οὐ γὰρ εἴ τι οὐ κακὸν* [3] *τοῦτο καὶ αἱρετόν. Ἐντεῦθεν δὲ μεταβαίνει ἐπὶ τὸ δεῖξαι, ὅτι καὶ χρήσιμος ἡ τέχνη, καὶ ἀναγκαία καὶ ἧς ἐκτὸς οὐδεμία συνέστηκε καὶ ἐστι Δημοσθενικὴ ἡ οἰκονομία· καὶ γὰρ ἐκεῖνος κριτόμενος ὡς προδότης,* [4] *ἐν τῷ περὶ στεφάνου πρῶτον ἀπελύσατο τὰς αἰτίας, εἶτα ἐνεκωμίασε* [5] *ἑαυτόν.*

1) *Τὸν μὲν δῆμον*, Cod. *μήν* — 2) *Ἀλλ' ὅταν κ. τ. λ.* Aristidem et Codicis vestigia si sequeris, ita leges: *Ἀλλ' ὅταν τι δῶ* (sc. *ὁ κορυφαῖος*) *τ. χ. χ., ἀλλὰ καὶ τὸ μηδὲν ἀπᾶσαι συμπαρατηρῶν κ. τ. λ.* — 3) *οὐ κακὸν, τοῦτο καὶ*, Jebb. virgulam post *τοῦτο* posuit — 4) *ὡς προδότης, ἐν τῷ κ. τ. λ.*, Jebb. *ὡς προδότης; ἐν τῷ περὶ στεφάνου, πρῶτον κ. τ. λ.* — 5) *ἐνεκωμίαζε*, Jebb. *ἐνεκώμιος*, quod non crediderim esse pro *ἐνεκόμιος*.

Digitized by Google

Εὕρημα ποιεῖσθαι] Sch. ed. *Ἐντεῦθεν δείκνυσιν, ὅτι φανερόν ἐστιν ἅπασιν, ὡς ἄρα ἡ ῥητορικὴ τέχνη, καὶ οὐ τοιοῦτον, ὡς πολλοῦ τινος ἄξιον νομίζειν τοὺς ῥήτορας, ἐάν τις ἀποδείξῃ αὐτὴν* [1] *τέχνην.* Supra in Sch. *κέρδος ἡγεῖσθαι.* 81, A.

Ἐνέχυρον] Supra in Sch. *Ἀσφάλεια.* 81, D.

1) *Ἀθηναίων ὑπ.*, ed. *Ἀθηναίους ὑπ.* — 2) *Θουκυδίδ.* II, 49. Werferus hoc schol. retulerat ad *τοὺς Ἕλληνας*. Male. Ex Thucyd. l. l., qui *καὶ εἴ τις ἐκ τῶν μεγίστων περιγένοιτο, τῶν γε ἀκρωτηρίων ἀντίληψις ἐπεσήμαινε. Κατέσκηπτε γὰρ καὶ ἐς τὰ αἰδοῖα, καὶ ἐς ἄκρας χεῖρας, καὶ πόδας· καὶ πολλοὶ στερισκόμενοι τούτων διέφευγον· εἰσὶ δ' οἳ καὶ τῶν ὀφθαλμῶν*, inde igitur in nostro malim legi *τὴν νόσον τὰ ἄκρα τ. δ. ὑποτ.* Apogr. *εἶπε γὰρ ὁ Θ. τὴν νόσον· τὰ κ. τ. λ.*

Digitized by Google

Αἰγίναν πολιορκούντων, ἐπέθεντο Μεγάροις Κορίνθιοι, ἵνα ἐντεῦθεν τὴν ἐν Αἰγίνῃ πολιορκίαν λύσωσι, καὶ ἡττηθέντες ὑπὸ τῶν Ἀθηναίων γερόντων ἀπῆλθον εἰς Κόρινθον· κακιζόμενοι δὲ ὑπὸ τῶν οἰκείων πολιτῶν, ἦλθεν ἐν ᾧ ἡττήθησαν τόπῳ· καὶ ἐπειρῶντο τρόπαιον ἀνιστῖν, ἄλλα καὶ αὖθις ὑπ' Ἀθηναίων κατεπολεμήθησαν.

235, B. *Ὥστε τὴν καδμείαν*[1] (Werf. *καδμίαν* ex Ap.) *νίκην*] Apogr. Mon. *Αὕτη ἡ παροιμία εἰώθει*[2] *λέγεσθαι ἐπὶ τῶν βλάβῃ*[3] *τῇ ἑαυτῶν νικησάντων· ἐλέχθη*[4] *δὲ ἀπὸ τοιαύτης ἱστορίας· Θηβαῖοι νικήσαντες τοὺς Ἀργείους, Πολυνείκου στρατεύσαντος κατὰ τοῦ ἀδελφοῦ Ἐτεοκλέους,*[5] *εἴασαν ἄταφα τὰ σώματα*[6] *ἑπτὰ ἐπὶ Θήβας κληθέντων καὶ παρώξυναν καθ' ἑαυτῶν τοὺς Ἀθηναίους· διεξελθόντες*[7] *ἐνίκησαν Θηβαίους, καὶ οὐ παρέδοσαν εἰς ταφὴν τὰ σώματα.*[8] *Ἢ ἐπειδήπερ Οἰδίπους τὴν Σφίγγα ἐνίκησεν, ἐλέχθη*[9] *ἡ καδμεία νίκη· εἰ μὴ γὰρ ἐκεῖνος*[10] *ἐνίκησεν, οὐκ ἂν οὐδὲ τῇ ἑαυτοῦ μητρὶ συνεγένετο, οὐδὲ τὰ λοιπὰ πάντα ὑφίστατο. Ἢ ὅτι οἱ Ἐπίγονοι, οἱ περὶ Διομήδην, τιμωροῦντες τοῖς πατράσιν τοῖς ἑαυτῶν τοῖς ἐν Θήβαις ἀνῃρημένοις ἐπιστρατεύσαντες*[11] *τὰς Θήβας κατέστρεψαν, ὡς φησιν ὁ ποιητής·*

Ἡμεῖς καὶ Θήβης ἔδος εἴλομεν.

Τὴν ἱστορίαν δὲ λέγει οὗτος, ἣν εἶπεν Θουκυδίδης[12] *ἐν τῇ ἀ ἤπου παρὰ τῶν Ἀθηναίων γερόντων ἡττήθησαν δεύτερον.....*

1) *Ὥστε τὴν καδμείαν.* — Pro corruptissimo ad. dedi Apographum, varietatem nunc propositurus. — 2) *εἰωθε.* — 3) *ἐπὶ τῶν βλάβῃ.* — 4) *ἐλέγχθη δὲ ἀπὸ τούτων νικησάντων, ἐλέγχθη δὲ ἀπὸ τούτων οὗ· Θηβαῖοι.* — 5) *Ἐτεκλέως.* — 6) *σώματα τῶν ἐν τῷ πολέμῳ πεσόντων καὶ παρόξυναν.* — 7) *οἱ ἐξελθόντες.* — 8) *τὰ σώματα αὐτῶν.* — 9) *ἐλέγχθη.* — 10) *ἐκείνην* — Quae inde ab *ἢ ὅτι οἱ Ἐπίγονοι* ad finem usque in ed. desunt, legi in Leid. indicat Valkenarius, qui ad marg. Jebbii var. ex Cod. lect. enotavit easdem, quae in Ap. inveniuntur. — 11) *ἐπιστρατεύσαντες*, Apogr. *ἐπὶ στρ.* — 12) *Θουκυδ.* I, 105. Erasm. Ad. II, 8, p. 579. » Aristides Pericle: *ὥστε κ. τ. λ.* — Quo quidem loco scholion adscriptum praeter alia illud admonet ab iis, quae retuli, nonnihil diversum. Thebanos caesis Argivis, qui cum Polynice pugnarant, negasse sepulturam. Qua inhumanitate exasperati Athenienses, Thebanos oppugnatos devicerunt et consimilem ad modum vetuerunt, ne cadavera caesorum darentur sepulturae. « Quae itaque in Mon. adduntur, non legebantur in Cod. Erasmi.

Digitized by Google

C. Palat. *Αὕτη ἡ παροιμία λέγεται ἐπὶ τῶν ἐπὶ βλάβῃ αὐτῶν* (leg. *αὑτῶν*) *νικησάντων.*

Εἷς ὑπὲρ πάντων [1] *κῦβος*] Sch. ed. *Παροιμία ἐπὶ τῶν ἀποκινδυνευόντων· οἱ γὰρ κυβεύοντες ἕνα κῦβον ῥίπτουσιν ἢ εἰς ἥτταν, ἢ εἰς νίκην.* C. Palat. *Αὕτη ἡ παροιμία εἴρηται ἐπὶ τῶν οὐκ εἰδότων μὲν τὸ ἐκβησόμενον, ἐπὶ δὲ τῇ τύχῃ τολμώντων.* ib.

Πᾶσαν τὴν πολεμίαν] Apogr. Mon. *Καὶ γὰρ ὁ Θουκυδίδης* [2] *φησὶν, ὅτι ἀκούσαντες οἱ Λακεδαιμόνιοι τοὺς Ἀθηναίους τὴν περιοικίδα αὐτῶν πορθοῦντας ἀνεχώρησαν ἐπ' οἶκου.* 236, A.

Καὶ παρὰ] In m. Sch. *Καὶ παρὰ τὰ συμβεβηκότα.*

Ὦμην τὸν Μελέαγρον] Apogr. Mon. *Συγκριτικὸν* [3] *τὸ ἐπιχείρημα, ὅτι μᾶλλον ὁ Μελεάγρος δειλὸς ἦν ἢ Περικλῆς, θρασύτατος γὰρ ἀνὴρ ἦν ὁ Περικλῆς. Καλῶς δὲ συνέκρινε τὸν Περικλέα τῷ Μελεάγρῳ· καὶ γὰρ τὰ αὐτὰ πεπόνθασιν, ἥτε γὰρ μήτηρ Μελεάγρου ἡ Ἀλθαία* [4] *ἔδοξε λαμπάδα τίκτειν σὺν τῷ Μελεάγρῳ, καὶ ἡ μήτηρ Περικλέους ἡ Ἀργίστη* [5] *ἔδοξε λέοντα τίκτειν, ἡνίκα ἔμελλε τὸν Περικλέα τίκτειν. Ταῦτα δὲ καὶ Πλούταρχος* [6] *καὶ Σαβῖνος καὶ πάντες οἱ τὸν Περικλέους γράψαντες βίον λέγουσιν. Ἐναντίον δὲ λέγει διὰ τῆς ἀνδρείας, ἐναντία γαρ δειλία· ἀξιόπιστον δὲ παραφέρει μάρτυρα τὸν Ἀπόλλωνα.* 237, C.

Ὥσθ' ὅρα μὴ λέοντα ξυρεῖν] Apogr. Mon. *Κυρίως δὲ λέγεται ἐπὶ τῶν εἰς ἀδύνατα ἐπιχειρούντων καὶ ἐπικίνδυνα, τίς γὰρ ἐπιχειρεῖ λέοντα ξυρεῖν; κυρίως δὲ τέθεικε τὴν παροιμίαν, ἐπειδὴ καὶ ἡ Περικλέους μήτηρ ὄναρ ἑαυτὴν εἶδε* [7] *λέοντα τίκτουσαν.* Sch. ed. *Ἐπὶ τῶν ἀδυνάτων καὶ ἐπικινδύνων ἡ παροιμία αὕτη λέγεται.* Cod. Palat. *Παροιμία ἐπὶ τῶν ἀδυνάτοις καὶ ἐπικινδύνοις ἐπιχειρούντων·* 237, D.

1) *Εἷς ὑπὲρ π.*, sublineavit Valk. — 2) *Θουκυδίδης* II, 56. — 3) *Συγκριτικὸν κ. τ. λ.* editus sch. incipit *Καλῶς συνέκρινε τὸν Π.* 4) *πεπόνθασιν*, ita Valk. ex Leid. et Mon., Jebb. *ἐν ἑκατέροις συνέβη.* — 5) Jebb. *Ἀλθέα.* — 6) *ἡ Ἀργίστη*, sic ed. et Mscr., Plut. Pericl. III *Ἀγαρίστη.* — 7) *Ταῦτα δὲ καὶ Πλούταρχος κ. τ. λ.* Desunt in ed. *διὰ τῆς ἀνδρείας*, Ap. *ἄνδρας.* — 8) *εἶδε*, Ap. *οἶδε.*

Digitized by Google

ἡ τοῦ Περικλέους μήτηρ εἶδε [1] κατ' ὄναρ ἑαυτὴν λέοντα τίκτουσαν.

238, A. Οὐ Θρασύμαχον [2]] Sch. ed. Λέον εἰπεῖν, οὐ τὸν τυχόντα, Θρασύμαχον εἶπε, τοῦτον γάρ ἐν ταῖς πολιτείαις (p. 19. ed. Ast. cf. p. 363. seq.) εἰσάγει Πλάτων καταγελώμενον ὑπὸ Σωκράτους καὶ ἐλεγχόμενον.

ib. Ἀνδρειότεροι τοῦ δέοντος] Cod. Palat. Ἀνδρειότερος τοῦ δέοντος ἀντὶ τοῦ Θρασύς· αἱ γὰρ ὑπερβολαὶ καὶ ἐλλείψεις τῶν ἀρετῶν κακίζονται·

ib. Καὶ δειλίας, [3] εἰ δὲ βούλει] Apogr. Mon. Τὸ δειλίας [4] ἐξ Αἴαντος τοῦ μαστιγοφόρου Σοφοκλέους, τὸ δὲ σιωπῆς ἐκ Σιμωνίδου, [5] καὶ Αἰσχυλος ἐν Προμηθεῖ δεσμώτῃ· [6]

Πολλοῖς γάρ ἐστι κέρδος ἡ σιγὴ βροτοῖς.

Sch. ed. Τὸ δειλίας γέρας ἀκίνδυνον Σοφοκλῆς ἐν Αἴαντι τῷ μαστιγοφόρῳ λέγει· Αἴας γὰρ εἰ δειλὸς ἦν καὶ μὴ θρασὺς, εἴληφεν ἂν γέρας τῆς δειλίας τὸ μὴ κινδυνεῦσαι αὐτοχειρίᾳ. Τὸ δὲ σιωπῆς ἀκίνδυνον γέρας ἐκ Σιμωνίδου ἐστι τοῦ Κείου. [7] Καλῶς δὲ προσετέθη τὸ ἀκίνδυνον, τὰ γὰρ ἐν τοῖς ἀγῶσι διδόμενα γέρα κινδύνου μετέχει. Λέγει γοῦν, ὡς εἰ καὶ σὺ, ὦ Πλάτων, βούλει σόφος εἶναι καὶ τοὐναντίον, σίγα καὶ μὴ σκώπτε τὸν Περικλέα.

ib. Λῖνον λίνῳ] Sch. ed. Παροιμία ἐπὶ τῶν τοῖς προτέροις ἕτερα συνειρόντων, ὁποῖον καὶ τὸ τοῦ Πλάτωνος, οὐ μόνον δειλοὺς Ἀθηναίους, ἀλλὰ καὶ φιλαργύρους πεποιημένον [8] τὸν Περικλέα φήσαντος. [9]

1) εἶδε, Palat. οἶδε. — 2) Οὐ Θρασύμαχον, subl. Valk. — 3) καὶ δειλίας subl. Valk. — 4) τὸ δειλίας, cf. Soph. Aj. 75.

Οὐ σῖγ' ἀνέξει, μηδὲ δειλίαν ἀρεῖς;

Errat igitur Schol. ed. — 5) ἐκ Σιμωνίδου, cf. Gaisf. poet. min. t. I, p. 400. — 6) Αἰσχυλος, ἐν Προμηθεῖ δεσμώτῃ, frustra in Prometh. quaesivi, similia occurrunt Vrs. 328. cf. Sept. adv. Th. 437. Choeph. 580. — 7) Κείου, ed. Κίου, itemque in Aristide. ὥς τις τῶν Κίων κ. τ. λ., cf. Bast. comm. pal. p. 734. et adde Spanh. ad Ran. 1010. alludit ad ἀκ. γ. Sop. δ. ζητ. p. 337, 17. — 8) πεποιημένον, liceat per me, ego malim πεποιηκέναι. — 9) φήσαντος, ed. φήσαντας.

Digitized by Google

Διαδόσεις] Schol. ed. *Ἔθος ἦν*[1] *παρὰ Ἀθηναίοις* 238, D.
τῶν βασιλέων, τοῖς ἐνδόξοις διαδιδόναι χρήματα, ἅπερ ἐκα-
λεῖτο σπυρίδες[2] *παρὰ τοῦ διασπείρειν· τοῦτο δὲ φιλοτιμία*[3]
ἦν. Λέγει οὖν, ὅτι οὔτε μισθοὺς ἔταξα ἐμαυτὸν δέχεσθαι
παρὰ τῶν μαθητῶν, οὔτε εἰς[4] *διάδοσιν ἔλαθον δραμών.*

Μεγαλοπρεπείᾳ] Apogr. Mon. *Μεγαλοπρέπειά*[5] *ἐστιν,* 239, B.
ὡς Ἀριστοτέλης ὁρίζεται, ἀρετὴ ἐν δαπανήμασι μεγέθους
ποιητική· κυρίως δὲ εἶπε τὴν λέξιν, ἐπὶ γὰρ χρημάτων δεῖ
λέγειν μεγαλοπρέπειαν.

Ὁρῶ δὲ, ὅτι πολλὰ] Schol. ed. *Συγγνωμονικῶς λύει* ib.
τὴν ἀντίθεσιν.

Ἐφόλκια[6]] In marg. Schell. *Ἀναγκαῖά τινα φυσικῶς* ib.
ἐπισυρόμενα· ἀπὸ τῶν ὁλκάδων τῶν ἐπιφερομένων κελήτια
διὰ τὰς χρείας. Phot. *Τὰ ἁμαρτήματα λέγει.*

Καὶ γὰρ τὰ σώματα] Schol. ed. *Ὥσπερ, φησὶν, ὅλα* ib.
τὰ σώματα ἐκ τῶν αὐτῶν στοιχείων σύγκειται, καλεῖται δὲ
σῶμα καλὸν, οὐ διὰ τὸ ἀμοιρεῖν καί τινος κακοῦ, ἀλλὰ διὰ
τὸ ἐπιπλεῖον ἔχειν τὸ καλὸν, ὡσαύτως δὲ καὶ τὰ φαῦλα
σώματα· οὕτω καὶ αἱ πόλεις οὐκ ἀπαλλάττονται μὲν τῶν
ἀτόπων, τῷ δὲ πλείονα ἔχειν χρηστὰ προσαγορεύονται καλαὶ
καὶ τῷ πλείονα ἄτοπα φαῦλαι.

Ἅμα δὲ εὐλαβούμενοι] Schol. ed. *Ἄλλο χρῶμα*[7] *τὸν* 240, B.

1) *Ἔθος ἦν κ. τ. λ.*, ed. *ἦθος ἦν τοῖς ἀρχαίοις τῶν βασιλέων, τοῖς ἐνδ.*, Valk. ex Leid. *ἦθος ἦν παρὰ Ἀθηναίοις, τοῖς ἐνδ.* — 2) *σπυρίδες*, sic Leid., ed. *σποριδες* — 3) *φιλοτιμία*, cf. Vales. ad Harp. p. 41. — 4) *εἰς διάδοσιν ἔλαθον δραμών*, ed. *εἰς διαδ. ἔδραμον*, Valk. ex Leid. post *διάδοσιν* inseruit *ἔλαθον*. — 5) *Μεγαλοπρεπείᾳ* eubl. Valk. — 6) *Ἐφολκία*, vid. Creuz. ad Plotin. p. 252. — 7) *Ἄλλο χρῶμα κ. τ. λ.*, edita religiose repetii. Lege: *ἄλλο χρῶμα τὸν φόβον ἐξῆρε, aliud argumentum timorem adauxit. Χρῶμα* pro *argumento* Sopatro in deliciis fuit, quem vide in *διαιρήσει ζητημ.* p. 305, l. 23 a fin.; ib. 10 a fin., 306, l. 28, 307, l. 28, 313, 24, 341, 19, 342, 1. 346, 13 353, 19 a fin. *χρῶμα ἀντιληπτικὸν* p. 397, 7., *ἀντιστατικὸν χρῶμα*, 358, ult. *χρῶμα συγγνωμονικὸν* (sic leg. non *συγγνωμικὸν*, Aldin. habet *συγγνωμοικὸν*) p. 365, 11 379, 25 a f. *χρῶμα* in Piraeo erat aedificium *προβεβλημένον προσορμίσεως ἕνεκα καὶ ἀγορᾶς τῶν ναυτῶν*, Vales. ad Harp. p. 351. *Ἐξαίρειν*, tollere, amplificare, adaugere in ipsius Sopatri *διαιρήσει ζητημάτων* est pag. 329, 16. *Δημοσθένης τὸν τόπον καὶ τὴν θέσιν τῆς χώρας ἐξαίροντος πρὸς δυσχέρειαν*, Menand. p. 631, 17 ed. Ald. *ἐξαίρειν τὸ πρόσωπον τῆς γυναικὸς*, laudibus tollere personam

Digitized by Google

ἐδέξατο· οὐ γὰρ μόνον ὁ Δαρεῖος βασιλεὺς ἐγένετο πλούσιος.

224, D. Οἶδα δὲ καὶ τὰ Πλάτωνος [1] πράγματα] Apogr. Mon. Δεινῶς τὸ πράγματα ἀντὶ τοῦ χρήματα καὶ πλοῦτον.

225, A. Τούτου φροντίζειν] Schol. ed. Ἐν τῇ τοῦ Σωκράτους [2] ἀπολογίᾳ οὕτως λέγει· ὑμεῖς δὲ ἐμοῦ ἀκούσεσθε πᾶσαν τὴν ἀλήθειαν· οὐ μέντοι, μὰ Δία, ὦ ἄνδρες Ἀθηναῖοι, κεκαλλιέπημένους γε λόγους, ὥσπερ οἱ τούτων ῥήμασί τε καὶ ὀνόμασιν, οὐδὲ κεκοσμημένους, ἀλλ' ἀκούσεσθε εἰκῇ λεγόμενα τοῖς ἐπιτυχοῦσιν ὀνόμασι.

ib. Τὸν οἶκοι θησαυρόν] Apogr. Mon..... Τὸ δὲ εἰπεῖν τὸν οἶκοι θησαυρὸν παροιμιῶδές ἐστι· καὶ γάρ ἐστι ἡ παροιμία αὕτη ἐπὶ τῶν τὰ ἴδια διαβαλλόντων. . . . Phot. Παροιμία· τάττεται δὲ ἐπὶ τῶν οἶκοι διαβαλλόντων.

225, B. Ἀργοὺς δὲ δή [3] κ. τ. λ.] Apogr. Mon..... ὁ δ' Ἀθανάσιός φησι, δείκνυσι, ὡς αὐτὸν μᾶλλον ἀργοὺς ποιῶν ἀναγκάζει λαλεῖν.....

225, C. Δέκατος αὐτὸς] Id. Ἀπὸ Θουκυδίδου [4] ἡ μαρτυρία, λέγει γὰρ ἐκεῖνος Περικλῆς ὁ Ξανθίππου, στρατηγὸς ὢν Ἀθηναίων, δέκατος αὐτός.

ib. Τοὺς ἄλλους [5] ἅπαντας] Id. Τῶν δέκα στρατηγῶν τῶν ἐν Σάμῳ τὰ ὀνόματα, κατὰ Ἀνδροτίωνα, [6] Σωκράτης Ἀναγυράσιος [7], Σοφοκλῆς [8] ἐκ Κολωνοῦ ὁ ποιητὴς, Ἀνδοκίδης Κυδαθηνεὺς, Χρέων Καμβωνίδης, Περικλῆς Χολαργεὺς, Γλαύκων ἐκ Κεραμέων, [9] Καλλίστρατος Ἀγαρνεὺς, Ξενοφῶν Μελιτεύς.

1) *Πλάτωνος*, Werf. ex Apogr. dedit *Πλάτωνα*. — 2) *Ἐν τῇ τοῦ Σ. ἀπ.* init. Transscripsi ex edit. Heind., noster *δέ μου* pro *δὲ ἐμοῦ*, et *κεκαλλοπισμένους* pro *κεκαλλιεπημένους*. — 3) *Ἀργοὺς δὲ δή*, subl. Valk. Werf. ad *ἢ σὺ λίαν* retulerat hoc sch. — 4) *ἀπὸ Θ.*, alibi hoc sensu usurpatur. Thucyd. II, 13. Apogr. *Περ. ὁ Ξ. δέκατος αὐτ. στρ.* — 5) *Τοὺς ἄλλους ἅπ.*, hoc schol. obiter memorat Valk. ad Herodot. VIII, 23. — 6) *Ἀνδροτίωνα*, Ap. *Ἀνδρωτίωνα*. — 7) *Ἀναγυράσιος*, Ap. *ἀναγυράσιος*. — 8) *Σοφοκλῆς κ. τ. λ.*, Apogr. *Σοφοκλῆς ἐν κολωνοῦ ποιητής*, atqui Soph. erat *κολώνηθεν*, ut prodit auctor argumenti Oedip. Colon., itemque illustrior, quam ut abesse possit *ὁ* ante *ποιητής*, facile articulo a praeced. absorpto. — 9) *ἐκ Κεραμέων*, Ap. *ἐκκεραμέων*, cf. Vales. ad Harp. p. 107.

Digitized by Google

Ἕως καὶ ταύτην [1]] Id. *Ὁ Θουκυδίδης· ἐξοικίσαντες Ἱστιαιᾶς αὐτοὶ τὴν γῆν ἔσχον· ἡ δὲ Ἱστιαία* [2] *πόλις Εὐβοίας.* 226, A. 226, B.

Καὶ πραγμάτων συνέχειαν] Cod. Schell. super lin. *Καί τις ἂν δύναιτο λέγειν* .. at in marg. *Καί* [3] *τις ἂν εἴποι* (supra *λέγοι*) *πραγμάτων συνέχειαν ἄλλης πόλεως, ὥστε εἰκάσαι καὶ παραθεῖναι· οὐδεμιᾶς* (sic).

Ἥδιστ' ἄν] Apogr. Mon. . . . *Ὡς καὶ Δημοσθένης,* (Olynth. I, in.) *ὁ μὲν οὖν παρὼν καιρὸς μονονουχὶ, λέγει, φωνὴν ἀφιείς· ἡ δὲ τῶν ποιητῶν τέχνη ταύτης ἀπολαύει τῆς ἐξουσίας.* ib.

Περιΐστη] Phot. *Καί τοι δίκαιος καὶ πρᾶος ἦν, ἔφη.* 226, C.

Ἔφη Δημοσθένης] Schol. ed. *Ἵνα* [4] *μή τις εἴπῃ, οὐκοῦν πλεονεκτικὸς καὶ ἄδικος ὁ Περικλῆς.* ib.

Τῆς μὲν γνώμης] Id. *Θουκυδίδης γὰρ εἰσάγει αὐτὸν δημηγοροῦντα καὶ τῆς δημηγορίας οὕτω ἀρχόμενον.* 226. C.

Λακεδαιμονίοις] Id. *Ἐν τοῖς Μηδικοῖς, Θεμιστοκλέους τοῦτο ἐπαινέσαντος, ἵνα μὴ διχονοήσωσιν οἱ Ἕλληνες, παρεχώρησαν τοῖς Λάκωσιν τῆς ἡγεμονίας.* ib.

Μάλα ῥᾳδίως [5]] Apogr. Mon. *Δεῖ γάρ, ὡς πολλάκις ἔγνωμεν, τὸν σύμβουλον φρόνημα ἔχειν, ὡς καὶ Δημοσθένης* [6] *ἐν Φιλιππικοῖς ποιεῖ.* 226, D.

Κωμῳδίας] Schol. ed. *Εὐκαίρως εἶπε τὸ κωμῳδίας, διότι καὶ ταῦτα κωμῳδίας χάριν, οὐκ ἀληθείας ἐλέχθη.* 227, A.

Ἐτίθει νόμους [7]] Id. *Περικλῆς ὀργιζόμενος Μεγαρεῦσι* 227, D.

1) *Ἕως καὶ ταύτην κ. τ. λ.* schol. ex Leid. emendatum publicavit Valken. ad Herod. l. l., Leid. et Mon. *ἐξοικήσαντες Ἱστιαίας* 2) *Ἱστιαία*, conjurant Leid. et Mon. in *ἱστορία πόλεως*, cf. Thucyd. I, 114. — 3) fortasse sic legendum *καί τις ἂν εἴποι πρ. συνέχειαν, ἄλλης πολεως ὥστε εἰκάσαι καὶ παραθεῖναι οὐδεμιᾶς.* — 4) *ἵνα μή τις εἴπῃ*, ed. *εἴποι*. Locus Demosth., quem cum Aristide significat schol., est in orat. de Cor. p. 494. ed. Harl. At saepiuscule hunc locum expressit sophista, in Cim. p. 152. ed. Jebb., vel *τὸ δίκαιον ἴχει μεθ' ἑαυτῆς* (ita optimi Codd., Jebb. *αὐτῆς*) *ἡ χάρις*, Panath. p. 92. *Προσεῖναι* ita a scriptoribus usurpatur, Lucian. pro merc. cond. p. 246. 253. 281. Recte igitur Lang. ad Isocr. Archid. p. 205. Plat. Hipp. maj. p. 33. Sophocl. apud Plut., cf. Porson. ad Euripid. Or. 141. *Ἀθήναις δυσβουλίαν προσεῖναι* dicunt, cf. Intt. ad Nub. 587. Ne extra oleas vagari videar. — 5) *Μάλα ῥᾳδίως*, subl. Valken. — 6) *Δημοσθένης*, p. 137. — 7) *Ἐτίθει νόμους κ. τ. λ.* cf. Schol. ad Acharn. 531. et ad Ran. 1337.

Digitized by Google

διὰ τὸ ἐπισκῶψαι αὐτοὺς εἰς τὴν διδάσκαλον αὐτοῦ Ἀσπασίαν, ψήφισμα ἔγραψεν, ὡς χρὴ πολεμεῖν Μεγαρεῦσι, τῷ μὲν δοκεῖν [1] διὰ τὴν Ὀργάδα [2] γῆν, ἣν Ἀθηναίων οὖσαν ἐσφετερίζοντο [3] Μεγαρεῖς, τῇ δ' ἀληθείᾳ ὑπὲρ Ἀσπασίας ἀμυνόμενος· καλεῖ οὖν καταχρηστικῶς τοῦτο τὸ ψήφισμα νόμους. Σκόλια δέ κυρίως ἐστὶ τὰ ἐν συμποσίοις ἐπιπόρια ᾄσματα, ἃ ᾖδον οἱ κιθαρισταὶ, οὐ τὸ κυρίως [4] μέλος σώζοντες, ἀλλ' ἐσκιασμένως, [5] ἵνα μὴ καὶ ἄλλοι μάθωσιν· ἐπεὶ οὖν καὶ Περικλῆς οὐ φανερῶς διὰ τὴν Ἀσπασίαν τὸ ψήφισμα ἔγραψεν, ἀλλὰ τὴν Ὀργάδα γῆν προὔτεινε, διὰ τοῦτο εἰκότως φησὶν·

Ἐτίθει νόμους, ὥσπερ σκόλια γεγραμμένους.

ib. Ὧν ὄντων μὲν ἀληθῶν] Id. Ἐνταῦθα διδάσκει ἡμᾶς τὸ ἔγκλημα ἐγκλήματι λύειν· τὸ γὰρ τῆς θειλίας ἔγκλημα διὰ τοῦ πολεμοποιοῦ λύει ἐγκλήματος, καὶ τοῦτο δὲ ὕστερον ἀναιρεῖ.

228, C Ἥξιου μὲν αὐτοῖς ὁρμητήριον] Ap. Mon. Ὁρμητήριον ἐκάλουν τοὺς τόπους, ἀφ' ὧν ἔδει ὁρμωμένους ἐπιτίθεσθαι τοῖς πολεμίοις· ταῦτα δὲ Θουκυδίδης προεῖπεν ἡμῖν, ἃ λέγει οὗτος. Schol. ed. Ἐπειδὴ Ἀθηναῖοι τὰ κατὰ θάλατταν ἦσαν ἄριστοι καὶ τοσοῦτο [6] τὰ κατὰ γῆν συνεβούλευεν αὐτοῖς ἀεὶ Περικλῆς, [7] ἀεὶ αὐτῶν Πειραιῶς ὁρμωμένων, διὰ νηῶν τοὺς πολέμους ποιεῖσθαι, λέγων, ὡς εἰ καὶ πρὸς τοὺς ἄλλους ἅπαντας ἀνθρώπους ἐν μέρει δύνασθε [8] μάχεσθαι, ἀλλὰ κατὰ γῆν μὲν τοῦτο ποιοῦντες οὐκ ἀξίως τῆς ἰσχύος ὑμῶν, ἀλλ' ἐξ ἡμισείας αὐτῇ χρώμενοι πολεμήσετε, ἐν δὲ τῇ θαλάσσῃ ἀξίως ὑμῶν αὐτῶν καὶ πανταχοῦ νικᾶν ἔστιν.

ib. Ἀπέφαινε] Ap. Mon. Νῦν τὴν ἡγεμονίαν· δημηγορῶν γὰρ ὁ Περικλῆς ἐν τῇ β' [9] εἶπεν· ἐγὼ δὲ ἀποφαίνω β' μερῶν τῶν εἰς χρῆσιν φανερῶν, καὶ τὰ ἑξῆς. . . . .

1) τῷ μὲν δοκεῖν, ed. τὸ μὲν δοκεῖν. — 2) διὰ τὴν Ὀργάδα γῆν, ed. ὀργάδα, infra ὀργάδι. Recte, nam ἡ ὀργὰς γῆ vel ἡ ὀργὰς in nomen proprium abierat Vales. ad Harp. p. 314. — 3) ἐσφετερίζοντο, ed. ἐφετ. — 4) κυρίως, f. κυρίως τὸ μ. — 5) ἐσκιασμένως, erat cum conjicerem legendum ἐσχεδιασμένως. — 6) τοσοῦτο, ed. τοσούτου. — 7) Περικλῆς, Thucyd. I, 140. quae sequuntur, ita emendaverim: ἀεὶ ἐκ τοῦ Πειραιῶς ὁρμωμένους κ. τ. λ. — 8) δύνασθε, ed. δύνασθαι. — 9) ἐν τῇ β', II, 62. Apogr. ita: ἐγὼ δὲ ἀποφαίνων β' μ. τ. εἰς χρ. φανερῶς.

Digitized by Google

Ἐπειδή γε καὶ αὐτός] In marg. Schell. *Ἐπεὶ λέγεις* 229, A.
κατηγορεῖν ταῦτα τοῦ ἀνδρὸς οὐκ ἀπὸ τῆς σαυτοῦ γνώμης,
ἀλλ' ἀκοῆς, ὃ Κρὴς δὴ τὸν πόντον ἀγνοεῖ, φήσει τις,
εἴπερ αὐτὸς τὰ τοιαῦτα ἀγνοεῖς, ἔμπειροι γὰρ τὰ κατὰ Θά-
λατταν Κρῆτες· ἀντάκουε καὶ τῶν τἀληθῆ λεγόντων.

Ταῦτά γε ὁ Κρὴς [1]] Schol. ed. *Ὁ Κρὴς* [2] *ἀγνοεῖ* 229, B.
τὴν Θάλατταν παροιμία ἐπὶ τῶν εἰδότων μὲν, προσποιου-
μένων δ' ἀγνοεῖν, ἀντὶ τοῦ ὁ νησιώτης ἀγνοεῖ τὴν Θάλατταν.
δηλοῖ [3] *δὲ ὅτι εἰδὼς Περικλῆς προσποιεῖται ἀγνοεῖν. Λέγε-*
ται [4] *δὲ ἡ παροιμία καὶ οὕτως, ὁ Σικελὸς τὴν Θαλασ-*
σαν· [5] *Σύρας* [6] *γάρ τις Σικελὸς ἐμπορευόμενος καὶ ναυαγή-*
σας, [7] *εἶτα ἐκπεσὼν ἐπὶ πέτραις καθεζόμενος,* [8] *ὡς γαληνιά-*
ζουσαν [9] *εἶδε τὴν θάλασσαν, οἶδα, φησὶν, ἃ βούλει* [10] *καὶ*
θέλεις, βούλει γὰρ αὐτόν [11] *με λαβοῦσα καταποντίσαι, ἐγὼ*
δὲ νῆσον οἰκῶν ἐκ παιδὸς οἶδα τὰ σὰ σοφίσματα· Ἀλκμὰν δὲ
ὁ λυρικὸς μέμνηται τῆς παροιμίας. Ἢ οὕτως [12] *ὥσπερ ἄν εἴ*
τις εἴποι Κρῆτα μὴ εἰδέναι τὴν θάλασσαν, οὗτοι γὰρ ταύ-
της ἐν ἐμπειρίᾳ τυγχάνουσιν· εἴρηται ἐπὶ τῶν προσποιουμέ-
νων ἀγνοεῖν ἃ ἐπίστανται. Phot. *Παροιμία ἐπὶ τῶν προσποι-*
ουμένων τὸ ἀγνοεῖν, οἱ γὰρ Κρῆτες ἐμπειροθαλάσσιοι· λέγεται

1) *Ταῦτά γε ὁ Κρὴς*, Schol ad haec legitur et in Mon. et in Leid. et in mscr. Fulvii Ursini p. 303. — 2) *Ὁ Κρὴς ἀγνοεῖ τὴν Θάλασσαν* sunt in ed., desiderantur in Leid. et apud Ursinum. — 3) *δηλοῖ δὲ — ἀγνοεῖν* desunt in Leid., pro iis leguntur ibi *ἀντὶ τοῦ ὁ νησιώτης ἀγνοεῖ τὴν Θάλατταν*, quae frustra quaerimus apud Urs. Habet autem Urs. *τὴν Θάλατταν*, ut suspicer in mscr. Ursini illa *ἀντὶ τοῦ κ. τ. λ.* non defuisse, sed properanti excidisse Ursino. — 4) *Λέγεται*, Leid. *λέγει δὲ ἡ παρ.* — 5) *Θάλασσαν*, Ap. Mon. *Θάλατταν.* — 6) *Σύρας γάρ τις Σ.* sic ed., Leid. *Σ. γάρ φησί τις Σικ.* Urs. et Mon. *φασι.* — 7) *ναυαγήσας*, sic Mon., Leid. et Ursin., ed. *ναυμαχήσας.* — 8) *καθεζόμενος*, sic mscripti, ed. *καθήμενος.* — 9) *γαληνιάζουσαν*, sic mscripti, ed. *γαληνιῶσαν*, atque ita Aesop. fab. 49, p. 46 ed. Heusing. — 10) *ἃ βούλει καὶ θέλεις*, voces *καὶ θέλεις*, ex Mon. et Leid. addidi. Ursin. *ὃ βούλει· μέμνηται τῆς παρ.*, iis praetermissis, quae intercedunt in ed., idem obtinet in Mon. et Leid. — 11) *αὐτόν με*, nunc me ipsum petis, cum navem meam devorasses. An *αὐθίς με*? — 12) *Ἢ οὕτως ὥσπερ ἄν εἴ τις κ. τ. λ.* ex Mon. edidit Creuz. in epist. ab Hermanno ad se data pag. 73, ubi sic *ἢ οὕτως· ὥσπερ ἂν κ. τ. λ.*, Valkenarius in Leidensi plura quam in editis legi, significat in margine, F. Ursinus ideo opinor non addidit, quod Alcmanis non facerent. Plus semel hunc virum ea de causa minus accuratum in edendo hoc scholiaste fuisse, observasse mihi visus sum.

Digitized by Google

δὲ καὶ ὁ νησιώτης ἀγνοεῖ τὴν θάλασσαν καὶ Σικελὸς τὴν θάλασσαν. Palat. Παροιμία ἐπὶ τῶν εἰδότων μὲν, προσποιουμένων δ' ἀγνοεῖν, ὁ Κρὴς τὸν πόντον, ἀντὶ τοῦ ὁ νησιώτης ἀγνοεῖ τὴν θάλασσαν.

229, C. Καὶ τὸν Μελήσιππον] Schol. ed. Τοῦτον Λακεδαιμόνιοι πρὸς Ἀθήνας πρεσβευτὴν ἔπεμψαν.

229, D. Τοὺς πολεμίους] Apogr. Mon. Ἔθος εἶχον οἱ Πελοποννήσιοι κατὰ μέρος τὰ ἑαυτῶν στρατεύματα πέμπειν, ὡς καὶ Θουκυδίδης περὶ αὐτῶν [1] λέγει· ἀπὸ πόλεως ἑκάστης τὰ δύο μέρη ἐστράτευσαν.

230, A. Ἐξέπληξεν] Apogr. Mon. Ἐμφαίνει, ὅτι καὶ εἰς Λακεδαίμονα ἦλθεν ἡ νόσος, οὐ μὴν τοσαύτη, ὡς καὶ ὁ Θουκυδίδης φησί. [2]

231, B. Ἀλλ' ὡς περὶ ἀριθμῶν ἢ μέτρων [3]] Schol. ed. Ἀριθμῶν, ὅτι ὁ σ' ἀριθμός τε καὶ ὁ ισ', ἄρτια ἄρτιος· [4] μέτρων δὲ, ὅτι αἱ τρεῖς τοῦ τριγώνου γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν.

231, D. Καὶ πλείων ἦν [5]] Apogr. Mon. Ἀντὶ τοῦ μείζων· ἀεὶ γὰρ οἱ παλαιοὶ τοῦτο ἐπὶ μείζονος λαμβάνουσιν, ὡς καὶ Δημοσθένης πολλάκις ἐχρήσατο.

233, A. Ἥκιστα [6] κινδυνεύειν] Apogr. Mon. Ἀντὶ μηδὲ [7] ὅλως πολεμεῖν· τὸν γὰρ πόλεμον κίνδυνον λέγουσιν οἱ παλαιοὶ, παρὰ τὸ ἐν αὐτῷ κινδυνεύειν· καὶ Ἰσοκράτης, ὃν δὲ ἀναγκασθῇ κινδυνεῦσαι, ἀντὶ τοῦ πολεμῆσαι.

ib. Ὥσπερ καὶ Λακεδαιμονίοις [8]] Sch. ed. Οἶδε γὰρ ἐπαινετὴν αὐτῶν ὄντα Πλάτωνα, οὗτοι δὲ συγκρούοντες τοὺς ἀνθρώπους πρὸς ἀλλήλους ἐκράτουν αὐτῶν· οὕτω καὶ τοὺς

1) περὶ αὐτῶν, Ap. περὶ αὐτούς. — 2) ὡς καὶ ὁ Θουκυδίδης φησι, immo vero negat omnino Thucydides, II, 55, hunc morbum in Peloponnesum irrepsisse, idque memoria quam maxime dignum fuisse. — 3) Ἀλλ' ὡς περὶ ἀρ., sublin. Valken. — 4) ἄρτια ἀρτίως μέτρων, ed. ἄρτι ἢ ἄρτιος μέτρων κ. τ. λ., sed ἄρτια sunt ἀρτίως numeranda, neque in περιτὰ detorqueri possunt, itemque perpetuo terni τριγώνου anguli binos aequabunt rectos. Ita sibi et in ratione et oratione Pericles constitit. Non legitur autem hoc schol. in Monac., licet Valk. ex Leid. sublinearet. — 5) Καὶ πλείων ἦν, subl. Valken. — 6) Ἥκιστα κινδυνεύειν, sublineavit Valk. — 7) μηδὲ, Ap. μὴ δὲ. — 8) ὥσπερ καὶ Λακ., subl. Valk.

Digitized by Google

Ἀθηναίων ὑπηκόους [1] συνέκρουσαν τοῖς δε σπόταις, ἐπαγγελόμενοι αὐτοῖς ἐλευθερίαν.

Οὐκ εἰκός] Apogr. Mon. Ἀντὶ τοῦ οὐ δεῖ τὴν ἀκρίβειαν ζητεῖν· τὸ δὲ ὅμοιον καὶ Θουκυδίδης λέγει, ὅτε αἱ ἀνάγκαι λογισμοῦ ἐλαχίστου δέονται, ἀντὶ τοῦ οὐδὲ ἐλαχίστου. 233, B.

Ἑκατέροις πεπραγμένα] Apogr. Mon. Τὰ ἐν τῷ Μηδικῷ λέγει, τότε γὰρ Θηβαῖοι προδεδώκασι· καιρὸν δὲ καλεῖ τὸ συμφέρον· οὕτω καὶ Δημοσθένης πολλαχοῦ· ἔστι δὲ εἰπεῖν καιρὸν καὶ τὴν ἀτυχίαν. 234, A.

Συμβούλοις Θηβαίοις] Apogr. Mon. Καὶ Δημοσθένης· μὴ τὸν ἀντίδικον σύμβουλον ποιήσασθαι (226, 4.) ib.

Τόσων καὶ τόσων] Sch. ed. Ἰστέον ὅτι, ὅτε ἡ διπλῆ αὕτη προσθήκη τίθεται, πλῆθος δηλοῖ· νῦν δὲ ἀντὶ τοῦ ὀλίγων καὶ εὐαριθμήτων δεῖ νοεῖν. 234. B.

Τοὺς δ' ἀχρήστους] Apogr. Mon. . . . Εἶπε γὰρ ὁ Θουκυδίδης, [2] τὴν νόσον τὰ ἄλλα τῶν διαφευγόντων ὑποτέμνειν. 235, A.

Ἡγουμένων γε Ἀθηναίων] Sch. ed. Ἐκ τοῦ εἰπεῖν ἡγουμένων Ἀθηναίων καὶ Περικλέους δίδωσιν ἔμφασιν, ὡς ἄρα ἀποδέχεται μὲν αὐτοὺς ὡς ἀνδρείους, κακίζει δέ πως τὴν κατὰ πόλεμον ἀπειρίαν αὐτῶν, ἐπαινεῖ δὲ Ἀθηναίους, ὡς καὶ εἰς τοῦτο χρησίμους. 234, D.

Πολλῷ πλείοσιν] Sch. ed. Ἡττηθέντες γὰρ Λακεδαιμόνιοι οὐκ ἔμελλον ἀνεκτῶς ἕξειν, ἀλλ' ἔμελλον αὖθις ἐπιστρατεύσεσθαι καὶ τὴν ἧτταν ἀνακαλέσεσθαι, ὃ ποιήσαντες ἐδόκουν ἂν Ἀθηναίοις ὥσπερ ἀμφισβητεῖν τῆς νίκης· τὸ δὲ καθάπερ Κορίνθιοι λέγει, ἐπειδὴ Ἀθηναίων 235, A.

1) Ἀθηναίων ὑπ., ed. Ἀθηναίους ὑπ. — 2) Θουκυδίδ. II, 49. Werferus hoc schol. retulerat ad τοὺς Ἕλληνας. Male. Ex Thucyd. l. l., qui καὶ εἴ τις ἐκ τῶν μεγίστων περιγένοιτο, τῶν γε ἀκρωτηρίων ἀντίληψις ἐπεσήμαινε. Κατέσκηπτε γὰρ καὶ ἐς τὰ αἰδοῖα, καὶ ἐς ἄκρας χεῖρας, καὶ πόδας· καὶ πολλοὶ στερισκόμενοι τούτων διέφευγον· εἰσὶ δ' οἳ καὶ τῶν ὀφθαλμῶν, inde igitur in nostro malim legi τὴν νόσον τὰ ἄκρα τ. δ. ὑποτ. Apogr. εἶπε γὰρ ὁ Θ. τὴν νόσον· τὰ κ. τ. λ.

Digitized by Google

Αἰγίναν πολιορκούντων, ἐπέθεντο Μεγάροις Κορίνθιοι, ἵνα ἐντεῦθεν τὴν ἐν Αἰγίνῃ πολιορκίαν λύσωσι, καὶ ἡττηθέντες ὑπὸ τῶν Ἀθηναίων γερόντων ἀπῆλθον εἰς Κόρινθον· κακιζόμενοι δὲ ὑπὸ τῶν οἰκείων πολιτῶν, ἦλθεν ἐν ᾧ ἡττήθησαν τόπῳ· καὶ ἐπειρῶντο τρόπαιον ἀνιστᾶν, ἀλλα καὶ αὖθις ὑπ' Ἀθηναίων κατεπολεμήθησαν.

235, B. *Ὥστε τὴν καδμείαν* [1] (Werf. *καδμίαν* ex Ap.) *νίκην*] Apogr. Mon. *Αὕτη ἡ παροιμία εἰώθει* [2] *λέγεσθαι ἐπὶ τῶν βλάβῃ* [3] *τῇ ἑαυτῶν νικησάντων· ἐλέχθη* [4] *δὲ ἀπὸ τοιαύτης ἱστορίας· Θηβαῖοι νικήσαντες τοὺς Ἀργείους, Πολυνείκου στρατεύσαντος κατὰ τοῦ ἀδελφοῦ Ἐτεοκλέους,* [5] *εἴασαν ἄταφα τὰ σώματα* [6] *ἑπτὰ ἐπὶ Θήβας κληθέντων καὶ παρώξυναν καθ' ἑαυτῶν τοὺς Ἀθηναίους· διεξελθόντες* [7] *ἐνίκησαν Θηβαίους, καὶ οὐ παρέδοσαν εἰς ταφὴν τὰ σώματα.* [8] *Ἢ ἐπειδήπερ Οἰδίπους τὴν Σφίγγα ἐνίκησεν, ἐλέχθη* [9] *ἡ καδμεία νίκη· εἰ μὴ γὰρ ἐκεῖνος* [10] *ἐνίκησεν, οὐκ ἂν οὐδὲ τῇ ἑαυτοῦ μητρὶ συνεγένετο, οὐδὲ τὰ λοιπὰ πάντα ὑφίστατο. Ἢ ὅτι οἱ Ἐπίγονοι, οἱ περὶ Διομήδην, τιμωροῦντες τοῖς πατράσιν τοῖς ἑαυτῶν τοῖς ἐν Θήβαις ἀνῃρημένοις ἐπιστρατεύσαντες* [11] *τὰς Θήβας κατέστρεψαν, ὡς φησιν ὁ ποιητὴς·*

Ἡμεῖς καὶ Θήβης ἕδος εἵλομεν.

Τὴν ἱστορίαν δὲ λέγει οὗτος ἣν εἶπεν Θουκυδίδης [12] *ἐν τῇ ἀ ἤπου παρὰ τῶν Ἀθηναίων γερόντων ἡττήθησαν δεύτερον.....*

1) *Ὥστε τὴν καδμείαν.* — Pro corruptissimo ed. dedi Apographum, varietatem nunc propositurus. — 2) *εἴωθε.* — 3) *ἐπὶ τῶν βλάβῃ.* — 4) *ἐλέγχθη δὲ ἀπὸ τούτων νικησάντων, ἐλέγχθη δὲ ἀπὸ τούτων οὗ· Θηβαῖοι.* — 5) *Ἐτεοκλέως.* — 6) *σώματα τῶν ἐν τῷ πολέμῳ πεσόντων καὶ παρόξυναν.* — 7) *οἱ ἐξελθόντες.* — 8) *τὰ σώματα αὐτῶν.* — 9) *ἐλέγχθη.* — 10) *ἐκείνην* — Quae inde ab *ἢ ὅτι οἱ Ἐπίγονοι* ad finem usque in ed. desunt, legi in Leid. indicat Valkenarius, qui ad marg. Jebbii var. ex Cod. lect. enotavit easdem, quae in Ap. inveniuntur. — 11) *ἐπιστρατεύσαντες*, Apogr. *ἐπὶ στρ.* — 12) *Θουκυδ.* I, 105. Erasm. Ad. II, 8, p. 579. » Aristides Pericle: *ὥστε κ. τ. λ.* — Quo quidem loco scholion adscriptum praeter alia illud admonet ab iis, quae retuli, nonnihil diversum. Thebanos caesis Argivis, qui cum Polynice pugnarant, negasse sepulturam. Qua inhumanitate exasperati Athenienses, Thebanos oppugnatos devicerunt et consimilem ad modum vetuerunt, ne cadavera caesorum darentur sepulturæ. « Quae itaque in Mon. adduntur, non legebantur in Cod. Erasmi.

Digitized by Google

C. Palat. *Αὕτη ἡ παροιμία λέγεται ἐπὶ τῶν ἐπὶ βλάβῃ αὐτῶν (leg. αὑτῶν) νικησάντων.*

Εἷς ὑπὲρ πάντων [1] *κῦβος*] Sch. ed. *Παροιμία ἐπὶ τῶν ἀποκινδυνευόντων· οἱ γὰρ κυβεύοντες ἕνα κῦβον ῥίπτουσιν ἢ εἰς ἥτταν, ἢ εἰς νίκην.* C. Palat. *Αὕτη ἡ παροιμία εἴρηται ἐπὶ τῶν οὐκ εἰδότων μὲν τὸ ἐκβησόμενον, ἐπὶ δὲ τῇ τύχῃ τολμώντων.* ib.

Πᾶσαν τὴν πολεμίαν] Apogr. Mon. *Καὶ γὰρ ὁ Θουκυδίδης* [2] *φησὶν, ὅτι ἀκούσαντες οἱ Λακεδαιμόνιοι τοὺς Ἀθηναίους τὴν περιοικίδα αὐτῶν πορθοῦντας ἀνεχώρησαν ἐπ' οἶκου.* 236, A.

Καὶ παρὰ] In m. Sch. *Καὶ παρὰ τὰ συμβεβηκότα.*

Ὅμην τὸν Μελέαγρον] Apogr. Mon. *Συγκριτικὸν* [3] *τὸ ἐπιχείρημα, ὅτι μᾶλλον ὁ Μελεάγρος δειλὸς ἦν ἢ Περικλῆς, θρασύτατος γὰρ ἀνὴρ ἦν ὁ Περικλῆς. Καλῶς δὲ συνέκρινε τὸν Περικλέα τῷ Μελεάγρῳ· καὶ γὰρ τὰ αὐτὰ πεπόνθασιν, ἥτε γὰρ μήτηρ Μελεάγρου ἡ Ἀλθαία* [4] *ἔδοξε λαμπάδα τίκτειν σὺν τῷ Μελεάγρῳ, καὶ ἡ μήτηρ Περικλέους ἡ Ἀργίστη* [5] *ἔδοξε λέοντα τίκτειν, ἡνίκα ἔμελλε τὸν Περικλέα τίκτειν. Ταῦτα δὲ καὶ Πλούταρχος* [6] *καὶ Σαβῖνος καὶ πάντες οἱ τὸν Περικλέους γράψαντες βίον λέγουσιν. Ἐναντίον δὲ λέγει διὰ τῆς ἀνδρείας, ἐναντία γαρ δειλία· ἀξιόπιστον δὲ παραφέρει μάρτυρα τὸν Ἀπόλλωνα.* 237, C.

Ὥσθ' ὅρα μὴ λέοντα ξυρεῖν] Apogr. Mon. *Κυρίως δὲ λέγεται ἐπὶ τῶν εἰς ἀδύνατα ἐπιχειρούντων καὶ ἐπικίνδυνα, τίς γὰρ ἐπιχειρεῖ λέοντα ξυρεῖν; κυρίως δὲ τέθεικε τὴν παροιμίαν, ἐπειδὴ καὶ ἡ Περικλέους μήτηρ ὄναρ ἑαυτὴν εἶδε* [7] *λέοντα τίκτουσαν.* Sch. ed. *Ἐπὶ τῶν ἀδυνάτων καὶ ἐπικινδύνων ἡ παροιμία αὕτη λέγεται.* Cod. Palat. *Παροιμία ἐπὶ τῶν ἀδυνάτοις καὶ ἐπικινδύνοις ἐπιχειρούντων·* 237, D.

1) *Εἷς ὑπὲρ π.*, sublineavit Valk. — 2) *Θουκυδίδης* II, 56. — 3) *Συγκριτικὸν κ. τ. λ.* editus sch. incipit *Καλῶς συνέκρινε τὸν Π.* 4) *πεπόνθασιν*, ita Valk. ex Leid. et Mon., Jebb. *ἐν ἑκατέροις συνέβη.* — 5) Jebb. *Ἀλθέα.* — 6) *ἡ Ἀργίστη*, sic ed. et Mscr., Plut. Pericl. III *Ἀγαρίστη.* — 7) *Ταῦτα δὲ καὶ Πλούταρχος κ. τ. λ.* Desunt in ed. *διὰ τῆς ἀνδρείας*, Ap. *ἄνδρας.* — 8) *εἶδε*, Ap. *οἶδε.*

Digitized by Google

ἡ τοῦ Περικλέους μήτηρ εἶδε [1] κατ' ὄναρ ἑαυτὴν λέοντα τίκτουσαν.

238, A. Οὐ Θρασύμαχον [2]] Sch. ed. Λέον εἰπεῖν, οὐ τὸν τυχόντα, Θρασύμαχον εἶπε, τοῦτον γὰρ ἐν ταῖς πολιτείαις (p. 19. ed. Ast. cf. p. 363. seq.) εἰσάγει Πλάτων κατηγελώμενον ὑπὸ Σωκράτους καὶ ἐλεγχόμενον.

ib. Ἀνδρειότεροι τοῦ δέοντος] Cod. Palat. Ἀνδρεισότερος τοῦ δέοντος ἀντὶ τοῦ Θρασύς· αἱ γὰρ ὑπερβολαὶ καὶ ἐλλείψεις τῶν ἀρετῶν κακίζονται·

ib. Καὶ δειλίας, [3] εἰ δὲ βούλει] Apogr. Mon. Τὸ δειλίας [4] ἐξ Αἴαντος τοῦ μαστιγοφόρου Σοφοκλέους, τὸ δὲ σιωπῆς ἐκ Σιμωνίδου, [5] καὶ Αἰσχυλος ἐν Προμηθεῖ δεσμώτῃ· [6]

Πολλοῖς γάρ ἐστι κέρδος ἡ σιγὴ βροτοῖς.

Sch. ed. Τὸ δειλίας γέρας ἀκίνδυνον Σοφοκλῆς ἐν Αἴαντι τῷ μαστιγοφόρῳ λέγει· Αἴας γὰρ εἰ δειλὸς ἦν καὶ μὴ Θρασύς, εἴληφεν ἂν γέρας τῆς δειλίας τὸ μὴ κινδυνεῦσαι αὐτοχειρίᾳ. Τὸ δὲ σιωπῆς ἀκίνδυνον γέρας ἐκ Σιμωνίδου ἐστὶ τοῦ Κείου. [7] Καλῶς δὲ προσετέθη τὸ ἀκίνδυνον, τὰ γὰρ ἐν τοῖς ἀγῶσι διδόμενα γέρα κινδύνου μετέχει. Λέγει γοῦν, ὡς εἰ καὶ σὺ, ὦ Πλάτων, βούλει σόφος εἶναι καὶ τοὐναντίον, σίγα καὶ μὴ σκώπτε τὸν Περικλέα.

ib. Λῖνον λίνῳ] Sch. ed. Παροιμία ἐπὶ τῶν τοῖς προτέροις ἕτερα συνειρόντων, ὁποῖον καὶ τὸ τοῦ Πλάτωνος, οὐ μόνον δειλοὺς Ἀθηναίους, ἀλλὰ καὶ φιλαργύρους πεποιημένον [8] τὸν Περικλέα φήσαντος. [9]

1) εἶδε, Palat. οἶδε. — 2) Οἱ Θρασύμαχον, subl. Valk. — 3) καὶ δειλίας subl. Valk. — 4) τὸ δειλίας, cf. Soph. Aj. 75.

Οὐ σῖγ' ἀνέξει, μηδὲ δειλίαν ἀρεῖς;

Errat igitur Schol. ed. — 5) ἐκ Σιμωνίδου, cf. Gaisf. poet. min. t. I, p. 400. — 6) Αἰσχυλος, ἐν Προμηθεῖ δεσμώτῃ, frustra in Prometh. quaesivi, similia occurrunt Vrs. 328. cf. Sept. adv. Th. 437. Choeph. 580. — 7) Κείου, ed. Κίου, itemque in Aristide, ὥς τις τῶν Κίων κ. τ. λ., cf. Bast. comm. pal. p. 734. et adde Spanh. ad Ran. 1010. alludit ad ἀκ. γ. Sop. δ. ζητ. p. 337, 17. — 8) πεποιημένον, liceat per me, ego malim πεποιηκέναι. — 9) φήσαντος, ed. φήσαντας.

Digitized by Google

Διαδόσεις] Schol. ed. *Ἔθος ἦν*[1] *παρὰ Ἀθηναίοις* 238, D.
τῶν βασιλέων, τοῖς ἐνδόξοις διαδιδόναι χρήματα, ἅπερ ἐκα-
λεῖτο σπυρίδες[2] *παρὰ τοῦ διασπείρειν· τοῦτο δὲ φιλοτιμία*[3]
ἦν. Λέγει οὖν, ὅτι οὔτε μισθοὺς ἔταξα ἐμαυτὸν δέχεσθαι
παρὰ τῶν μαθητῶν, οὔτε εἰς[4] *διάδοσιν ἔλαθον δραμών.*

Μεγαλοπρεπείᾳ] Apogr. Mon. *Μεγαλοπρέπειά*[5] *ἐστιν,* 239, B.
ὡς Ἀριστοτέλης ὁρίζεται, ἀρετὴ ἐν δαπανήμασι μεγέθους
ποιητική· κυρίως δὲ εἶπε τὴν λέξιν, ἐπὶ γὰρ χρημάτων δεῖ
λέγειν μεγαλοπρέπειαν.

Ὁρῶ δὲ, ὅτι πολλὰ] Schol. ed. *Συγγνωμονικῶς λύει* ib.
τὴν ἀντίθεσιν.

Ἐφόλκια[6]] In marg. Schell. *Ἀναγκαῖά τινα φυσικῶς* ib.
ἐπισυρόμενα· ἀπὸ τῶν ὁλκάδων τῶν ἐπιφερομένων κελήτια
διὰ τὰς χρείας. Phot. *Τὰ ἁμαρτήματα λέγει.*

Καὶ γὰρ τὰ σώματα] Schol. ed. *Ὥσπερ, φησὶν, ὅλα* ib.
τὰ σώματα ἐκ τῶν αὐτῶν στοιχείων σύγκειται, καλεῖται δὲ
σῶμα καλὸν, οὐ διὰ τὸ ἀμοιρεῖν καί τινος κακοῦ, ἀλλὰ διὰ
τὸ ἐπιπλεῖον ἔχειν τὸ καλὸν, ὡσαύτως δὲ καὶ τὰ φαῦλα
σώματα· οὕτω καὶ αἱ πόλεις οὐκ ἀπαλλάττονται μὲν τῶν
ἀτόπων, τῷ δὲ πλείονα ἔχειν χρηστὰ προσαγορεύονται καλαὶ
καὶ τῷ πλείονα ἄτοπα φαῦλαι.

Ἅμα δὲ εὐλαβούμενοι] Schol. ed. *Ἄλλο χρῶμα*[7] *τὸν* 240, B.

1) *Ἔθος ἦν κ. τ. λ.*, ed. *ἦθος ἦν τοῖς ἀρχαίοις τῶν βασιλέων, τοῖς ἐνδ.*, Valk. ex Leid. *ἦθος ἦν παρὰ Ἀθηναίοις, τοῖς ἐνδ.* — 2) *σπυρίδες*, sic Leid., ed. *σπορίδες* — 3) *φιλοτιμία*, cf. Vales. ad Harp. p. 41. — 4) *εἰς διάδοσιν ἔλαθον δραμών*, ed. *εἰς διαδ. ἔδραμον*, Valk. ex Leid. post *διάδοσιν* inseruit *ἔλαθον*. — 5) *Μεγαλοπρεπείᾳ* eubl. Valk. — 6) *Ἐφολκία*, vid. Creuz. ad Plotin. p. 252. — 7) *Ἄλλο χρῶμα κ. τ. λ.*, edita religiose repetii. Lege: *ἄλλο χρῶμα τὸν φόβον ἐξῆρε*, *aliud argumentum timorem adauxit*. *Χρῶμα* pro *argumento* Sopatro in deliciis fuit, quem vide in *διαιρήσει ζητημ.* p. 305, l. 23 a fin.; ib. 10 a fin., 306, l. 28, 307, l. 28, 313, 24, 341, 19, 342, 1. 346, 13 353, 19 a fin. *χρῶμα ἀντιλῃπτικὸν* p. 397, 7., *ἀντιστατικὸν χρῶμα*, 358, ult. *χρῶμα συγγνωμονικὸν* (sic leg. non *συγγνωμικὸν*, Aldin. habet *συγγνωμοικὸν*) p. 365, 11 379, 25 a f. *χρῶμα* in Piraeo erat aedificium *προβεβλημένον προσορμίσεως ἕνεκα καὶ ἀγορᾶς τῶν ναυτῶν*, Vales. ad Harp. p. 351. *Ἐξαίρειν*, tollere, amplificare, adaugere in ipsius Sopatri *διαιρήσει ζητημάτων* est pag. 329, 16. *Δημοσθένης τὸν τόπον καὶ τὴν θέσιν τῆς χώρας ἐξαίροντος πρὸς δυσχέρειαν*, Menand. p. 631, 17 ed. Ald. *ἐξαίρειν τὸ πρόσωπον τῆς γυναικὸς*, laudibus tollere personam

Digitized by Google

φόβον ἐξεῦρε, μήπως ἄρα καὶ νεωτερισμόν τινα ἐπινοήσωσι πραγμάτων.

241, A. Ἀλλὰ [1] τὴν ἀρχήν] Sch. ed. Διὰ αὐτὴν γὰρ διαφόρους ἐκλέγοντες πλουτοῦσι· μεταστατικῶς δὲ ἀπολογεῖται, εἰς τὴν ἀρχὴν μεταφέρων τὸ ἔγκλημα.

ib. Ἐπεὶ ὅτι γε] Id. Πάλιν συγγνωμικῶς ἀπολογεῖται εἰς τὸ ἀναγκαῖον μεταφέρων τὸ πᾶν.

241, D. Οὐδέ γε οἱ Καρχηδόνιοι] Id. Σκυτίνοις νομίσμασιν [2] οἱ Καρχηδόνιοι ἐπολιτεύοντο ἐκ τῆς Διδοῦς· ἐκείνη γὰρ φυγοῦσα διὰ τὸν φόνον τοῦ ἀδελφοῦ ἐκ τῆς Τυροῦ, αἰτεῖ τὸν βασιλέα μεταδοῦναι αὐτῇ γῆς, ὅσον δέρμα βοὸς ἐπέχει τόπον, ὃ δὲ ῥᾳδίως κατένευσε. Κατατεμοῦσα [3] οὖν ἐκείνη τὸ σκύτος κύκλῳ χωρίον τι ἀπολαμβάνει καὶ πόλιν [4] κτίζει τὴν Καρχήδονα· οἱ οὖν Καρχηδόνιοι τὸ συμβὰν ἀεὶ τιμῶντες σκυτίνοις νομίσμασιν ἐπολιτεύοντο· τοῦτο δὲ λέγει, οὐχ ὅτι σκύτινα νομίσματα εἶχον, ἀλλὰ βύρσας παρεῖχον, ὡς πολύθηρον οἰκοῦντες χωρίον, καὶ οὕτως ὃ ἐβούλοντο, ἐδέχοντο.

242, B. Διέλυον] In marg. Schell. Διαλύοντες τὸν ἀποδασμὸν [5] ἐδίδουν.

242, C. Ἀλλὰ καὶ τῶν νομοθετῶν] Schol. ed. Ἐνταῦθα τὸν Σόλωνα λέγει ἢ Πολιοῦχον (sic)· οὗτος γὰρ ἔταξε καὶ βουλευτικόν· αἰνίττεται δὲ καὶ εἰς Πλάτωνα, ἐποίησε γὰρ καὶ οὗτος νόμους. Μεταστατικῶς δὲ ἀπολογεῖται, μεταφέρει γὰρ τὴν αἰτίαν ἐπὶ τοὺς νομοθέτας.

243, A. Ἢ αὐτὸν ἰδεῖν] Ap. Mon. Δεινῶς ὁ Ἀριστείδης [6] τὸν

uxoris. Aliud est φόβον ἐξωρεῖν, metum eximere Eur. Phoeniss. 1005. Aristid. t. I, p. 11. ed. Jebb. ἐξεῖλε δεῖμα τῆς ψυχῆς, p. 20. p. 45. νόστον ἐξαίρειν.' De feris excitandis (ἐκσοβεῖν, ἀνασοβεῖν) ἐξαιρεῖν dici, non ἐξαίρειν, contendit Valk. ad Hippol. 18. Ἐξαιρῶ non ἐξαίρω scribendum, ubi sit eximere vid. Heind. ad Theaet. p. 352. Sexcenties αἴρειν et αἰρεῖν et quae ex his nascuntur, confusa, Wytt. ad Plut. de S. N. V. p. 9 seq. Nolui itaque emendare ἄλλο χρῆμα τὸν φόβον ἐπῆρε. — 1) Ἀλλὰ τὴν ἀρχὴν, sublin. Valk. verba praecedentia, unde suspicor idem schol. legi in Leid. — 2) νομίσμασιν οἱ ex Leid. inseruit Valken. — 3) Κατατεμοῦσα, sic Leid., ed. Κατεμοῦσα — 4) πόλιν, ed. πάλιν. — 5) ἀποδασμὸν, cod. ἀποδεσμὸν. 6) ὁ Ἀριστείδης, Ap. ὁ Ἀριστοτέλης, errore ex compendiorum similitudine exorto; sic Ἀριστείδης, Ἀριστοτέλης, Ἀριστοφάνης, Ἀριστοκλῆς, Ἀριστομένης inter se confusa, similia apud Bast. comm.

Digitized by Google

ἑαυτοῦ τρόπον τῆς ἐξετάσεως δικαιότερον ἀποφαίνεται τοῦ Πλάτωνος, ἐκ τοῦ βίου τοῦ Περικλέους τὴν ἀπόδειξιν ποιούμενος.

Τὰ μὲν] In marg. Schell. *Τὰ μὲν τῇ φωνῇ, τὰ δὲ διὰ παραδείξεως.* 243, B.

Οὕτω καὶ] Ibid. *Ἐξ ὧν δῆλον ἔλεγε διδάσκων καὶ ἐξ ὧν εἰργάζετο, μὴ ἐξ ὧν διεβάλλετο.* ib.

Ὑφεικότας] Apogr. Mon. *Ὑφεικότας λέγει ἀντὶ τοῦ προτείναντας ἀπὸ μεταφορᾶς τῶν μεταιτῶν, ὡς καὶ Δημοσθένης· σὺ δὲ ἐκεῖ προτείνας καὶ ὑποσχών.* 244, C.

Φέρε δὴ καὶ] Schol. ed. *Ἐντεῦθεν τῶν ἐπιλόγων ἄρχεται ποιούμενος ἀνακεφαλαίωσιν, ὡς εἴρηκε.* 245, A.

Συγκεφαλαιωσώμεθα] In marg. Schell. *Ἀθρόον καὶ ὡς ἐν ὀλίγῳ πάνθ' ὁμοῦ περιληψόμεθα* (ante *περιληψώμεμεθα*, corr. man. rec.) 245, B.

Ἤ γὰρ ὄναρ λέγεις ἢ γρίφον ἢ (Jebb. *ἦ*) *οὐκ ἔχω τί* (Jebb. *τὶ*) *φῶ*] Mon. et Leid. *Ἀμφότερα*[3] *ψευδῆ, καὶ τὸ ὄναρ καὶ τὸ γρίφος· γρίφος δέ ἐστιν, οὐχ ὡς ἔνιοί φασι ταὐτὸν*[3] *τῷ αἰνίγματι· διαφέρουσι γάρ, ὅτι τὸ μὲν αἴνιγμα ὁμολογεῖ τις ἀγνοεῖν, τὸν δὲ γρίφον ἀγνοεῖν*[4] *δοκῶν ἐπίσταται· οἷον αἴνιγμα μέν ἐστι τὸ Τί δίπουν,*[5] *τί τρίπουν, τί* 245, C.

pal. p. 798. *Ἀριστείδης* autem h. l. legi debere, ex ipso Aristide patet, quem lege. — 1) *Ὑφεικότας* subl. Valk. — 2) Verba haec, *Ἀμφότερα ψευδῆ καὶ τὸ ὄναρ καὶ ὁ γρῖφος* desunt in Mon., id quod Werf. punctis indicavit. Edidit Creuz. in Melet. I, p. 86. — 3) *ταὐτὸν*, Mon. *ταυτὸν*, Creuz. *τὸ αὐτὸ* ex Leid. — 4) *ἀγνοεῖν δοκῶν ἐπίστασθαι*, secutus sum lectionem codicum, quorum alter (Mon.) hanc praeterea lectionem ferebat: *ἀγνοεῖ δοκῶν ἐπίστασθαι*, testante Werfero, quae lectio non nihili existimanda est: griphum etenim aliquis et *ἀγνοεῖν δοκῶν* dici potest *ἐπίστασθαι*. Quid? quod septem *γρίφων* genera recensuit Clearchus (schol. ad Vesp. 20)? Cujus qui supersunt griphi *ἀνήρ τε κοὐκ ἀνὴρ* in schol. ad Plat. p. 167 ed. Ruhnk., eos in suos modulos coegit Broenst. epp. Paris. p. 132, Brunck. ad Anal. III, p. 308. Antiphanis scirpum vide in Vales. not. ad Mauss. in Harp. p. 216, Athen. X, 452. cf. Spanh. ad Nub. 445. Lectio *ἀγνοεῖ δοκῶν ἐπίστασθαι* ex iis praeterea defendi potest, quae statim adduntur: *ἐνταῦθα δοκεῖ μὲν εἰδέναι τὸ ῥηθὲν, ἀγνοεῖ δὲ ὅτι κ. τ. λ.* — 5) *Τί δίπουν κ. τ. λ.* Brunck. Anal. III, p. 321.

Digitized by Google

τετράπουν; ἐνταῦθα δὲ δῆλον τὸ ἐρώτημα· γρῖφος δὲ, οἷον Ἕκτορα τὸν Πριάμου Διομήδης ἔκτανεν [1] ἀνήρ.

Ἐνταῦθα δοκεῖ μὲν εἰδέναι τὸ ῥηθὲν, ἀγνοεῖ δὲ ὅτι Διομήδης ἀνὴρ ἦν Ἀχιλλεύς, ἐκείνην γὰρ ἔσχε μετὰ τὴν Βρισηΐδα· ὅθεν καὶ τὸ, ὃν οὐκ ἔκτεινε Διομήδης, ἔκτεινεν ἀνὴρ Διομήδης.

246, B. Πλάτων εἶπε] Schol. ed. Ταῦτα γὰρ πάντα Πλάτων ἐν τοῖς νόμοις εἴρηκε.

246, C. Ἀφ' ἑστίας ἀρξάμενος [2]] Id. Παροιμία ἐπὶ τῶν ἐξ ἀρχῆς χρηστῶν ἢ φαύλων λεγομένη, ὥσπερ καὶ τὸ ἀπὸ γραμμῆς· καλῶς δὲ προσέθηκε τῆς αὐτῆς αὐτοῦ, ἵνα δείξῃ ὅτι καὶ ἐκ φύσεως τοιοῦτος ἦν.

247, A. Ἢ τίνα χρῆν] Id. Τοῦτο λέγει, ὡς εἴ τις ἐμέμψατο Πλάτωνι, ὡς οὐ καλῶς νενομοθετηκότι, πῶς τὶς ἂν ὑπὲρ αὐτοῦ τὸν Περικλέα πρυτάνευε, λέγων, ὡς ἃ Πλάτων ὕστερον ἐνομοθέτησε, ταῦτα Περικλῆς ἐπὶ τοῦ βίου πᾶσιν ἔδειξεν; [3] οὐκοῦν ἐπειδὴ Περικλῆς χρηστός, καὶ Πλάτων ἀγαθὸς νομοθέτης.

247, B. Οὐδὲ βουλομένοις] Id. Τὰ τέκνα γὰρ πωλοῦντες οἱ νησιῶται ἐτέλουν.

248, A. Τοὺς ἄνδρας] Apogr. Mon. Τοῦτο [4] λέγει, ἐπειδὴ Θουκυδίδης εἶπεν, ὅτι τοῖς Λακεδαιμονίοις πρεσβευομένοις οὐκ ἐβούλοντο τοὺς ἄνδρας παρασχεῖν.

ib. Καὶ Πύλον] Schol. ed. Ἡ τῆς Σφακτηρίας καὶ Πύλου πόρθησις ἀποθανόντος Περικλέους ἐγένετο.

248, B. Τῶν ὑπαρχόντων ἀποστῆναι] Apogr. Mon. Ἀποστῆναι [5] ἀντὶ τοῦ ἀποστερηθῆναι· οὕτω καὶ Δημοσθένης, τῶν ἀρχαίων ἀπέστησαν (816, 15.)

1) ἔκτανεν, Leid. ἔκτειν', Mon. ἔκτινεν, illud recepi secutus Brunckium Anal. III, p. 283. nro DCXXI. ubi pentameter additur Αἴας πρὸ Τρώων ἔγγεϊ μαρνάμενον.
cf. p. 282, nro DCXX. — 2) Ἀφ' ἑστίας κ. τ. λ. scholion, quod memorat Erasm. Chil. I, cent. VI, p. 225., idem esse videtur. 3) ἔδειξεν, post hanc vocem posui signum interrogationis, cum manifeste haec sint interrogantis. — 4) τοῦτο λέγει κ. τ λ. Mon. sic: τοῖτο λέγει ἐπὶ δὲ Θουκυδίδης εἶπεν, ὅτι Λακ. πρεσβευομένοις οὐκ ἐβ. κ. τ. λ. cf. Thucyd. IV, 16 seqq. — 5) Ἀποστῆναι ἀντὶ κ. τ. λ. Werf. ex Ap. Mon. haec κοινὴν εἰρήνην transscripserat.

Digitized by Google

Ἢ τῆς μὲν Ἀριστείδου] Schol. ed. Τοῦτο λέγει, ὅτι Πλάτων ἐθαύμασε τὸν Ἀριστείδην διὰ τὴν ἐπωνυμίαν. 249, A.

Ὅτι γὰρ οὐκ ἀτιμαστέον] Id. Ἐπειδήπερ τὸ πλῆθος Ὀλύμπιον τὸν Περικλέα ἐκάλεσαν· ἔστι δὲ ἡ τῶν πολλῶν ψῆφος οὐ πολλοῦ τινος ἀξία, ἵνα μή τις ἀντιπέσῃ τῷ ῥήτορι, λύει τὸ ἀντιπίπτον διὰ τῆς τοῦ Πλάτωνος μαρτυρίας. ib. 250, A.

Ὡς ἂν ἡμεῖς] Id. Τὸ ἡμεῖς λέγει διὰ τοὺς ῥήτορας, οὗτοι γὰρ τότε μεγίστην τὴν πόλιν καλοῦσιν, ὅτε δυνατή ἐστιν ἐν πολέμοις καὶ τῶν ἐχθρῶν ὑπερέχει· οἱ δὲ φιλόσοφοι, ὅτε δικαιοπραγεῖ κἂν καὶ τῶν πολεμίων ἥττων ᾖ. Τὸ δὲ οὐδέν γε τοῦτο βλάβος τῷ λόγῳ λέγει, ἐπειδὴ εἶπεν ἄν τις αὐτῷ, ὡς εἰ καὶ δυνατὴ ἐν πολέμοις ἦν, ἀλλ' οὐκ ἐδικαιοπράγει, πρὸς τοῦτο οὖν ἀπολογούμενος λέγει, ὡς μὴ τοῦτο νῦν λογισώμεθα, ἀλλ' ὅτι οἱ οὕτως ἔχοντες μέγα φρονοῦσιν.

Ἐπαθόν τι Ὁμηρικόν] Sch. ed. Ὅμηρος γὰρ τοὺς προὔχοντας τῶν ἡρώων, τὸν μὲν Διῒ μήτιν ἀτάλαντον, τὸν δὲ Θεοείκελον, τὸν δὲ ἄλλοτι τοιοῦτον. 250, C.

Καὶ οὐκ οἶδ' ὅτῳ τῷ τρίτῳ] Id. Σάραμβον τὸν κάπηλον λέγει, οὗ διὰ τὸ εὐτελὲς, ὥσπερ ἐκὼν ἐπιλανθάνεται· ἔθος γὰρ τοῦτο ῥητορικόν, τὰ εὐτελῆ τῶν προσώπων δοκεῖν ἀγνοεῖν. Hardt. ex Cod. Mon. CXXIII. hoc schol. legi prodit: Οὐκ ἔχω γὰρ τὸ ὄνομα. 251, A.

Digitized by Google

ΚΙΜΩΝ.[1]

251, A. Ἀλλὰ νὴ Δία, ὁ Κίμων] Sch. ed. Ῥητορικῶς[2] τὴν ἀρχὴν ἐποιήσατο, ἐκ προοιμίου αὔξων τὰ τοῦ Κίμωνος· ἔστι δὲ τὸ σχῆμα κατ' ἦθος.

251, C. Βουλόμην δ' ἄν] Id. Οὐκ εἶχον εἰπεῖν περὶ Κίμωνος πλεῖστα ἐγκώμια. Δεινῶς περιστέλλει τὴν ἀπορίαν τῷ σχήματι τοῦ προοιμίου οὐκ ἔχων μὲν εἰπεῖν κατὰ ἀλήθειαν, τάχα δὲ παραιτούμενος διὰ τὴν αἰδῶ τὴν πρὸς Πλάτωνα.

ib. Ἐξ οὐρίας] Cod. Leid. Εἰπὼν τὸ ἐξ οὐρίας[3] ἐπήγαγε τὸ ὑφιέμην ἀπὸ μεταφορᾶς τῶν χαλώντων τὰ ἱστία.

252, A. Μηδὲν ἀπηχὲς] Ap. Mon. Ἡ λέξις[4] κατὰ μεταφορὰν εἴρηται ἀπὸ τῶν μελῶν· δηλοῖ δὲ τὸ ὑβριστικὸν καὶ ἔξω τοῦ καλοῦ καὶ τραχύτερον εἰς ἀκοὴν καὶ οἷον τοῦ ῥυθμοῦ καὶ μέλους καὶ τοῦ τεταγμένου παρηλλαγμένου καὶ ἐκπεπτωκότος.[5] Δείναρχος μέμνηται τῆς λέξεως ἐν τῷ πρὸς Κηφισοκλέα· ἀπηχὲς οὖν ἀντὶ τοῦ ἄμουσον καὶ ἄφθογγον. Sch. ed. Τὸ ἀπηχὲς εἴρηται ἐκ μεταφορᾶς τῶν μελῶν· ἔστι δὲ τὸ ὑβριστικόν.

252, B. Μέχρι πόῤῥω τῆς ἡλικίας[6] Schol. ed. Δημοσθενικῶς ἐπιχειρεῖ λέγων τὸ ἔλαττον ἀτύχημα τὴν εὐήθειαν ἵνα ἐν-

1) *Κίμων* — ita ex Cod. Leidensi (enot. Valken.), Schell. Coll. Nov. et C. Mon. CXXIII recepi, cum Codex. Mon. CCXLIX *Τπὲρ Κίμωνος*, Cod. Aug. CCCCXXXII *Ἀριστείδου Κίμων*, Phot. in eclogis *ἐκ τῶν περὶ Κίμωνος* — Jebbius scholiis ipsis praeposuit: *Τῶν ὑπὲρ Κίμωνος σχολίων*, de quibus supra in praefat. — 2) *Ῥητορικῶς κ. τ. λ.* Ita incipit schol. in Cod. Mon. CXXIII. *ῥητορικῶς τὸ χωρίον κ. τ. λ.*, sublineavit quoque Valken. — 3) *Εἰπὼν τὸ ἐξ οὐρίας*, depromserat ex C. Leid. hoc scholion Valken. ad Herodot. VII, 162, ubi de *ὑφίεσθαι* exponit. cf. ad Aristoph. Ran. 1251. Eundem lege de *ἐξ οὐρίας* et similibus docentem ad reliq. Eurip. p. 233. — 4) *Ἡ λέξις κ. τ. λ.* sublineavit Valken. — 5) *παρηλλαγμένου καὶ ἐκπεπτωκότος*, magis arrideret *παρηλλαγμένον καὶ ἐκπεπτωκός*. — 6) *Μέχρι πόῤῥω τῆς ἡλ.* hoc schol. in Cod. Leid. item legitur.

Digitized by Google

τεῦθεν τὸ μεῖζον κρύψῃ, τὴν προσοῦσαν τοῖς ῥήτορσι κολακείαν καὶ κομψότητα. Ἐπειδὴ γὰρ τοὺς μὲν φραγμοὺς τῶν ἀγρῶν ὑπανεφύγνυ[1] τοῖς βουλομένοις ὀπωρίζεσθαι,[2] τὴν δὲ οἰκίαν τοῖς ἀριστεῖσθαι αἱρομένοις, μέχρις[3] τεσσαράκοντα ἐτῶν διετέλεσεν, ἐπιτροπευόμενος διὰ τὸ εὔηθες καὶ ἀφελὲς τῶν τρόπων.

Ἀρχαῖον[4] ἦγοῦντο] Apogr. Mon. Ἀντὶ ἀφελῆ. Δημοσθενικὴ δὲ ἡ λέξις, εἴρηται δὲ ἐν Φιλιππικοῖς· νῦν δὲ[5] ἀρχαιότροπα ὑμῶν τὰ ἐπιτηδεύματα· καὶ πάλιν, οὕτως ἀρχαίως εἶχον, μᾶλλον δὲ πολιτικῶς. (Philipp. III, 132.) 252, C.

Ἀλλὰ καὶ παρὰ[6] Λακεδαιμονίοις] Sch. ed. Κατὰ τὸ[7] ἀληθὲς ἐλακωνίζεν ὁ Κίμων, ὥστε καὶ τὸν υἱὸν αὐτοῦ προσαγορεῦσαι Λακεδαιμόνιον, ὡς Θουκυδίδης[8] ἐν τῇ πρώτῃ, Λακεδαιμόνιος τε ὁ Κίμωνος. Ὁ δὲ Ἀριστείδης ἐκάλυψεν αὐτὸ, εἰπὼν ὅτι διὰ τὴν ἀρετὴν, ἣν εἶχε, οὐ μόνον παρὰ Ἀθηναίοις, ἀλλὰ καὶ παρὰ Λακεδαιμονίοις ἐθαυμάζετο. Λακεδαιμονίοις δὲ οὐχ ἁπλῶς εἶπεν, ἀλλὰ διὰ τὸ χαίρειν αὐτοῖς Πλάτωνα· πανταχοῦ γὰρ μετὰ τὴν αὐτοῦ τὴν Λακεδαιμονίων ἐπαινεῖ πολιτείαν. 252, D.

Εἰ μὲν γὰρ ἅπαντα[9]] Sch. ed. Εἰς ἄτοπον ἐπάγει τὸν λόγον· οὐχ ὅτι τοῦτο ἔλεγε Πλάτων, ὅτι ταῦτα διακονία, ἀλλ' ὡς τοῦτο αὐτὸ κατασκευάζοντος, τῷ λέγειν περὶ τῶν τεσσάρων τούτων, ὅτι διάκονοι ἦσαν. 253, A.

Ἀρχὴν ἐπέτειον[10]] Apogr. Mon. Τὴν ἐνιαύσιον· καὶ 253, B

1) ὑπανεφύγνυ, Jebb. non subscripsit ι. — 2) ὀπωρίζεσθαι, sic Valk. ex Leid., ed. ὀπαρίζ. — 3) μέχρις τεσσ., ed. μέσως τεσσ. — 4) Ἀρχαῖον, sublin. Valk. — 5) νῦν δὲ, haec ex Thucyd. I, 71., altera ex Dem. — 6) Ἀλλὰ καὶ παρὰ (Werf. ex Ap. male περὶ) Λακεδ.; usque ad ὁ Κίμωνος leguntur in Ap., plura desiderari, innuunt puncta, has voces ὁ Κίμων excipientia. — 7) κατὰ τὸ, Ap. κατὸ τὸ — ἐλακωνίζεν, ita Ap. et Leid., ed. ἐλακώνισεν. — 8) Θουκυδίδης I, 45., unde Λακεδαιμόνιον et Λακεδαιμόνιος recepi pro Λακεδαίμονα, et Λακεδαιμόνων, quae erant in ed. — 9) Εἰ μὲν γὰρ ἅπαντα, scholio proxime antecedenti attexuerat Jebbius; separanda esse et vidit et ex Cod. Leidensi indicat Valken., qui plura item in Leid. legisse videtur, cum in fine scholii adposuerit: et cett. et cett. — 10) Ἀρχὴν ἐπέτειον, subl. Valken.

Digitized by Google

Δημοσθένης,[1] ὁ δὲ νόμος ἐπέτειια κελεύει τὰ τῆς βουλῆς εἶναι ψηφίσματα.

253, C. Μὴ ἄρχειν μᾶλλον] Sch. ed. Τοῦτο τὸ ἀπαρέμφατον οὐκ ἔστι πρὸς τὴν ἐπανάληψιν, ἀλλ' αὕτη μέν ἐστι διὰ μέσου, τοῦτο δὲ πρὸς τὰ ὄπισθεν[2] αὐτῆς ἀπαρέμφατα ἀποδίδοται.

ib. Τὸ τοῦ κωμῳδοποιοῦ] Apogr. Mon. Ὁ γὰρ[3] Κωμικὸς σχετλιάζων τοῦτο εἰσάγει, ὅτε Ἀριστοφάνης καὶ ὁ Μένανδρος.

254, B. Τῶν ἐναντίων πραγμάτων] Sch. ed. Τὸ πραγμάτων εἶπε δι' ἄμφω ταῦτα, τήν τε δουλείαν[4] καὶ τὴν ἀρχήν· τὸ δὲ πράγματος, ἐπειδὴ ἓν ἕκαστον τούτων τοτὲ μὲν ἀρχή, τοτὲ δὲ δουλεία, ὡς ἔδειξεν, ἀποκαθίσταται.

ib. Τἀναντία τοῦ πράγματος] Phot. Τοῦ πράγματος εἶπε, δεινῶς· ἐπειδὴ ἓν καὶ ταὐτὸν εἶναι τὴν ἀρχὴν καὶ τὴν δουλείαν κατεσυλλογίσατο.

254, C. Μήτε οἰκέται] Apogr. Ἐνταῦθα οὐ λέγει δούλους· ἀνόητον γὰρ τοῖς μεγάλοις οὕτω τάξαι τοὺς οἰκέτας, ἀλλ' ὡς Ξενοφῶν[5] τοὺς οἰκείους οὕτως ἐκάλεσεν.

255, C. Τὴν τυραννίδα συντελεῖν] Sch. ed. Τυραννίδα τὴν βασιλείαν ἐνταῦθα καταχρηστικῶς λέγει· διότι γὰρ ὁ νόμος σκληρὸς, δεῖται τυραννίδος,[6] εἰς τὸ ἀναγκάσαι πεισθῆναι αὐτῷ.

256, C. Οὐδ' ἐν Καρῶν σχήματι] Id. Πρῶτοι γὰρ παρὰ[7] βαρβάροις Κᾶρες ἐμισθοφόρησαν, παρὰ δὲ Ἕλλησιν Ἀρκάδες.

257, B. Τῆς ἀκινδύνου ταύτης] Id. Ἀκινδύνου λέγει ἢ ὡς καλήν, ἢ ὡς γραφεῖσαν μόνην καὶ οὐκ εἰς ἔργον[8] προχωρήσασαν, ἢ πολιτείας λέγει τὴν τοῦ Πλάτωνος διαγωγήν.

257, C. Εἰς πᾶν ἐλθεῖν[9]] Apogr. Mon. Ἀντὶ τοῦ[10] περὶ παν-

1) Δημοσθένης p. 649, 16. — 2) ὄπισθεν, ed. ὄπιθεν. — 3) Ὁ γὰρ κ. τ. λ. subl. Valken. — 4) δουλείαν, ed. δειλίαν. — 5) Ξενοφῶν, ex. gr. Cyrop. IV, 2, 2. alibi, usurpant et reliqui scriptores, quos nunc laudare non attinet. — 6) δεῖται τυραννίδος κ. τ. λ. editus sch. ita: δεῖται τυραννίδος· εἰ τὸ κ. τ. λ. — 7) Πρῶτοι γὰρ παρὰ κ. τ. λ., legitur in Leidensi et Palatino; ex Palat. post πρῶτοι inserui γάρ. — 8) οὐκ εἰς ἔργον, ed. οὐχ. — 9) Εἰς πᾶν ἐλθεῖν subl. Valk. nonnihil edidit ad Her. VII, 118. — 10) Ἀντὶ τοῦ, Mon. αὐτοῦ, cf. Bast. comm. pal. p. 929. De ipsa locutione εἰς πᾶν ἐλθεῖν, ἐν παντὶ εἶναι, εἰς πᾶν ἀφικνεῖσθαι, vid. Aristoph. Lys. 543. (ubi ἐπὶ πᾶν ἴέναι), Heind. ad Euthyd. p. 599.

Digitized by Google

τοὺς κινδυνεῦσαι· λέγει δὲ βίον, λείπει δὲ κινδύνου· τὴν δὲ ἱστορίαν ἔχεις παρὰ Θουκυδίδῃ [1] ἐν τῇ ά, ὅτε Εἵλωτες εἰς Ἰθώμην ἀπέστησαν.

Ἔσωσε τὴν πόλιν] Schol. ed. Τοῦτο παρ' ἱστορίαν· ἐλθὼν γὰρ ὑποπτεύθη καὶ ἄπρακτος ἀπῆλθεν οἴκαδε. 258, A.

Καὶ ἅμα συμμάχους] Id. Συμμάχους Λακεδαιμονίους καλεῖ, ἐπειδὴ σὺν αὐτοῖς ἐπολέμησαν τῷ Πέρσῃ Ἀθηναίοις. 258, B.

Ἐν τῇ ὑπερορίᾳ] Id. Καλῶς [2] εἶπεν ἐν τῇ ὑπερορίᾳ· τὰ γὰρ Θεμιστοκλέους μείζονα ἦν, [3] ἀλλ' ἐν τῇ Ἀττικῇ γενόμενα. ib.

Ἀλλ' ὃ [4] ποιηταὶ κ. τ. λ.] Id. Διαφόρως κατασκευάζει τοῦ πολέμου τὸ δίκαιον, καὶ ὅτι ἀμυνόμενος αὐτὸν [5] ὁ Κίμων ἐπεξῆλθε? καὶ ὅτι [6] πᾶσαν τέχνην δείκνυσιν ἐπαινοῦσαν [8] τὸ πραχθέν. Ὅμηρος (Iliad ω, 369.) 259, A.

Ἄνδρ' ἐπαμύνασθαι, ὅτε τις πρότερον χαλεπήνῃ. [9]

Σόλων· [10] ἐὰν τὸν ἄγοντα βίᾳ ἀδίκως τὰ σὰ εὐθὺς

Aristid. t. I, p. 278. 312. 344. Sed in Aristid. I, p. 474. ἐπὶ πᾶν ἀφικνεῖσθαι est summa rerum potiri. Huc ponam, quae supra erant ponenda. F. Ursin. ad poet. lyr. p. 220 ad Tyrtaeum: Καὶ τὰ τελευταῖα Κίμωνος εἰς Ἰθώμην ἄφυξις καὶ Τυρταίου πρὸ Κίμωνος εἰς Σπάρτην etc. Οὗτος ὁ ποιητὴς ὃς ἐλθὼν εἰς Σπάρτην ὀλίγον πρὸ Κίμωνος λαβὼν μέλη τινὰ παρώξυνε Λακεδαιμονίους εἰς πόλεμον. Scholiastes in Aristidis Panathenaicum ά. Hactenus Ursinus. Illa autem καὶ τὰ τελευταῖα κ. τ. λ. neque in Panath. neque in Cimone leguntur; videntur igitur scholiastae esse et pertinere ad ea, quae memorat Aristides Panathen. p. 157. ed. Jebb. — 1) παρὰ Θουκ. I, 101. — 2) Καλῶς εἶπεν κ. τ. λ. leguntur item in Leid. — 3) ἦν ed. ἦν. — 4) Ἀλλ' ὃ ποιηταὶ, Jebbius praefixerat καὶ προεθυμήθησαν, corr. Valk. qui ex Cod. sublineaverat καὶ πάντες κελεύουσιν. Ex Leidensi vero multis ex partibus Valk. hoc schol. adauxit. — 5) αὐτὸν ins. Valk. et Mon. — 6) καὶ ὅτι κ. τ. λ. sic Valk. ex Leid. et Mon., ed. καὶ ὅτι πᾶσα τέχνη ἐπαινεῖ τὸ πραχθέν. Illa πᾶσα τέχνη, vel ut alibi legitur πάσῃ τέχνῃ proverbium sapit, cf. Aristoph. Eccles. 366. 540. Lys. 413. Thesm. 65. πάσαις τέχναις vrs. 272. μιᾷ τέχνῃ 431. cf. Casaub. ad Eq. 593. sic πασῇ μηχανῇ, Lys. 302. Anton. Liberal. XII, p. 102. ed. Munckerus. Dem. adv. Tim. p. 136, ed. S. — 7) ἐπεξῆλθε, Mon. ἐπεξ., ed. ἐπεξ., silet Valken. — 8) ἐπαινοῦσαν, et Leid. et Mon. ἐπαινῶσαν. — 9) Ἄνδρ' ἐπαμ., ed. ἀνδρὸς ἐπαγκίνασθαι κ. τ. λ. reliqua paullo ab ed. Wolf. recedunt. — 10) Σόλων κ τ. λ. ed. τὸν ἄγοντα βίᾳ τὰ σὰ, εὐθὺς ἀμυνόμενος κτεῖναι, Leid. et Mon. consentiunt in iis, quae exhibui, sed Mon. τἀμὰ, Leid. τὰ μὰ, illa ἢ ὡς πένητα γνῶναι ex Mon. dedi, ex Leid. non enotavit Valken. Legitur haec Solonis lex apud Demosth. advers. Aristocr. p. 22. ed. Schaef.

Digitized by Google

ἀμυνόμενος κτείνῃ, ἢ ὡς πέντητα γνῶναι. Καὶ παροιμία,[1] τὸν ξύοντα ἀντιξύειν· καὶ ὡς Δημοσθένης, ἀμύνασθε[2] τὸν εἰς ὑμᾶς ἄρξαντα, καὶ, ἐγὼ[3] δὲ οὐκ αὐτὸς ἄρχω, ἀλλ' ἀμυνόμενος.

ib. Ἀλλ' ὡς ἂν τις] Schol. ed. Δυσὶ κεφαλαίοις χρῆται, δικαίῳ καὶ συμφέροντι· εἰπὼν οὖν τὸ δίκαιον, εὐθέως ἐπάγει τὸ συμφέρον· ἰστέον δὲ, ὅτι τὸ δίκαιον μὲν ἀπὸ τῶν παρῳχομένων, τὸ δὲ συμφέρον ἀπὸ τῶν μελλόντων δείκνυται.

261, B. Ἐπ' αὐταῖς Πύλαις,[4]] Apogr. Mon. Οὕτω καλεῖται ὁ τόπος ὁ μεταξὺ Θετταλίας καὶ τοῦ Πηνειοῦ· ὅθεν καὶ παροιμία ἐπὶ τῶν κινδύνων, ἐν ταῖς Πύλαις μάχη.

261, C. Τῷ φόβῳ τοὺς Ἕλληνας] sic Cant. Schell. Apogr. Mon. et Phot., Jebb. τῶν Ἑλλήνων)] Apogr. Mon. Τὸ σχῆμα ἐλλειπτικόν· ἔστι δὲ Δημοσθενικόν,[5] φησὶ γὰρ ἐκεῖνος, Τεθνᾶσι τῷ δέει τοὺς ἀποστόλους, ἀντὶ τῶν ἀποστόλων, τῷ φόβῳ οὖν τοὺς Ἕλληνας ἀντὶ φόβῳ τῶν Ἑλλήνων. Phot. Δημοσθενικὸν τὸ ἐπιχείρημα, ἔφη γάρ, Τεθνᾶσι (in marg. τεθνάναι) τῷ δέει τοὺς ἀποστόλους, τῷ δὲ φόβῳ τοὺς Ἕλληνας ἀντὶ τοῦ τῷ φόβῳ τῶν

Καὶ ἐὰν φέροντα ἢ ἄγοντα βίᾳ ἀδίκως, εὐθὺς ἀμυνόμενος κτείνῃ, ποιεῖ τεθνᾶναι. Ex ultimis his forte illa *ἢ ὡς π. γν.* manarunt. Illa *τἀμὰ* vel *τὰ μὰ* videntur esse debere *τὰ σὰ*. — 1) *καὶ παρ.*, *καὶ* in ed. desideratur — itemque *καὶ ὡς*. — 2) *ἀμύνασθε*, ed. *ἀμύνασθαι*. — 3) *καὶ ἐγὼ κ. τ. λ.* ex Mon. et Leid. addidi. — 4) *Ἐπ' αὐταῖς Πύλαις κ. τ. λ.* Apogr. M. incipit ab *ὅθεν καὶ παροιμία*, reliqua ex editis praemisi. Lacunam in Mon. puncta indicant. — 5) *Δημοσθενικὸν*, Philipp. I, 58. ed. Schaef. ubi hodie *διὰ* ab imperita librariorum turba facile ex praeced. *δέει* intrusum est. Rarius autem dicendi genus in hoc quoque Aristidis loco, quem subl. Valk. oblitteratum est. Plat. Cratyl. p. 173. ed. H. *ἀκολουθία τοῖς πράγμασιν*, Theaetet. p. 400 *ὁμοίωσις τῷ Θεῷ*, quem locum et recentiores et antiqui scriptores passim expresserunt — Phaedon. p. 177. *πρόσθεσις τοῦ ἑτέρου τῷ ἑτέρῳ*, cf. Heind. ad Phaedon. p. 142. et quos laudat. De *ἀπαλλαγὴ* c. Genit. ad Phaedon. p. 219. Aeschyl. Prom. 617. *δοτὴρ βροτοῖσι*, ibiq. intt. De Latinis cf. Gron. et Drak. ad Liv. XXIII, 35 §. 7. Davis. et Oudend. ad Caes. de B. G. I, 5. Hebraeorum hunc modum loquendi fuisse, vide Simon. lex hebr. s. v. יָרֵא p. 426. Hebraeismos hinc inde redolere sermonem graecum, vid. Ernest. ad Nub. 356.

Digitized by Google

Ἑλλήνων. Ἢ ὅτι κατέπτηξαν τοὺς Ἕλληνας οὕτως, ὡς ἐγγὺς τοῦ τεθνᾶναι γενέσθαι.

Καὶ τῆς κάτω χώρας [1]] Schol. ed. *Τῆς παραθαλασσίας· λέγει δὲ τὴν Ἰωνίαν.*

Συνεχώρησεν Λακεδ.] Id. *Τὴν εἰρήνην λέγει τὴν ἐπὶ* 621, C.
Ἀνταλκίδα [2] *γενομένην, ὥστε τοὺς οἰκοῦντας τὴν Ἀσίαν Ἕλληνας δούλους εἶναι τοῖς βαρβάροις· οὕτω γὰρ τότε Λακεδαιμόνιοι παρεχώρησαν.*

Ἐμπειρία] Id. *Ἐμπειρία* [3] *ἐστιν* [4] *ἡ μετὰ πλήθους* [5] 261, D.
χρόνου ἀπὸ τῶν πραγμάτων εἴδησις, ἕξις δὲ μόνιμος, καθ' ἣν ἔχομεν πρὸς τὰ πάθη, ἢ [6] *εὖ ἢ κακῶς, ὡς φησιν Ἀριστοτέλης.*

Ἀσελγαίνοντας] Id. *Ἀσελγεῖς* [7] *ἐκάλουν οἱ παλαιοὶ τοὺς* 262, B.
ἑτοίμως ἔχοντας πρὸς ἅπασαν ἡδονήν· Σελγοὶ γὰρ ἔθνος εἰσὶ σωφρονέστατον, ἀπὸ τῆς Σέλγης καλουμένης χώρας, ἔστι δὲ πόλις Παμφυλίας· ἀσελγεῖς οὖν ἐντεῦθεν οἱ μὴ σώφρονες· ἔστι δὲ ἡ λέξις καὶ ἐν τῷ κατὰ Μειδίου· [8] *ἐπὶ δὲ* [9] *τοῦ αὐτοῦ νῦν τὴν ἀσέλγειαν καὶ τὴν ὕβριν ἔλαβεν.*

Καὶ ὅ φησιν Ὅμηρος] Schol. ed. *Φησὶ γὰρ* (Iliad. 262, C.
V, 530)·

Ἀλλήλους τ' αἰδεῖσθε κατὰ κρατερὰς ὑσμίνας. [10]

Τῆς τοῦ πάντος ἐπωνυμίας] Ap. M. et Leid. *Θεόπομπος*[11] 263, A.

1) *τῆς κάτω χώρας*, integrum hoc schol. sublin. Valken. — 2) *Ἀνταλκίδα*, ed. *Ἀνταλκίδει*, alii *Ἀνταλκίδου*. — 3) *Ἐμπειρία*, sic ed., Ap. Mon. in quo hoc schol. continetur, *ἐμπορία*. — 4) *ἐστιν*, Mon., ed. *ἐστι*. — 5) *πλήθους*, Mon., ed. *πλείθους*. — 6) *ἢ εὖ ἢ κακῶς*, Mon., ed. *εὖ ἢ κακῶς*, omissis etiam *ὡς φ. Ἀρ.*, quae Monacensi debentur. — 7) *Σελγοὶ γὰρ κ. τ. λ.*, sic auctor Etym. M. s. v. *Ἀσελγεῖς*, ubi expressit h. schol. Multo diversa s. v. *Ἀσελγὴς*, alios opinor auctores secutus aut h. l. temporum injuria male habitus. — 8) *ἐν τῷ κατὰ Μειδίου*, init. — 9) *ἐπὶ δὲ τοῦ αὐτοῦ κ. τ. λ. ἔλαβεν* sc. Aristides, qui, licet particulis *οὐκ ἀσελγ., οὐδὲ ὑβρ.* usus, juncta tamen *ἀσέλγειαν* et *ὕβριν* usurpavit Demosthenem imitatus. — 10) *Ἀλλήλους τ'*, *τ'*, aberat ab ed. — 11) Egregium hoc Theopompi fragm. ex Leidensi Creuzerus cum Marxio, Ephorum edituro, communicavit, cf. ad fragm. Eph. p. 224. Theopompus autem ad calcem libri X de Atheniensium demagogis accurate egit, cf. Athen. IV, 161. p. 146. ed. Schw. (Valk. Diatr. p. 254), ubi item de *Eubulo*, cf. Vales. ad Harp. p. 80., de *Callistrato* Harp. s. v. *Σύνταξις*, de ipso Cimone, Ath. XII, 44. p. 479., de *Hyperbolo*, Sch. Luciani Tim. c. 30, p. 100.

Digitized by Google

ἐν τῷ ί [1] τῶν Φιλιππικῶν περὶ Κίμωνος· οὐδέπω δὲ πέντε ἐτῶν παρεληλυθότων πολέμου [2] συμβάντος πρὸς Λακεδαιμονίους ὁ δῆμος μετεπέμψατο τὸν Κίμωνα, νομίζων διὰ τὴν προξενίαν ταχίστην ἂν αὐτὸν εἰρήνην ποιήσασθαι· ὁ δὲ παραγενόμενος τῇ πόλει τὸν πόλεμον κατέλυσε. Τὸ δὲ γενόμενον τῇ πόλει ἀντὶ τοῦ ἁρμόττον, [3] μέρος γὰρ τοῦ παντὸς αἱ Ἀθῆναι· μέρος οὖν τοῦ κόσμου παρελάβοντο αὐταῖς ἀποχρῶν· τοῦ παντὸς δὲ, τουτέστι τοῦ κόσμου· μιμητὴν δὲ αὐτὸν λέγει τοῦ κόσμου γενόμενον.

ib. Νὴ Δία, ἀλλ' ἐξωστράκισαν] Id. Οὐ γὰρ ἦν ἔγκλημα ἐξοστρακισμὸς, ὡς ἔγνωμεν ἐν τῇ πεντηκονταετίᾳ Θουκυδίδου περὶ Θεμιστοκλέους, ἀλλὰ διὰ φόβον τῆς γνώμης γενόμενος καὶ τοῦ φρονήματος ἀνδρῶν. Φησὶ δὲ ὁ αὐτὸς συγγραφεὺς, καὶ διὰ κακίαν ἐξοστρακίζεσθαι· λέγει δὲ ἐν τῇ ἡ περὶ Ὑπερβόλου ἡμῖν διηγούμενος.

265, B. Κατ' ἀμφοτέρων] Schol. ed. Οὐ κατηγορῶν Ἀθηναίων καὶ Κίμωνος τὸν ὀστρακισμὸν ὁ Πλάτων ἔφησεν, ἀλλ' ἐπ' ὀνείδει μόνον τοῦ Κίμωνος. Σοφίζεται δὲ ὁ ῥήτωρ διὰ τὴν ὕστερον Ἀθηναίων μετάνοιαν, ἵνα δείξῃ καὶ ἀμφοτέρων καθαπτόμενον Πλάτωνα.

265, A. Αὐτίκα γὰρ μᾶλλον ἁρμόσει [4]] Id. Ἐν τῇ κοινῇ ἀπολογίᾳ πλατύτερον περὶ τῆς καθόδου ἐρεῖ, ἡ γὰρ κοινὴ ἀπολογία λόγον ἀγῶνος ἐπέχει. Phot. Ἤγουν ἐν τῇ κοινῇ ἀπολογίᾳ.

265, B. Ἀντέχει τῷ λόγῳ] Id. Οὕτω Δημοσθένης φησὶ, τῶν ἀγαθῶν ἀνδρῶν ὥσπερ εἱμαρμένον εἶη, φαύλους ἀποβαίνειν υἱεῖς· ἀλλὰ καὶ παροιμία, ἀνδρῶν ἡρώων τέκνα πήματα.

ib. Οὐ συναγωνίζεται] Apogr. Mon. Ἀντὶ τοῦ μάχεται·

ed. Bip., de *Cleone*, schol. l. l., ad Aristoph. Eq. vrs. 226, unde fluxisse credo, quae sunt in schol. ad Ach. vrs. 6. de *Thucydide*, schol. ad Vesp. 941. — 1) ἐν τῷ ί τῶν φιλ., Leid. ἐν τῇ. Non minus recte. — 2) πολέμου, sic Leid., Mon. πολεμοῦ. — 3) ἁρμόττον, Mon. ἅρμοττεν. — 4) Αὐτίκα γὰρ μ., huc cum Photio hoc scholion retuli, non cum Jebbio ad ἀφεὶς τὸν ἄνδρα τῆς αἰτίας, quae multo supra leguntur.

Digitized by Google

λέγω δὲ τῇ παροιμίᾳ τῇ λεγούσῃ· Ἀνδρῶν ἡρώων τέκνα πήματα.

Καὶ ὀλίγου] Id. Ἀντὶ οὐδαμῶς· παρὰ τὸ ποιητικόν· ib.
Παῦροι γάρ τοι παῖδες ὅμοιοι πατρὶ πέλονται.

Τοσούτου κινδύνου] Schol. ed. Παραδόξως εἶπεν, 865, C.
οὐ χρημάτων, ἀλλὰ κινδύνων· κίνδυνος γὰρ οὐ μικρὸς, διάδοχόν τινα τῆς πατρῴας ἀρετῆς γεγενῆσθαι.

Ὥσπερ ἰχνῶν εἴχετο τῶν τοῦ πατρός] Hardt. ex Mon. Cod. Nro. CXXIII. Ἀντὶ τοῦ ἀντελάβετο· τὸ χωρίον — reliqua desunt in iis, quae edidit V. D.

Digitized by Google

ΜΙΛΤΙΑΔΗΣ.[1]

266, A. Ἐπαινῶν ἢ ψέγων [2]] Schol. ed. *Ὑπὲρ γὰρ ἔπαινον ἐχει τὴν ἀρετήν, διό φησι καὶ αἰσχύνομαι ἐπαινέσαι. Παραδόξως δὲ ἐπεχείρησεν· οὐ γὰρ ὅτι ψέγειν εἶχεν, οὕτως εἶπεν, ἀλλ' ὅτι μὴ κατ' ἀξίαν εἶχεν ἐπαινεῖν αὐτόν· ἴσον ἀποφαίνων τῷ ψέγειν [3] τὸ μὴ κατ' ἀξίαν ἐπαινεῖν, μᾶλλον δὲ πλέον.*

266, B. *Μιλτιάδην [4] δέ φησι, τὸν ἐν Μαραθῶνι*] Schol. ed. *Δεινῶς πάλιν εἴρηκε τοῦτο, ὃ γὰρ Πλάτων κατὰ ἦθος διασύρων εἶπεν, οὗτος εἰς ἔπαινον περιστρέφει· ὁ γὰρ Πλάτων οὕτως ἔφη ἐν τῇ Γοργίᾳ* (p. 241), *Μιλτίαδην δὲ τὸν ἐν Μαραθῶνι εἰς τὸ βάραθρον ἐμβαλεῖν ἐψηφίσαντο.*

266, C. *Ὥσπερ οὓς Σιμωνίδης [5]*] Id. *Πλέων ὁ Σιμωνίδης προσέσχε τινὶ τόπῳ καὶ λείψανον εὑρὼν κοσμήσας ἔθαψεν, καὶ κοιμηθέντι παρέστη τοῦ λειψάνου τὸ εἴδωλον συμβουλεῦον μὴ πλεῖν· ὁ δὲ ἀναστὰς ταῖς ναύταις ἀνεκοινοῦτο· [6] οἱ δὲ μὴ πεισθέντες ἀνήγοντο, [7] αὐτὸς δὲ κατέμεινεν ἐκεῖ· χειμῶνι δὲ χρησάμενοι [8] ναυαγίῳ περιέπεσον. [9] Καὶ ἐπὶ τούτῳ τιμᾷ Σιμωνίδης αὐτὸν ἐπιγράμματι·*

1) *Μιλτιάδης*, sic Coll. Nov. *Ἀριστείδου Μιλτιάδης*, Cod. Leid., Schell., Mon. CXXIII, Aug. CCCCXXXII. et in marg. Phot. itemque in schol. ed. t. II, p. 198., Cod. Mon. CCXLIX. *Ὑπὲρ τοῦ Μιλτιάδου* et Photius ipsis excerptis: *Ὑπὲρ Μιλτιάδου, τὸ προοίμιον* — Jebbius scholiis in Miltiadem praemisit: *Ἀρχὴ τῶν ὑπὲρ Μιλτιάδου*, dubito, utrum ex cod. — 2) *Ἐπαινῶν ἢ ψέγων*, huc retuli scholion, quod Jebb. statim ad *Περιήκει κ. τ. λ.* apposuit. — 3) *τῷ ψέγειν*, ed. *τὸ ψ.* 4) *Μιλτιάδην κ. τ. λ.* Huc forte spectat schol., cujus initium edidit Hardt. ex Cod. nro. CXXIII, t. II, p. 64. *Δεινῶς εἰπέ*, scr. *εἶπε*. Subl. Valken. atque in mscr. plura post *ἐψηφίσαντο* legi monet. — 5) *Ὥσπερ οὓς Σιμ.*, legitur hoc schol. in Leid. et vulgavit F. Ursinus p. 330, cf. Gaisf. poet. min. I, p. 354. — 6) *ἀνεκοινοῦτο*, sic ed., Urs. *ἀνεκοινοῦντο*. — 7) *ἀνήγοντο*, sic ed., Urs. *ἀνηγάγοντο*. — 8) *χειμῶνι δὲ χρησάμενοι*, sic Leid. et Urs., ed. *χειμῶνι δὲ οἱ ναῦται χρ.* — 9) *περιέπεσον*, Leid. et Urs., ed. *περιέπεσεν*.

Digitized by Google

Οὗτος ὁ τοῦ [1] Κείου Σιμωνίδου ἐστι σωτηρ,
Ὃς καὶ τεθνηὼς ζῶντ' ἀπέδωκε χάριν.

Τὸ τῶν Πλαταιέων [2]] Schol. ed. *Αἰνίττεται τὴν ἐν* ib.
Μαραθῶνι μάχην, τότε γὰρ μόνοι οἱ Πλαταιεῖς ἀπήντησαν εἰς τὴν μάχην. Διὰ δὲ τοῦ εἰπεῖν τῶν ὑπ' αὐτοῦ τότε κοσμηθέντων, ἐμφαίνει ὅτι οὐκ ἂν ἄλλως ἐνίκων μὴ παρόντος αὐτοῦ· λέγει δὲ νῦν τὸ περὶ Πλαταιέων γενόμενον ἐρώτημα παρὰ Λακεδαιμονίοις ἐν τρίτῳ Θουκυδίδου [3] *ἀνακόλουθον· δικασταὶ ὄντες αὐτῶν, ὡς κατήγοροι ἐβούλοντο αὐτοὺς ἀνελεῖν· ἠρώτων δὲ οἱ καθήμενοι δικασταὶ, τί τοὺς Ἕλληνας εὖ πεποιήκασι; πρὸς ὃ οἱ Πλαταιεῖς ἔφησαν, οὐδεὶς τῶν Ἑλλήνων κατηγόρηκεν ἡμῶν δι' οὐδεμίαν αἰτίαν πώποτε, δεικνύοντες ἐντεῦθεν τὴν σφετέραν αὐτῶν ἀρετήν. Οἰκείως δὲ ἔχει τὸ τῶν Πλαταιέων παράδειγμα, ὡς γὰρ ἐκεῖνοι ἀνέγκλητοι ὄντες ὑπὲρ ἑαυτῶν ἠγωνίζοντο, οὕτω καὶ οὗτος. Τὸ δὲ κοσμηθέντων σημαίνει τὸ ὁπλισθέντων ἢ στρατηγηθέντων. Καὶ Ὁμηρος.*

Αὐτὰρ ἐπεὶ [4] *κόσμηθεν. . . . . .*

Ἐξ ἀνάγκης τρόπον τίνα] Id. *Ἐπειδήπερ οὐ Μιλ-* ib.
τιάδης ὑπερ αὐτοῦ, ἀλλ' ὁ ῥήτωρ νῦν ἀγωνίζεται, ἔστι δὲ τρόπον τινα ἐκείνου ἀπολογία, ἣν ὑπὲρ αὐτοῦ ὁ ῥήτωρ ποιεῖται· ἃ γὰρ ἂν ἐκεῖνος ὑπὲρ ἑαυτοῦ, ταῦθ' ὁ ῥήτωρ ὑπὲρ ἐκείνου προβάλλεται, διὰ τοῦτο εἶπε τρόπον τινα ἀγωνίζεται.

Ἐν τοῖς διακόνοις] Id. *Ἐμφαίνει τὴν διαβολὴν, ὅτι* 266, D.
διάκονον ἁπλῶς ὠνόμασεν.

1) *Οὗτος ὁ τοῦ κ. τ. λ.* Simonidis distichon ex Gaisf. p. 378 transtuli, editus ita ferebat: *Οὗτος ὁ Κίου* (mscr. Ursini *Κείου*) *Σιμωνίδεω ἐστι σωτηρ, ὃς καὶ τεθνηὼς ζῶντι παρέσχε χάριν*, quibuscum et Leidensi et mscrpto Ursini convenit. — 2) *Τὸ τῶν Πλαταιέων*, hoc schol. legitur in Leid. et Mon., sine ulla varietate, nisi quod, quae in fine leguntur, *Τὸ δὲ κοσμηθέντων κ. τ. λ.* ex Mon. dedi, in edito certe desunt, neque enotavit Valken. — 3) *Θουκυδίδου*, ed. *Θουκυδίδης*, *ἀνακόλουθον* referendum ad *ἐρώτημα*, Thucyd. III, 52 seq. *οὕτω καὶ οὗτος*, ed. *οὗτοι*, quod ubi de quatuorviris intellexeris, non repugno. — 4) *Αὐτὰρ ἐπεὶ* Mon. *αὐτὰρ ἐπικοσμ.*

Digitized by Google

267, A. *Ἔχειν τάς τε δίκας*] Id. *Δίκη* [1] *ἡ περὶ ἰδιωτικῶν πραγμάτων κρίσις· γραφὴ δὲ ἡ περὶ δημοσίων.*

267, D. *Ποῦ χοροῦ τάξομεν*] Id. *Τὸ χοροῦ τάξομεν ἐκ μεταφορᾶς τῶν Διονυσιακῶν χορῶν εἴρηται· ὅτε γὰρ εἰσῆεσαν οἱ χοροὶ πλαγίως βαδίζοντες ἐποιοῦντο τοὺς ὕμνους καὶ εἶχον τοὺς θεατὰς ἐν ἀριστερᾷ αὐτῶν καὶ οἱ πρῶτοι τοῦ χοροῦ ἀριστερὸν ἐπεῖχον.* [2] *Ἐπεὶ οὖν εἶπε ποῦ χοροῦ, ἐπήνεγκε τὴν πρὸ τοῦ θεάτρου· εἶτα ἐπειδὴ ἐν μὲν χοροεῖ τὸ εὐώνυμον τιμιώτερον, ἐν δὲ πολέμοις τὸ δεξιὸν, ἐπιφέρει πλήν γ' ὅσον οὐκ* [3] *ἀριστεροτάτης ἀνὴρ* [4] *μᾶλλον ἢ τοῦ δεξιοῦ τοῖς Ἕλλησι κέρως· ἄμφω γὰρ ἔχει ῥήτωρ χρησὸς στρατηγὸς ἄριστος.*

ib. *Τὴν πρὸ τοῦ θεάτρου* [5]] Apogr. Mon. *Δύο εἰσὶν ἀνδρίαντες ἐν τῷ Ἀθήνησι θεάτρῳ· ὁ μὲν* [6] *ἐκ δεξιῶν Θεμιστοκλέους, ὁ δ' ἐξ εὐωνύμων Μιλτιάδου· πλησίον δὲ αὐτῶν ἑκατέρου Πέρσης αἰχμάλωτος. Τινὲς μὲν οὖν φασιν,* [7] *ὅτι δύο ἀνδρίαντες ἦσαν ἐν τῷ θεάτρῳ, εἷς μὲν Μιλτιάδου, ἕτερος δὲ Θεμιστοκλέους, καὶ λέγουσιν, ὅτι Μιλτιάδου ἐξ ἀριστερῶν, ὁ δὲ τοῦ Θεμιστοκλέους ἐκ δεξιῶν. Ἄμεινον οὖν* [8] *ἡμᾶς ἐξεργάσασθαι, ὅτι, ὅτε ὁ χορὸς εἰσήει ἐν τῇ ὀρχήστρᾳ, ἣ ἐστι θυμέλη, ἐξ ἀριστερῶν αὐτῆς εἰσήρχετο,* [9] *ἵνα εὑρεθῇ ἐκ δεξιῶν τοῦ ἄρχοντος· τοὺς οὖν καλοὺς τῶν χορευτῶν ἔταττον εἰσιόντες ἐν τοῖς ἑαυτῶν ἀριστεροῖς, ἵνα εὔρεθῶσι πρὸς τὸν δῆμον ὁρῶντες. . . . . .*

268, B. *Λέξω τοίνυν* [10]] Apogr. Mon. *Ταῦτα Ἀριστοφάνης ἐν ταῖς Νεφέλαις φησὶν, ὡς ἀπὸ προσώπου τοῦ δικαίου λόγου. . . .* (vrs. 954. quem imitatus dicitur Plaut. Bacch. III, 3, 17 seq.)

1) *Δίκη κ. τ. λ.* recte scholiastes, qui eo nomine laudatur a Tib. Hemst. ad Thom. M. p. 240. Casaub. ad Eq. 440. — 2) *καὶ οἱ πρῶτοι τοῦ χοροῦ ἀριστερὸν ἐπεῖχον*, ex Leid. inseruit Valken. — 3) *πλήν γ' ὅσον οὐκ, ὅσον* inserui ex Aristide. — Erasm. adag. II, 2, p. 411. Interpres addit metaphoram sumtam a choris Dionysiacis — 4) *ἀνὴρ*, ex Jebb. addidi. — 5) *Τὴν πρὸ τοῦ Θ.*, subl. Valken. — 6) *ὁ μὲν*, Mon. *ὁ μὲν.* — 7) *φασιν*, Mon. *φησι.* — 8) *Ἄμεινον οὖν κ. τ. λ.* Sequitur jam ea interpretatio, quae ipsi scholiastae maxime probatur, inde fit, ut malim *ἐξηγήσασθαι* pro *ἐξεργάσασθαι.* — 9) *εἰσήρχετο*, Ap. *εἰσέρχετο.* — 10) *Λέξω τοίνυν*, subl. Valken.

Digitized by Google

Ὡς οὐ τὸ παναρμόνιον [1]] Schol. ed. Τὸ μαλακὸν καὶ ἡδὺ [2] ὡς ἐκ πολλῶν χορδῶν συγκείμενον· ἦσαν γὰρ μέλη τρία, τὸ Λύδιον, τὸ Φρύγιον, καὶ τὸ Δώριον· [3] ἐκ τούτου δὲ τὸ ποικίλον ἐμφαίνει· ἐξηγεῖται δὲ αὐτὸς λέγων τὸ μὴ πρὸς ἡδονήν. [4]

Παλλάδα [5] περσέπολιν] Sch. ed. Ταῦτα Ἀριστοφάνους, [6] ἐν αὐταῖς κείμενα ταῖς Νεφέλαις (966.) εἶδος δὲ τοῦτο ἄσματος καὶ ἀρχή. Τὸν δὲ ποιητὴν [7] αὐτὸν Ῥοῦφος καὶ Διονύσιος ἱστοριογραφοῦσιν [8] ἐν τῇ μουσικῇ [9] Φρύνιχόν τινα, ἄλλοι δέ φασι Λαμπροκλέα ἢ Στησίχορον· τὸ δὲ δεινὰν γελοίως ἀντίκειται παρὰ τῷ κωμικῷ, [10] τὸ γὰρ ἄσμα οὕτως ἔχει· 268, D.

Παλλάδα [11] περσέπολιν κλήζω, πολεμάδοκον, ἄγναν,
Παῖδα Διὸς μεγάλου, δαμόπωλον, ἄϊστον Ἀθήνην.

1) ὡς οὐ τὸ παναρμόνιον, exstat etiam in Leid. et Mon. — 2) καὶ ἡδὺ ὡς ἐκ κ. τ. λ., Leid. καὶ τὸ ἡδὺ, τὸ ἐκ π. — 3) Δώριον, sic Leid., ed. Δωρικόν. — 4) τὸ μὴ πρὸς ἡδ., Mon. τὸ μὴ πρὸς ἡδονὴν ταῦτα ἀριστοφάνους. — 5) Παλλάδα κ. τ. λ. editum schol. ex Leid. et Mon. vel emendavi vel auxi. — 6) Ταῦτα Ἀριστ. ἐν αὐτ. κείμ. τ. νεφ. ex utroque mscr. In Ursini mscr. ita legebatur (p. 307) Τινές φασι Λαμπροκλέα ἢ Στησίχορον τοῦτο ᾄδειν· εἶδος γάρ ἐστιν καὶ ἀρχή· τὸ δὲ ἄσμα οὕτως ἔχει· Παλλάδα περσέπολιν κ. τ. λ. Ex Leid. et M. post εἶδος immisi δέ. — 7) αὐτὸν, sic Mon., ed. αὐτοῦ non emendante Valken. Utrumque recte; etenim cum dixisset schol., hoc carmen ab Aristoph. in Nubes receptum esse, nunc *quis ipse auctor* fuerit aut *quis ejus auctor* enarrare conatur. Rufus et Dionysius Eratosthenem secuti sunt, vide sch. ad Aristoph. Nub. 966., ubi Phrynichus hoc ἄσμα Lamproclis esse fertur dixisse. — 8) ἱστοριογραφοῦσιν, sic Leid. et Mon., ed. ἱστοροῦσιν. — 9) ἐν τῇ μ., τῇ ex utroque mscr. — 10) παρὰ τῷ κωμικῷ, quae deerant in mscr. ex edito retinui. — 11) Παλλάδα κ. τ. λ. Ita Urs. p. 80 hunc versum constituit. Herm. ad Nub. l. l. ita in metrum redegit

Παλλάδα περσέπολιν κλήζω, πολεμάδοκον, ἄγναν,
Παῖδα Διὸς μεγάλου, δεινὸν θεὸν, ἐγρεκύδοιμον.

Ed. *Παλλάδα περσέπτολιν, κλεισοπολεμοδόκον, ἄγιαν παῖδα Διὸς, μεγάλην δαμνήπολον ἄριστον πάρθενον*, in quibus Valk. *ἁγνὰν* pro *ἁγίαν* et *ὔϊστον* enot. pro *ἄριστον*. Mon. sic: *Παλλάδα περσέπτολιν· κλεισοπολέμη δόκον ἁγνὰν παῖδα Διὸς μεγόλαν δαμνηπῶλον ἄϊστον πάρθενον*. In prioribus ad Nebulas scholiis ita:

Παλλάδα περσέπολιν κλήζω, πολεμάδοκον, ἁγιάν,
Παῖδα Διὸς μεγάλου δαμάσιππον.

Ex nostris scholiastis refinges *κλήσω*, et *δαμιπῶλον*, *δαμνηπῶλον*

Digitized by Google

ib. Ἢ τηλέπορόν τι βόαμα] Id. Τηλέπορον ἢ τὸ πόρρωθεν ἀκουόμενον ἢ τὸ πόρρωθεν πορευόμενον, ἢ ὅτι ἐν ταῖς [1] τριόδοις οἱ τῆς Ἑκάτης ἵσταντο βωμοὶ καὶ δραπετεύοντες οἱ νέοι τὰς διατριβὰς ἐνήδρευον ἐκεῖ.

ib. Εἰ δέ τις αὐτῶν βωμολογεύσαιτο] Id. Βωμολογεύσαιτο ἀντὶ τοῦ κακοεργήσειε καὶ παρὰ [2] τὸν βωμὸν ἐνεδρεύσειε· [3] παρίσταντο γὰρ τινες τοῖς βωμοῖς, καὶ εἴ γέ τι τοῦ θύματος ἐξέπιπτε, ἥρπαζον [4] καὶ κατήσθιον.

269, A. Ἢ κάμψειέ [5] τινα] Id. Τὰ μέλη δηλοῖ τὰ κεκλασμένα καὶ ἕκλυτα· ἔστι δὲ ὅμοιον, ὥσπερ ἂν εἰ ἔλεγε παρὰ μέλος ᾖδεν.

269, D. Οὔκουν Δολόπων] Id. Θαυμασίως ὁ ῥήτωρ ἐκ τοῦ ἐναντίου προσώπου τὸ ἐπιχείρημα ἔλαβεν· οἱ γὰρ Δόλοπες ὡς προδόται διαβάλλονται· ἢ ὅτι κακῶς [6] ἦσαν ἡγμένοι· φησὶ γὰρ καὶ Δημοσθένης ἐν τῷ περὶ στεφάνου (p. 144. ed. Harl.) πότερον — ἐν τῇ Δολόπων τάξει καὶ Θετταλῶν συγκατακτᾶσθαι.

ib. Κύριος καὶ [7] ἡγεμὼν Δᾶτις] Leid. Ἐπειδὴ τὸν Δάτιν οἶδε κύριον πάντων τῶν πραγμάτων, διὰ τοῦτο αὐτὸν μόνον ὀνομάζει.

270, B. Πλὴν τῶν νόμων] Ap. Mon. Καὶ Πλάτων τοῦτο ἐν τοῖς νόμοις λέγει, ὅτι ὁ φόβος τῶν νόμων ὠφέλησε αὐτούς.

270, C. Παλλοστῷ] Ap. Mon. . . . . ὁ δὲ Δημοσθένης [8] ἐν τοῖς Φιλιππικοῖς εἶπε τὸ πολλοστὸν ἀντὶ τυχόν.

270, C. Τῷ καταβαλεῖν (sic Schell., Mon., Phot. et Valk. ex

non pro nihilo habebis, ubi videris *δαμάσιππον* legi in prioribus schol. ad Aristoph. Quod si *δαμνήπολος* civitate frueretur, ita mallem:

Παλλάδα π. κλῄσω, πολεμάδοκον, ἀγνάν,
Παῖδα Διὸς μεγάλαν, δαμνήπολον, ἄϊστῶσαν
Πάρθενον.

Nunc forte sic legendum in fine versus — *μεγάλαν, τὰν δαμνηπῶλον, ἄϊστον Πάρθενον.* Haec peritioribus relinquam. Memorat hoc sch. Creuz. Melet. I, p. 23. — 1) ἢ ὅτι κ. τ. λ. ex Leid. et M. addidi, qui uterque ἡ τῆς Ἑκ. — 2) παρὰ, Valk. ex L. dedit, ed. περί. — 3) ἐνεδρεύσειε, ed. ἐνεδρεύσοι. — 4) ἅρπαζον, sic V., ed. ἥρπαξον. — 5) ἢ κάμψειε subl. V. — 6) κακῶς, ed. καλῶς, Valk. totum h. sch. sublin. — 7) Κύριος καὶ ἡγ., hoc sch. edidit Valk. ad Herod. VI, 97. — 8) ὁ δὲ Δημ., Philipp. III, 126. —

Digitized by Google

enot., ed. τῷ σπόρῳ)] Apogr. Mon. *Ἀντὶ σπόρου καὶ Μένανδρος·*

Τὰ δ' ἄλλ' ἄν τις καταβάλῃ. [1]

Μαθήματα] Apogr. Mon. *Ἡ λέξις Θουκυδίδειος·* [2] 271, A.
κεῖται δὲ ἐν τῷ ἐπιταφίῳ, καὶ οὐκ ἔστιν ὅπως ἀπείργομέν τινα μαθήματος ἢ θεάματος· ἀπὸ κοινοῦ δὲ τὸ πεπειϰὼς [3] *ἦν Ἀθηναίους.*

Ἐξαρϰεῖν ἂν [4]] Sch. ed. *Τούτου μέμνηται Δημοσθένης ἐν τῷ παραπρεσβείας· ἐπιόντων γὰρ τῶν Περσῶν ἔγραψε μὴ περιμεῖναι τοὺς Ἕλληνας, ἀλλὰ καταλεῖψαι τὴν πόλιν τῇ θεῷ, πρεσβύτας δὲ καὶ γυναῖϰας φυλάττειν τὰ τείχη, τὴν δὲ νεότητα πᾶσαν ἐπὶ Μαραθῶνα δραμεῖν. Εἰϰόνα δὲ τῆς ψυχῆς λέγει τὸ ψήφισμα εἰϰότως, αἱ γὰρ γνῶμαι καὶ οἱ λόγοι εἰϰόνες καὶ σύμβολόν εἰσι τῆς ψυχῆς.* 271, B.

Καὶ συγγραμμάτων] Id. *Πλαγίως* [5] *πλήττει τὸν Πλάτωνα, ὡς ἐν τοῖς συγγράμμασι καὶ τοῖς λόγοις μόνον φρόνημα* [6] *σώζοντα· δεινῶς* [7] *δὲ οὐϰ ἐπὶ μόνου τοῦ Πλάτωνος, ἀλλὰ ϰαθόλου τῶν φιλοσόφων.*

Προγόνους [8]] Ap. Mon. *Προγόνους εἶπεν, ἐπειδὴ* 271, C.
ὁ Πλάτων ἐν τῷ διαλόγῳ [9] *τῷ Εὐθύφρονι περὶ ὁσίου διαλαμβάνων, ὡς δεῖ πλεῖστον ἔχειν σέβας περὶ τοὺς πατέρας· ϰαὶ ἀλλαχοῦ δὲ ὅτι δεῖ προγόνους τιμᾶν. . . . .*

Εἰ τοίνυν ϰαὶ Σόλωνα [10]] Sch. ed. *Φαίνεται πολλάϰις* 272, A.
ὁ Πλάτων ἐπαινέσας [11] *ϰαὶ Σόλωνα ϰαὶ Λυϰοῦργον, ὡς νόμους πρὸς ἀνδρίας νομοθετήσαντας·* [12] *τοῦτο οὖν ἐπήγαγε δειϰνὺς τὸν Πλάτωνα ἑαυτῷ μαχόμενον.*

Ὡς ὑπερβαλλόμενοι] Ap. Mon. et Leid. *Τουτέστι* 273, A.
τέλειοι γενόμενοι τῷ μιμήσασθαι δῆλον ὅτι τοὺς εὑρόντας·

1) τὰ δ' ἄλλ' ἄν τις κ., Apogr. τἄλλα θ' ἄν τις κ. — 2) *Θουκυδίδειος*, Ap. *Θουκυδιδείου*, corr. Werf. Thucyd. II, 39. — 3) *πεπειϰὼς*, Ap. *πεπειϰῶς*, emend. Werf. — 4) *Ἐξαρϰεῖν ἂν κ. τ. λ.* scholion editum ad h. l. subl. Valk. — 5) *Πλαγίως*, sic ex L. dedit Valk., ed. *δεινῶς* — 6) *φρόνημα*, sic ex Aristide, ed. *φρόνιμον*. — 7) *δεινῶς δὲ κ. τ. λ.*, sic Leid., ed. *οὐϰ ἐπὶ μόνου δὲ τοῦ κ. τ. λ.* — 8) *Προγόνους* subl. Valken. — 9) *διαλόγῳ*, sic Werf., Ap. *διαλέγει*. — 10) *Εἰ τοίνυν ϰαὶ Σολ.* legi item in Leid. Valken. significavit. — 11) *ἐπαίνεσας*, ed. *ἐπαινήσας*. — 12) *νομοθετήσαντας*, ed. *νομοθετήσαντας*.

Digitized by Google

Ἀρχαιότατος, ὃ ἐστιν ὁ Ὅμηρος, ὡς ἴσμεν· εἰ δέ τις εἶπη, καὶ μὴν πρὸ[1] *αὐτοῦ γέγονεν ὁ Ὀρωεύς, πρὸ αὐτοῦ γέγονε· τὰ δὲ δόγματα Ὀρφέως Ὀνομάκριτος μετέβαλε δι' ἐπῶν, χρόνῳ*[2] *ὕστερον Ὁμήρου γενόμενος. Καὶ Αἰσχίνης*[3] *δὲ ἐν τῷ κατὰ Τιμοκράτους φησὶ, λέξω περὶ Ὁμήρου, ὃν*[4] *ἐν τοῖς πρεσβυτάτοις καὶ σοφωτάτοις τῶν ποιητῶν τάττομεν. Τὸν Μιλτιάδην δὲ τῷ Ὁμήρῳ παραβάλλει, ἔνδοξον αὐτὸν ἀποδεικνὺς καὶ ἔνδοξον παρατιθεὶς πρόσωπον· ἢ ὅτι κυρίως ποίησίς ἐστιν ἡ μετὰ μιμήσεώς τινος καὶ μετὰ οἰκονομίας καὶ διασκευῆς καὶ μύθων ἐν ἔπεσι τάξις· ἅπερ ἐξαιρέτως Ὅμηρος ἐπετήδευσεν καὶ κατέδειξε πρῶτος· ὅσοι δὲ πραγματείας ἑτέρας ἔγραψαν, ἐποποιοὶ καλοῦνται, ἢ γὰρ περὶ ἀστρονομίας ἢ φυσικάς τινας ἢ ἱερὰς ἔγραψαν βίβλους· ὅτι δὲ ἀρχαιότεροι, μαρτυρεῖ*[5] *καὶ Ἀνδροτίων καὶ Αἰσχίνης καὶ Ἡρόδοτος.*

273, B. *Οὔκουν ὅσους γε*] Schol. ed. *Θεμιστοκλῆς γὰρ Ἀθηναῖος ὢν ὑπερεβάλλετο τοῦτον.*

Μήτε Ὅμηρον] Id. *Πλάτων ἐν ταῖς πολιτείαις*[6] *λέγει, ὅτι δεῖ μυρίσαντας Ὅμηρον ἐκβαλεῖν τῆς πόλεως, μυρίσαι μὲν καὶ στέψαι ὡς ποιητὴν, ἐκβαλεῖν δὲ, ὅτι ἔβλαπτε διὰ τῶν μύθων τοὺς νέους, λέγων* (Iliad. XIV, 317. Rep. III, 4. ed. Ast.)

Οὐδ' ὁπότ' ἠρασάμην Ἰξιονίης ἀλόχοιο.

Καὶ πάλιν (XIV, 356.)

Ἦ ῥα, καὶ ἀγκὰς ἔμαρπτε. . . . . .

Καὶ ὅσα τοιαῦτα. Θέλει οὖν εἰπεῖν, ὅτι οὐδὲν μέγα, εἰ σκώπτων Ὅμηρον διαβάλλει καὶ Κίμωνα. Apogr. Mon. pro *ὅσα τοιαῦτα* ita pergit: *Καὶ ἄλλως δὲ φιλοσωμάτους ἐποίει τοὺς ἀνθρώπους λέγων, ὡς ἀπ' Ἀχιλλέως*[7] *ἥρωος τηλικούτου* (Odyss. XI, 489. cf. Plat. Rep. III, init.)

1) *καὶ μὴν πρὸ αὐτοῦ*, sic Leid., Mon. *αὐτὸν*. — 2) *χρόνῳ δὲ*, *δὲ* a Leid. abest. — 3) *Αἰσχίνης ἐν τῷ π. Τιμ.* p. 149. ed. R. — 4) *ὃν* deest in Leid., conjicit Creuzerus in margine excerptorum: *πρεσβύτατον καὶ σοφώτατον* — 5) *μαρτυρεῖ*, Leid., Mon. *μαρτυροῖ*. Laudat Creuz. Aelian. V. H. VIII. 6. et Androt. fragm. p. 117 ed Sieb. Adde Herod. II, 53. — 6) *ἐν ταῖς πολιτείαις*, III, 9. ed. Ast. — 7) *ὡς ἀπ' Ἀχιλλέως*, tanquam e persona Achillis,

Digitized by Google

βουλοίμην κ' ἐπάρουρος ἐὼν θητεύεμεν ἄλλῳ
Ἀνδρὶ παρ' ἀκλήρῳ. . . . .

Τίνα μὲν οὖν, ὦ Πλάτων] Schol. ed. Ἐκ τοῦ ἀντικειμένου πρῶτον ἐρωτᾷ δεικνὺς, ὅτι εἰ καὶ μὴ βελτίους, ἀλλὰ χείρους μὴ ποιήσας, κακῶς ἀκούειν οὐκ ὤφειλεν· εἶτα ὅτι καὶ βελτίους ἐποίησεν ἀποδεικνύς· σοφισμὸς δὲ ἡ ἀντερώτησις· πρῶτον δὲ αὐτὴν λαμβάνει ἐπ' ἀναιρέσει τοῦ φαύλου, ὡς καὶ τοῦτο ἐπαινοῦντος τοῦ Πλάτωνος τὸ μηδὲν βλάψαι. 273, C.

Λαμπρῶς ἀποκρινοῦμαι] Ap. Mon. Ἀντὶ τοῦ φανερῶς· καὶ Θουκυδίδης, [5] *καὶ λελυμένων ἤδη λαμπρῶς τῶν σπονδῶν. Καὶ Δημοσθένης. . . .* 273, D.

Ὡς πόλιν εἰπεῖν] Schol. ed. *Ὡς πόλιν εἰπεῖν* εἶπε δεινῶς προσθεὶς τὸ ὡς· ἐπειδὴ γὰρ οὐ δυνατὸν ὠφελεῖν πόλιν ὅλην ἀκριβῶς εἰς ἀρετὴν, διὰ τοῦτο προσέθηκε τὸ ὡς, ἀπὸ τοῦ πλείονος ὁριζόμενος· καὶ πάλιν ἐπήγαγε τὸ ὡς δῆμον, οὐ γὰρ δυνατὸν ὅλον δῆμον ὠφελεῖν. 274, A.

Ὥσπερ τὰς τοῦ Γηρυόνου κεφαλὰς] Id. Ὁ Ἡσίοδός φησι τὸν Γηρυόνην τρεῖς κεφαλὰς [4] ἐσχηκέναι, λέγων 274, B.

Τρικάρηνον [5] *Γηρυονῆα.*

Ἀστείως δὲ ὁ Ἀριστείδης τῷ μύθῳ δείκνυσι τὸ παράδοξον λέγων, ὅτι οὐ δεῖ ἀπαιτεῖν Ἀθηναίους ἴσους πάντας εἶναι.

Οὐδ' ὁ ἥλιος] Ap. Mon. Ἀπὸ τοῦ μείζονος ἡ ἀπόδειξις· μεσημβρίας δὲ ἀντὶ τοῦ ἐν τῷ [6] μέσῳ τῆς ἡμέρας, ὑπερβολικόν· καὶ καταβολῆς, τῆς ἐπισημίας καὶ τοῦ σπέρματος καὶ τοῦ φοσήματος. *Καὶ Δημοσθένης*, [7] ὅτι ὥσπερ 275, A.

ex doctrina Platonis, quem lege Rep. III, 6. In Leid. eadem forte legi, indicavit Valk. — 1) *παρ' ἀκλήρῳ*, Mon. *παρακλήρῳ*. — 2) *Λαμπρῶς* subl. Valken. — 3) *Θουκυδ.*, cf. schol. et Intt. ad II, 7. — 4) *τρεῖς κεφαλὰς* sic Valk. ex Leid., ed. *τὰς κεφ.* — 5) *τρικάρηνον*,' sequutus sum Ruhnk., ed. *τρικέφαλον*, Hesiod. Theog. 287. ibiq. Gaisf. — 6) *ἀντὶ τοῦ ἐν τῷ μέσῳ τ. ἡμ.*, inde suspicatus est Ruhnk. ad Tim. p. 154. h. l. legendum *ἐν σταθερῷ τῆς μεσημβρίας*. Recte nam quod Th. M. s. v. *καταβολὴ* p. 495. item legit *ἐν καθαρῷ*, quis est quem moretur? Quid? quod ex Panathenaico hunc locum laudat, ubi ex Miltiade dicere debebat? — 7) *Δημοσθένης*, Philipp. III, 127. ed. Sch. sublin. Valken.

Digitized by Google

περίοδος ἡ καταβολὴ πυρετοῦ· ὅταν γὰρ πλεοτάζῃ τινὶ ψύχος καὶ ἐν τῷ ἡλίῳ καθίζῃ, πλέον ῥιγοῖ. [1]

275, B. Σώζεται τοῖς γένεσι τοὔνομα] Id..... Τοῦτο δὲ ἀπὸ χρησμοῦ εἴληπται

Ἵπποι [2] Θρηικίαι, Λακεδαιμονίαι δὲ γυναῖκες.....

276, C. Καὶ μὴν καθ' ὑμῶν τοὺς σοφοὺς] Schol. ed. Ἐντεῦθεν δεικνύει τοὺς φιλοσόφους σοφιζομένους καὶ οὐκ ἀληθεῖς τοὺς συλλογισμοὺς ποιουμένους. Cod. Barocc. 7. Δείκνυσι [3] τὸν συλλογισμὸν λόγῳ μὲν δυνατὸν γενέσθαι, ἔργῳ δὲ οὐδαμῶς μηδένα μηδὲν ἁμαρτάνειν.

276, B. Μὴ καθ' ἕκαστον [4]] Apogr. Mon. Τοῦτο εἶπεν, ὅτι λεχθὲν κοινῶς εἶπε πάντων τῶν Ἑλλήνων· πολλὴ δὲ δοκιμασία ἐγένετο τῶν θεσμοθετῶν Ἀθήνησι, ὡς καὶ Δημοσθένης [5] ἐν τῷ πρὸς Λεπτίνην· δὶς δοκιμασθέντας ἄρχειν ἔν τε τῇ βουλῇ καὶ παρ' ὑμῖν ἐν τῷ δικαστηρίῳ. Ἄλλοι δέ φασιν, ὅτι ἐξ οἱ πάντες ὄντες θεσμοθέται καθ' ἕνα ἐδοκιμάζοντο.

277, C. Νυκτομαχίᾳ [6]] Ap. Mon. Ἐν τῷ Σικελικῷ πολέμῳ ἐβουλήθησαν προσελθεῖν τοῖς τείχεσι τῶν Συρακουσίων Ἀθηναῖοι· ὃ δὴ καὶ ἐποίησαν προσελθόντες ἐν νυκτὶ καὶ ἡγουμένου [7] ἤρξαντο οἱ μὲν Δωριεῖς Μεσηνίων, οἱ ἐν Ναυπάκτῳ, ἢ οἱ Κερκυραῖοι ἄλλην [8] ἐν τῷ παιωνίζειν ἀφιέναι φωνήν, ἑτέραν δὲ οἱ Ἀθηναῖοι· ταραχθέντες δὲ ἐπὶ τούτῳ μικροῦ δεῖν ἅπαντα ἀπώλοντο.

1) ῥιγοῖ, Mon. ῥιγῇ; malui ῥιγοῖ quam ῥιγῷ, ἑλληνικῶς quam ἀττικῶς, cf. Piers. ad Moer. sub v. et Buttm. ad Plat. Gorg. p. 527. — 2) Ἵπποι κ. τ. λ., Ap. Mon. ἵππον γὰρ Θεσσαλὸν· λακεδαιμονίην δὲ γυναῖκα. Prostat hoc schol. apud schol. ad Theocr. XIV, 48. quod emendatius reddidit Heind. ad Plat. Hipp. maj. p. 141. — 3) Δείκνυσι τὸν συλλογισμὸν κ. τ. λ. Margini haec olim veluti interpretamentum adscripta, genuinis denique ipsius sophistae verbis expulsis, textui sunt intrusa. — 4) Μὴ καθ' ἕκαστον subl. Valken. — 5) Δημοσθένης ἐν τ. π. Λεπτ., p. 82. ed. Wolf., unde δὶς pro διὰ, quod erat in Mon., ἔν τε τῇ β. pro καὶ ἐν τῇ β. recepi, inserens παρ' ὑμῖν post καὶ. — 6) Νυκτομαχίᾳ, subl. Valken. cf. Thucyd. VII, 44. — 7) ἡγουμένου, desideratur ducis nomen; fortasse Νικίου supplendum, (quod nomen ob νυκτὶ excidere facile potuit. An latet in καὶ?), quamvis narrat Thucyd. l. l. Demosthenem cum iis, qui paucis ante diebus simul adpulerant, ejus rei auctores fuisse. — 8) ἄλλην ἐν τῷ, Mon. ὀλλ' ἐν τῷ.

Digitized by Google

Καίτοι παρῆν αὐτῷ] Schol. ed. *Λύσις ἀντιπίπτοντος, ἵνα μὴ εἴπῃ τις, ἀλλ' οὐκ ἐδύνατο.* 278, A.

Μετὰ Ἱππίου καὶ τῶν Πεισιστρατιδῶν] Apogr. Mon. et Leid. *Ἀπὸ κοινοῦ τὸ συνεπιστρατεύειν. Ὁ δὲ Θουκυδίδης φησὶν, ὅτι ἐκπεσὼν τῆς τυραννίδος ὁ Ἱππίας μνησικακῶν ἀνῆλθε πρὸς Δαρεῖον, ἔχων εἰς τὸ προδοῦναι· καὶ ἔπεισεν αὐτὸν κατὰ τῆς Ἑλλάδος στρατεῦσαι.* [1] *Καὶ Ἡρόδοτος δὲ τὸ ὅμοιον* [2] *λέγει. Τύραννοι δὲ καὶ οἱ Πεισιστρατίδαι, ὡς ἴσμεν ἐκ τῶν Θουκυδίδου· ἐκβληθέντες δὲ παρὰ τῶν* [3] *Ἀθηναίων ἐστράτευσαν κατ' αὐτῶν.* Sch. ed. *Ἐκπεσὼν τῆς τυραννίδος ὁ Ἱππίας μνησικακῶν ἦλθε πρὸς Δαρεῖον, καὶ ἔπεισεν αὐτὸν κατὰ τῆς Ἑλλάδος στρατεῦσαι.* ib.

Ἐκ Λακεδαίμονος [4]] Schol. ed. *Εἰς Δημάρατον αἰνίττεται τὸν Λακεδαιμόνιον, οὗτος γὰρ τὰ τῶν τυράννων ἐφρόνει.* ib.

Ταῦτα (Cod. Schell. cum ed. Cant. inserit *πάντα*) *ἀφεὶς*] Apogr. Mon. et Leid. *Δόλογκοι* [5] *καὶ Ἀψίνθιοι ἔθνη ὅμορα περὶ τὸν Ἑλλήσποντον· οἱ δὲ Δόλογκοι κατεπολέμουν τοὺς Ἀψινθίους· ἐρωτῶσιν οὖν τοῖς Ἀψινθίοις τὸν θεὸν, πῶς ἂν ἀπαλλαγῶσι* [6] *τῶν κακῶν, ἔχρησεν αὐτοῖς, ὅτι τὸν πρῶτον ὑποδεχόμενον ὑμᾶς Ἀθήνῃσιν, αὐτὸν ἐκεῖνον στήσατε τύραννον· ἀκούσαντες τοῦτο οἱ Ἀψίνθιοι ἤρξαντο περινοστεῖν τὰς πόλεις καὶ τέλος ἐλθόντας αὐτοὺς εἰς Ἀθήνας ὑπεδέξατο ὁ Μιλτιάδης· ἐκ τούτου οὖν ἔγνωσαν, ὅτι ὁ χρησμὸς τοῦτον δηλοῖ· εἶτα διελέχθησαν αὐτῷ* [7] *περὶ τούτου· ὁ δ' οὐκ ἠβουλήθη,* [8] *ἀλλὰ λέγει Ἀψινθίοις ὅτι* [9] *πέμψαν-* 278, B.

1) στρατεῦσαι. In hac voce desinit, uti vides, schol. editum ad *Μετὰ Ἱππίου*. Sequitur alterum ad *καὶ τῶν Πεισιστρατιδῶν*] *Τύραννοι καὶ οἱ Πεισιστρατίδαι· ἐκβληθέντες δὲ παρὰ τῶν Ἀθηναίων ἐστράτευσαν κατ' αὐτῶν.* — Legitur item in Leid. In quo desunt *Ἀπὸ κοινοῦ τὸ συνεπιστρατεύειν*, pergit autem *ὁ δὲ Θουκυδ.* — 2) *τὸ ὅμοιον*, *τὸ* in Leid. deest. — 3) *παρὰ τῶν Ἀθ.*, Leid. *παρ' Ἀθ.*, cf. Thucyd. VI, 54 seq. ibiq. intt. — 4) *Ἐκ Λακεδαίμονος*, Valk. sublin. proxima *τῶν ταὐτὰ*. — 5) *Δόλογκοι καὶ Ἀψίνθιοι κ. τ. λ.* Praeclarissimum hoc scholion edidit Valken. ad Herod. VI, 34. et clausulam inde ab: *καὶ ποταμοῦ ὄντος κ. τ. λ.*, ad VI, 36. — 6) *ἀπαλλαγῶσι*, sic Valk. ex Leid., Mon. *ἀπαλλαγῆσι*. — 7) *αὐτῷ*, sic Valk., Mon. *αὐτῆς*. — 8) *ἠβουλήθη*, Mon., Leid. *ἠβ.* — 9) *ὅτι*, Valken. *ὅτι* (*ὑτι*) *πέμψαντες*.

Digitized by Google

τες εἰς Πυθίαν μάθετε ἀκριβέστερον, εἰ περὶ ἐμοῦ λέγει ὁ χρησμός. Πεμψάντων οὖν αὐτῶν λέγει ὅτι ναὶ περὶ αὐτοῦ λέγει· ἀκούσας τοῦ χρησμοῦ πάλιν Ἀψινθίοις λέγει ὁ Μιλτιάδης, ὅτι, ἐὰν κελεύσῃ ἡ πόλις, γίνομαι· κελευσάσης οὖν τῆς πόλεως ἐγένετο τύραννος, καὶ ποταμοῦ ὄντος τοῦ διορίζοντος τοὺς [1] Δολόγκους καὶ τοὺς Ἀψινθίους, ἐτείχισεν αὐτὸν, ὅπως [2] ἂν μὴ βλάπτοιντο οἱ Ἀψίνθιοι παρὰ τῶν Δολόγκων.

279, A. Καὶ ὅτι οὐκ ἐδυνήθησαν] Sch. ed. Ἐπειδὴ πάντες ἐξ ἐντολῆς ὑπέκυπτον δυστυχίαν, ἠτήσαντο τὴν [3] ἐπιστρατείαν καὶ ἑτέραν δυστυχίαν, ὅτι ἐκείνους οὐχ εὗρον· ἀμαξόβιοι γὰρ ὄντες καὶ πόλεις οὐκ ἔχοντες μετήγοντο εὐκόλως.

ib. Οἱ σοφώτατοι πάντων] Sch. ed. Σοφωτάτους λέγει τοὺς Αἰγυπτίους, ὅτι τὰ ἐν οὐρανῷ ἤδεσαν καὶ τελεστικοὶ ὑπῆρχον. Λέγει δὲ καὶ ἡ παροιμία [4]

Δεινοὶ μηχανὰς πλέκειν Αἰγύπτιοι.

Ηὔξησε δὲ τὴν σοφίαν αὐτῶν, σοφωτάτους πάντων εἰπών, ἵνα ἐξάρῃ τοὺς Ἀθηναίους καταπολεμήσαντας Πέρσην, ὃν οὐδ' οἱ σοφώτατοι πάντων ὑπέστησαν.

279, B. Ἐκ τριγόνιας [5] ἐδούλευον] Sch. ed. Ἀντὶ τοῦ ἐκ τρίτης γενεᾶς, οἱονεὶ ἀπὸ προγόνων· βούλονται δέ τινες τὴν γενεὰν ρκε ἐτῶν εἶναι, τὸν δὲ [6] τρίτον ἀριθμὸν ἐπὶ πλήθει ἐκδέχονται. Σημαίνει οὖν, ὅτι πρὸ πολλῶν ἐτῶν ἐδούλευον, οἷον ἐπὶ [7] Κύρου καὶ Καμβύσου.

1) τοὺς Δ., M. τὰς Δ. — 2) ὅπως ἂν μὴ κ. τ. λ. immo contre rem habere, ait Valken. VI, 36, cum Herodotus de Doloncis prodidisset, quae de Apsinthiis noster. Ceteroquin haud leviter in ea re variant scriptores, cf. Rutgers. v. lect. I, 9. Intt. ad Milt. Nepotis, cap. I. et Poppon. ad vit. Thucyd. Marcellinean p. 314. Aut erravit schol., aut alios scriptores est secutus. — 3) ἐπιστρατείαν, ed. ἐπὶ στρατείαν. Subl. Valk. — 4) ἡ παρ., Sch. ad Nub. 1128. Valk. ad Adon. 47. — 5) Ἐκ τριγονίας κ. τ. λ. verba hujus schol. τὴν γενεὰν ρκε ἐτῶν εἶναι subl. Valk. et in Mscr. legi addit. — 6) Τρίτον ἀριθμὸν, sic τριπορνος, τριπλάνης, τρικόθητος, τρισμακαρ, τρικυμία λόγου, πόθου, Heind. ad Euthyd. p. 371. Abresch. in addendis ad Not. in Aristaen. p. 20. seq. Sic τρίπορνος, cf. Welk. ad Hippon. fr. p. 94. Nota sunt *trifar* et *trifurcifer* Plauti. — 7) ἐπὶ Κύρου, ed. ἀπὸ Κ.

Digitized by Google

Λακεδαιμόνιοι δὲ [1]] Apogr. Mon. *Ἔθος ἦν Λακεδαι-* 279, C.
μονίοις κατ' ἔτος [2] *κόρας τινὰς πέμπειν ἐν τῷ τοῦ Ἀπόλ-*
λωνος ἱερῷ, ἵνα ὕμνον ᾄσωσι τῷ θεῷ. Ταύταις περιτυ-
χόντες ἐβιάσαντο Μεσσήνιοι· μαθόντες τοῦτο Λακεδαιμό-
νιοι πέμπουσι πρὸς αὐτοὺς δίκας βουλόμενοι λαβεῖν παρὰ
τῶν δεδρακότων· ὡς δ' οὐκ ἐπείθοντο, ἐπιστρατεύουσι Λα-
κεδαιμόνιοι κατ' αὐτῶν· τοῦτο δὲ γέγονεν ἐν τῷ Μηδικῷ
πολέμῳ· Μένοντες δὲ εἶπε τὴν πανσέληνον, ἐν γὰρ
τῇ πανσελήνῳ στρατεύουσιν, ὡς πολλάκις ἔγνωμεν.

Ὥσπερ Ὅμηρος [3]] Apogr. Mon. *Ἔνδοξον πάλιν εἰσά-* 281, C.
γει πρόσωπον, οὐδὲ γὰρ, [4] *φησὶν, εἰ ἐκάλεσεν Ἀχιλλέα* [5]
θυμολέοντα, ἤδη λέων ἦν, οὐδ' εἴ πη τοῦ Αἴαντος πάλιν
(Il. XI, 557.)

Ὡς δ' ὅτ' ὄνος . . . .
ἤδη ὄνος ἦν ὁ Αἴας καθάπαξ, ἀλλ' εἰς ὅσον προσῆκε πρὸς
τὴν χρείαν λέγει δεχόμενος καὶ πρὸς μέρος λέοντι καὶ κά-
προις καὶ ὄνοις [6] *ἐπεικάζων τὸ πρόσωπον· οὐ καθάπαξ,*
ἐπ' ἀμφοτέρων δὲ λέγει, τοῦ Μιλτιάδου καὶ τοῦ κυβερ-
νήτου.

Ὥσπερ σὺ φὴς [8]] Apogr. Mon. *Ἦθος ἔχει ὁ λόγος·* 282, C.
ἐδόκει γὰρ καὶ Σωκράτης μισθὸν δέχεσθαι, καὶ εἰ μὴ χρυ-
σὸν, ἔχειν γὰρ αὐτὸν ἔλεγον δύο πίθους, [9] *τὸν μὲν σίτου,*
τὸν δὲ οἴνου, καὶ τοῖς μαθηταῖς ἐκέλευεν ἐπιβάλλειν ἀεὶ
τούτοις, ὅπως μὴ λείψωσιν.

Καὶ ἰδιώτας] Apogr. Mon. et Leid. [10] *Ἰδιώτας λέγει* ib.
οὐ τῶν πολεμικῶν, ἀλλὰ νίκης . . . . ἢ . . . . οὐ μάχης ἀπεί-

1) *Λακεδαιμόνιοι δὲ* subl. Valk. — 2) *κατ' ἔτος*, Mon. *κάτε-*
τος. — 3) *Ὥσπερ Ὅμ.*, sublin. Valken. — 4) *οὐδὲ γὰρ, φησὶν*, sic
Ap., Werf. maluit *γάρ φησιν*, male. — 5) *Ἀχιλλέα κ. τ. λ.* ea sic
Apogr. *Ἀχιλλέα, θυμολέοντα, ἢ δε λεῶν ἦν· οὐδ' εἰπε περὶ τοῦ Αἴ-*
αντος, in quibus Werf. *ἤδὲ λέων ἦν*, veluti versus heroici esset
clausula. — 6) *ἀπεικάζων*, Ap. *ἀπεικάζειν*. — 7) *ἀμφοτέρων*, Ap.
ἀμφοτέροις, — 8) *Ὥσπερ σὺ φὴς*, subl. Valk. — 9) *τὸν μὲν σίτου,*
τὸν δὲ οἴνου, Ap. *τοῦ μ. σ., τοῦ δ. οἴνου*. — 10) *Καὶ ἰδιώτας κ.*
τ. λ. Quae ab initio leguntur, *Ἰδιώτας — νίκης*, ex Leidensi ex-
hibuit Valken. ad Herod. VI, 112 ita uti edenda curavi; itemque
reliqua deinceps quae sola excerpsit Creuzerus in Selectis. Sunt
reliqua etiam in Apogr. et Werferus praemissis punctis nonnihil
deesse significavit.

Digitized by Google

ρους, ἀλλὰ τοιαύτης Μηδικῆς νίκης· καὶ Ἡρόδοτος ἐν τῇ στ' λέγει, ὅτι [1] τὸ πρῶτον Ἕλληνες ὑπέστησαν σχῆμα θέασασθαι Μηδικόν.

284, C. Ἢ τὸν ἐν Κολωνῷ κείμενον [2] Οἰδίπουν] Apogr. Mon. Θαυμασίως ἐπήγαγε τὸ Οἰδίπουν. [3] Ἐπειδὴ γὰρ εἶπεν, ὅτι νεκροὶ ὄντες τὴν γῆν φυλάττουσιν, εἰκότως ἐχρήσατο τούτῳ τῷ παραδείγματι, ὅτι καὶ ὁ Οἰδίπους νεκρὸς ὢν σώζει τὴν Ἀττικήν· τὸν δὲ Κολωνὸν λέγουσιν οἱ μὲν τόπον εἶναι τῆς Ἀττικῆς, οἱ δὲ δῆλον. [4] Λέγεται ὁ Οἰδίπους μετὰ τὰς συμφορὰς ἐλθεῖν εἰς Ἀθήνας· οἱ δὲ θεοὶ ἐλεήσαντες αὐτὸν, δεδώκασιν αὐτῷ δόκησιν τοῦ σώζειν τὴν Ἀττικήν. Ἄλλοι δέ φασιν, ὅτι πολλῶν κακῶν αἴτιος γεγονὼς ταῖς [5] Θήβαις διά τε τὸν φόνον τῶν παίδων ἐναγὴς ὢν, ἐκβάλλεται τῆς πόλεως ὑπὸ [6] τῶν Θηβαίων καὶ ἐλθὼν εἰς τὸν Κολωνὸν καὶ τελευτήσας ἐκεῖ θάπτεται· ἐλθόντων δέ ποτε Θηβαίων, φαίνεται Ἀθηναίοις κελεύων [7] ἀντιπαρατάξασθαι, καὶ συμβαλόντες ἐνίκησαν.

ib. Ἢ εἴ τις ἄλλοθί που [8]] Ap. M. et Leidens. Ἢ εἴ τις ἄλλοθι ποῦ τῆς χώρας, εἰ μὲν μετὰ τοῦ ἄρθρου λέγομεν, τουτέστι τῆς χώρας, δηλοῦμεν τὸν Θησέα· ἔν [9] τινι γὰρ καιρῷ ἐξεβλήθη παρὰ τῶν Ἀθηναίων Θησεὺς καὶ [10] ἐκβληθεὶς ἀπῆλθε πρὸς Λυκομήδην ἐν τῇ Σκύρῳ, ὡς πρὸς

1) ὅτι τὸ πρῶτον, Valken. pro τὸ conjecit τότε, merito opinor, vult enim Schol. primos Atheniences Medorum habitum videntes sustinuisse, eaque narrantem vidit Herodotum VI, 112., ut malim ex Herodoto legi Ἑλλήνων, quamvis Aristides de omnibus Graecis loquatur. — 2) Ἢ τὸν ἐν Κολωνῷ κ. τ. λ. sublin. Valk. annotans in Mscr. plura praemitti his, unde oriuntur edita, scil. Λέγεται ὁ Οἰδίπους. Quae significavit Valken., ex Apogr. opinor, dedi. — 3) τὸ Οἰδίπουν, alibi schol. τὸν Οἰδ. — 4) οἱ δὲ δῆλον, sic. f. Δήλου. — 5) ταῖς Θήβαις, ed. τοῖς Θηβαίοις, illud et Mon. et Leid. — 6) ὑπὸ τῶν Θηβαίων leguntur etiam in Leid., desunt in ed. — 7) ἀντιπαρατάξασθαι, sic uterque Mscr., ed. ἀντιπαρατάξαι κ. τ. λ. — 8) Ἢ εἴ τις ἄλλοθί που κ. τ. λ. Cod. Leidensem accurate a se collatum ait Valken.; leguntur item particulae aliquae in Cod. Palat., ex Leidensi nonnihil edidit Creuzerus, V. D. comment. Herodot. p. 304. seq. et Herodotea in scholiis Aristidis ed. male descripta esse, cf. Schweigh. ad Herod. I, 67. — 9) ἔν τινι καιρῷ ἐξεβλ. π. κ. τ. λ. inde ordiuntur excerpta Palatina, omisso γὰρ. — 10) καὶ ἐκβλ. ἀπῆλθε πρ., ed. ἀπῆλθε γοῦν πρ.

Digitized by Google

φίλον· ὃ δὲ Λυκομήδης φοβούμενος, μὴ ὁ Θησεὺς ἐκβάλῃ αὐτὸν τῆς βασιλείας, φονεύσας ἐκεῖσε ἔθαψε. Μετὰ τοῦτο [1] ἔλαβον Ἀθηναῖοι χρησμὸν μετενέγκαι [2] τὰ ὀστᾶ τοῦ Θησέως· ἀκούσαντες τὸν χρησμὸν ἀγνοεῖν ποῦ εἴη τὰ ὀστᾶ τοῦ Θησέως ἔφασαν· ὁ δὲ θεὸς εἶπεν ὅτι, ἐγὼ ὑμῖν ἡγεμόνα πέμπω. [3] Εἶτα ἐξελθόντες καὶ φθάσαντες περὶ τὴν Σκύρον, ἐθεάσαντο ἀετὸν καταπτάντα καὶ ὀρύσσοντα τὴν γῆν· οἱ δὲ [4] ἐνόησαν, ὅτι ἐκεῖ εἰσι τὰ ὀστᾶ τοῦ Θησέως καὶ [5] λαβόντες ἔθαψαν ἐν τῇ Ἀττικῇ. Ἐὰν δὲ ἐκτὸς τοῦ ἄρθρου λέγωμεν, Ἡ ἄλλοθί που [6] χώρας, δηλοῖ τὸν Ὀρέστην· ποτὲ γὰρ Λακεδαιμόνιοι καὶ Τεγεάται ἐπολέμουν πρὸς ἀλλήλους καὶ ἤροντο τὸν θεὸν Λακεδαιμόνιοι, πῶς ἂν περιγένωνται· ὁ δὲ ἔχρησεν οὕτως·

Ἀρκαδίην [7] μ' αἰτεῖς; μέγα μ' αἰτεῖς, οὔ τοι δώσω·
Πολλοὶ [8] ἐν Ἀρκαδίῃ βαλανηφάγοι ἄνδρες ἔασι [9]
Οἵ σ' ἀποκωλύσουσιν· [10] ἐγὼ δέ τοι οὔ τι μεγαίρω·
Δώσω [11] τοι Τεγέην ποσσίχροτον ὀρχήσασθαι,
Καὶ καλὸν [12] πεδίον σχοίνῳ διαμετρήσασθαι.

Ἀκούσαντες τὸν χρησμὸν Λακεδαιμόνιοι συνέβαλον καὶ ἡττηθέντες ἐλήφθησαν παρὰ τῶν Τεγεατῶν, οἱ καὶ πέδας [13] αὐ-

1) *Μετὰ τοῦτο κ. τ. λ.*, Palat. *εἶτα*, ed. *μετὰ ταῦτα.* — 2) *μετενέγκαι τὰ ὀστᾶ κ. τ. λ.*, ed. *μετενέγκαι τὰ ὀστᾶ τοῦ Θησέως ἔφασαν*, in quibus *τὰ ὀστᾶ τοῦ Θησέως*, bis posita fraudi fuerunt — 3) *πέμπω. Εἶτα*, illud *εἶτα*, quod Werferus non enotavit, ex Leid. recepi, cum ed. *ἐξελθόντες δὲ* exhibeant. — 4) *Οἱ δὲ ἐνόησαν*, ed. *ἔγνωσαν γοῦν.* — 5) *καὶ λαβόντες κ. τ. λ.*, Cod. Palat. *οὕτινες καὶ μετενεγκόντες ἔθαψαν ἐ. τ. Ἀττ.* Pergit dein C. Palat. *Λακεδαιμόνιοι πολεμούμενοι ὑπὸ τῶν Τεγεατῶν, ἤροντο τὸν θεὸν, πῶς ἂν περιγένωνται· ὁ δὲ ἔχρησεν οὕτως· Ἀρκαδίην μ' αἰτεῖς· μέγα μ' αἰτεῖς· οὔ τοι δώσω.* — 6) *Ἡ ἄλλοθί που χ.*, ἡ delevit Valken. — 7) *Ἀρκαδίην κ. τ. λ.*, oraculum transscripsi ex ipso Herodoto, I, 66., diversitatis farraginem seorsim recensiturus. Est autem haec: Ap. *Ἀρκαδίην μ' αἰτῆς.* — 8) *Πολλοὶ ἐν Ἀρκ, κ. τ. λ.*, ed. *πολλοὶ ποσσίχροτον ὀρχ. κ. τ. λ.* reliquis om., quae exstant in utroq. Mscr. — 9) *ἔασι*, Mscripti *ἔασιν.* — 10) *οἵ σ' ἀποκ.*, Mscripti *οἵ γ' ἀποκ.* 11) *Δώσω τοι*, uterque Codex *δώσω δέ τοι Τεγαίην* — Werferus post *Τεγαίην* non *πολλοὶ* legi confirmat, ut quod ex versus 2. principio remansisset, reliquis, ut supra memoravi, omissis. — 12) *Καὶ καλὸν κ. τ. λ.*, sic quoque Codd., ed. *καὶ καλὸν πεδίῳ σχοινῷ δ.* — 13) *πέδας αὐτοῖς βαλόντες*, sic omnes, f. *εἰςβ.*; illud certe non memini legere.

Digitized by Google

τοῖς βαλόντες ἐποίησαν [1] γεωργεῖν τὴν γῆν. Ἡττηθέντες [2] οὖν οἱ Λακεδαιμόνιοι πάλιν ἤτησαν δεύτερον χρησμόν· ἐστι δὲ οὗτος·

Ἔστι τις Ἀρκαδίης Τεγέη λευρῷ ἐνὶ χώρῳ,
Ἔνθ' [3] ἄνεμοι πνείουσι δύο κρατερῆς [4] ὑπ' ἀνάγκης,
Καὶ τύπος ἀντίτυπος καὶ πῆμ' [5] ἐπὶ πήματι κεῖται.
Ἔνθ' Ἀγαμεμνονίδην κατέχει φυσίζοος [6] αἶα·
Τὸν σὺ [7] κομισσάμενος, Τεγέης ἐπιάρροθος ἔσσῃ. [8]

Ἀκούσαντες τὸν χρησμὸν [9] τοῦτον οἱ Λακεδαιμόνιοι ἐσπείσαντο πρὸς [10] Τεγεάτας· εἶτα ἐν τῇ εἰρήνῃ ἔτυχε, Λίγων τινα, ἀγαθοεργόν, Λακεδαιμόνιον — ἀγαθοεργοὶ [11] δὲ καλοῦνται παρὰ Λακεδαιμονίοις πέντε τῶν ἱππέων, οἵτινες ἐξήργοντο τοῦ βαθμοῦ καὶ ἐσχόλαζον ἐπὶ γνώσει τῶν παρ' ἑτέροις [12] νομίμων ἀγαθῶν — καθέζεσθαι ἐν χαλκείῳ τῆς Τεγέας, εἶτα [13] θαυμάζειν, πῶς ἀνέργεται τὸ πῦρ· τὸν [14] δὲ χαλκέα ἐρωτῆσαι, τί καθέζεται ἐκπληττόμενος· τὸν δ' εἰπεῖν, ὅτι θαυμάζω διὰ τὸ οὕτως ἀνέργεσθαι τὸ πῦρ· τοῦτο [15] δὲ ἀκούσαντα τὸν χαλκέα εἰπεῖν, ἐὰν ἀκούσῃς, ὃ βούλομαι λέγειν, θαυμάσαι ἔχεις· εἶδον γάρ, φησίν, ἐν τῷ οἴκῳ [16] σορόν τινα ἐννέα ὀργυιῶν, καὶ ἀπιστῶν, εἰ τοιοῦτός ἐστιν ὁ κείμενος ἐν τῇ [17] σορῷ, εἶτα [18] ἀποκαλύψας εὗρον καὶ ὅτι τὸ σῶμα

1) γεωργεῖν τὴν γῆν, sic uterq. Cod., ed. τὴν γῆν γεωργεῖν. — 2) Ἡττηθ. κ. τ. λ. sic Codd., ed. πάλιν οὖν ἤροντο τὸν θεὸν Λακεδαιμόνιοι καὶ ἔχρησεν αὐτοῖς οὕτως· ἔστι τις κ. τ. λ. cf. Creuz. comm. Herodoteis l. l. Ἔστι τις, ex Herod. I, 67. Em discrepantia lectionis ex utroque Mscr. et edito: Mscripti ἔστι τις Ἀρκαδίης γαίης λευρῷ ἐνὶ χ., ed. ἔστι τις Ἀρκαδίας γαίη, λευρι ἐνὶ χ. 3) ἔνθ' ἄν., Mon. ἔνθα ἄν. — 4) κρατερῆς ὑπ' ἀν., Mscr. κατηγορῶν ὑπ' ἀν., ed. κρατήρων ὑπὸ ἀν. — 5) πῆμ' ἐπὶ π. ed. πῆμ' ἐνὶ κύματι. — 6) φυσίζοος αἶα, Ap. φυσίζωος αἶα, ed. φ. Αἶα. — 7) κομισσάμενος, ed. et Mscr. κομισάμενος. — 8) ἔσσῃ, ed. ἔσῃ, itemque Mscr. — 9) τὸν χρησμὸν τοῦτον, τοῦτον in ed. desideratur. — 10) πρὸς Τεγ., ed. π. τοὺς Τ. — 11) ἀγαθοεργοὶ, L. et M. ἀγαθοὶ, illud in ed., inde ab ἀγαθοεργοὶ. — ἀγαθῶν a reliquis sejunxi, quod facere neglexit Jebbius. — 12) παρ' ἑτέροις, ed. π. ἑτέρων. — 13) εἶτα θ., ed. καὶ θ. — 14) τὸν δὲ χ., ed. τ. γοῦν χ. — 15) τοῖτο δὲ ἀκ., sic L. et ed., Mon. τὸν δὲ χαλκέα τοῦτο ἀκούσαντα· ὅτι ἐὰν ἀκούσῃς κ. τ. λ. — 16) ἐν τῷ οἴκῳ, ed. ἐν τῷ οἴκῳ τούτῳ. — 17) ἐν τῇ σορῷ, ed. σόρῳ. — 18) εἶτα ἀποκ., εἶτα deest in ed., Mon. εἶτα ἀποκαλύψας καὶ εὑρὼν ὅτι κ. τ. λ., ed. cum Leid. εἶτα ἀπ. εὗρον καὶ τὸ σῶμα τοσοῦτον.

Digitized by Google

ἐννέα ὀργυιῶν ἐστίν. Ἑωρακὼς [1] ὁ Λίχας ἤρξατο συμβάλλειν τὸν χρησμὸν τὸν λέγοντα, Ἔστι τις Ἀρκαδίη καὶ τὰ ἑξῆς καὶ ἀναγκασθεὶς ἤσθετο, ὅτι τὸ χαλκεῖον σημαίνει ὁ χρησμός, εἶτα εἶπε τῷ χαλκεῖ, μίσθωσόν μοι τὸν οἶκον ἐπ' ὀλίγῳ [2] χρόνῳ· μισθωσαμένου [3] οὖν τὸν οἶκον καὶ λαβόντος [4] τὰ ὀστᾶ τοῦ Ὀρέστου, ἐλήφθησαν οἱ Τεγεᾶται.

Καὶ τὸν Ἡρακλέα [5]] Sch. ed. Ὅπλα γὰρ ἦν ἀνακείμενα ἐν τοῖς Ἡρακλείοις, ἅπερ εὑρέθη ἐξαίφνης ἔξω θυρῶν κείμενα. Δεινῶς δὲ ὁ Ἀριστείδης τὴν βοήθειαν τῶν θεῶν μαρτυρίαν ποιεῖται τῆς Μιλτιάδου ἀρετῆς. [6] 285, B.

Καὶ τὸν Πᾶνα [7]] Id. Ἀπεστάλη [8] Φιλιππίδης τις ὀνόματι ὑπὸ Ἀθηναίων, ἡμεροδρόμος ὤν, ἐν τοῖς Περσικοῖς, συμμαχίαν αἰτῆσαι παρὰ Λακεδαιμονίων· ἀπιὼν δὲ ἄπρακτος [9] ἐκ τῆς τῶν Λακεδαιμονίων, ἤκουε φωνῆς τινος, ἐπιβοώσης αὐτῷ· ὡς δὲ πλησίον [10] ἐγένετο, ἀκούει λέγοντος τοῦ Πανός, εἰπεῖν Ἀθηναίοις, ὡς ὀλιγωροῦσιν αὐτοῦ καὶ ταὐτὰ [11] φροντίζοντος· ἑνίκα δὲ ἐστράτευον, εἶδον αὐτὸν ἡγούμενον καὶ βωμὸν ἱδρύσαντο καὶ θυσίας [12] ἐπετέλεσαν. ib.

Καὶ Πινδάρῳ φησὶν [13]] Id. Λέγεται, ὅτι μέλη ποιοῦντος τοῦ Πινδάρου ποτὲ ἐν Θήβαις, τερφθεὶς ὁ Πὰν ᾠρχήσατο αὐτῷ. Ἄλλοι δὲ λέγουσιν, [14] ὅτι ᾄσμα σκεψάμενος ὁ Πίνδαρος [15] ἔμελλεν ἐπιδείκνυσθαι καὶ εἶδεν ὄναρ τὸν Πᾶνα λέγοντα αὐτῷ τὸ ᾄσμα καὶ λαβὼν εὐθὺς ἀνέθηκε τῷ θεῷ. 285, C.

1) Ἑωρακὼς, M. ἑωρακῶς; edita ita ferunt: ἀκούσας ὁ Λίχας ἤσθετο τοῦτο σημαίνειν χρησμὸν καὶ εἶπε τῷ χαλκεῖ κ. τ. λ. — 2) ἐπ' ὀλίγῳ χρόνῳ, Mon. ἐπ' ὀλίγου χρόνου. — 3) μισθωσάμενον κ. τ. λ., ed. μισθωσαμένου τοῦ οἴκου, illud est in Mon. — 4) καὶ λαβόντος κ. τ. λ., ed. καὶ λαβόντος τὰ ὀστᾶ, τοῦ Ὀρέστου δὲ ἦσαν, ἐλήφ. οἱ Τ., non ita male. — 5) καὶ τὸν Ἡρακλέα, idem schol. legitur in Leid. et Mon., ex quibus γὰρ recepi, om. in ed. — 6) ἀρετῆς, pergit Mon. τὸ δὲ κατὰ τὸν Πᾶνα τοιοῦτόν ἐστιν, quae cum ad sequentia pertinerent, plane omisi. — 7) Καὶ τὸν Πᾶνα, idem schol. legitur in Leid. et Mon., unde emendavi edita plerumque mss. codd. sequutus. — 8) Ἀπεστάλη, ed. ἀπεσταλη τις Φιλιππίδης ὀνόματι ὑπὸ Ἀθηναίων, ἡμεροδρόμος ὢν ἐν τ. Π. — 9) ἐκ τῆς τῶν Λ., τῆς ex Mscr. — 10) πλησίον ἐγένετο, ἐγένετο ex Leid. — 11) ταὐτὰ φροντ., ed. ταῦτα φρ. — 12) ἐπετέλεσαν, sic Leid., ed. ἀπετ., cf. Valken. ad Herod. VI, 105. — 13) Καὶ Πινδάρῳ, ead. leguntur in Mon. et Leid. — 14) λέγουσιν, deest in Leid. — 15) ὁ Πίνδαρος, ὁ deest in Leid.

Digitized by Google

Οἱ δὲ [1] Ὑπομνηματισταὶ λέγουσιν, ὅτι ἐν τῇ κρεουργίᾳ τοῦ Πέλοπος ὠρχήσατο ὁ Πὰν· ἔχομεν δὲ τοῦτο ἐν τῇ [2] πρώτῃ νίκῃ.

Ἀλλαχοῦ δὲ καὶ λόγον] Id. Ζητεῖται, πῶς λέγει τὸν Πᾶνα λόγον ἢ λόγου ἀδελφόν. Λέγομεν οὖν, ὅτι πάντα κατὰ λόγον συνέστη· τὰ δὲ πάντα ἐστὶν ὁ Πὰν, ἀδελφὸς ἄρα ὁ Πὰν τοῦ λόγου. Πάλιν δὲ ὁ Πὰν λόγος, ἐπειδὴ Ἑρμοῦ ἐστιν, ὡς φασιν, υἱὸς πᾶς λόγος ἔντεχνος. Ἡ δὲ [3] ὅτι ὁ Πὰν μουσικὸς, πᾶς δὲ λόγος εὔμουσος καὶ ἐμμελῶς σύγκειται. Leidens. Ζητεῖται κ. τ. λ. λέγομεν, ὅτι τὰ πάντα διὰ λόγον κ. τ. λ. Μᾶλλον δὲ ὁ Πὰν λόγος· διὸ καὶ Ἑρμοῦ υἱὸς ὁ λόγος ὁ ἔντεχνος καὶ παρὰ θεοῦ διδόμενος εἰς παίδευσίν ἐστιν.

286, A. Ἆρά γε ἢ πρὸς [4]] Apogr. Mon. Ὁ λόγος σχετλιακός· πρὸς θεῶν δὲ εἶπε διὰ τὸν Πᾶνα καὶ τὸν [5] Ἡρακλέα· φησὶν, ὅτι πρὸ τῆς Μαραθῶνος οὐκ ἤδεσαν Ἀθηναῖοι τὸν Πᾶνα θεὸν, ἀλλ' ἐκ τῆς συμμαχίας θεοῦ νενομίκασι. Συννοήσαντας [6] δὲ ἀντὶ τοῦ οὐ πρότερον ἐν νῷ λαβόντας ἱδρύσασθαι βωμόν.

287, B. Τὴν χεῖρα ἐντετακὼς] Schol. ed. Ἐπειδὴ εἶπεν εἷς ἀνὴρ καὶ τὴν ἀπόδειξιν τούτου ἐπήγαγε τὸ ὅτι καὶ μόνος ἐγράφη· ἦν γὰρ ἐν τῇ [7] Ποικίλῃ τὸ πρῶτον γεγραμμένος

1) οἱ δὲ Ὑπομν. addidi ex Mon., neque dubito, quin eadem contineantur Leid., cum plura in eo legi in ora sui exempl. significasset Valken. — 2) ἐν τῇ πρώτῃ νίκῃ, i. e. in primo carmine olympico vrs. 75. H. l. monitum velim, fragmentum Pindari, quod servavit schol. Theocr. I, 1. (fragm. p. 28. ed. Heyne) ex eo mihi desumtum videri, quod scholiastes Aristid. h. l. Panem Pindaro carmen molienti praecepisse per somnum tradit. Non frustra opinor hujus carminis mentionem injecit Aristides, in quo ipsa haec victoria, Pane fautore a Miltiade reportata, Pindari ore posteris tradita sit. — 3) Ἡ δὲ, ed. ἤδε. Quae ex Leidensi, a Valk. correcta exhibui, ita edidit Creuzerus, V. D., in Meletem. I, 33., ubi excidit ἐστὶν. — 4) Ἆρά γε, subl. Valk., Werf. ex Mon. ἀρά γε. — 5) τὸν Ἡρακλέα· φησὶν, Mon. τὸν Ἡρακλέα φησιν. 6) συννοήσαντας, M. συννοήσαντες. — 7) ἐν τῇ Ποικίλῃ τὸ πρῶτον γεγρ., sic Leid. et Mon., ed. ἐν τῇ ποικίλῃ στοᾷ, quae ultima vox enata ex τὸ ά. Dicitur autem et ποικίλη στοὰ et Ποικίλη. Nepos Milt. VI. Miltiadi talis honos tributus est in porticu, quae Ποικίλη vocatur, quum pugna depingeretur Marathonia, ut in decem praetorum numero *prima* ejus imago poneretur, isque hortaretur milites proeliumque committeret.

Digitized by Google

ὁ Μιλτιάδης ἐκτείνων τὴν χεῖρα καὶ ὑποδεικνὺς τοῖς Ἕλλησι τοὺς βαρβάρους, λέγων ὁρμᾶν κατ' αὐτῶν. Ὄνομα δὲ ἐκκλησίας ἡ πνύξ, ὡς καὶ Αἰσχίνης μέμνηται. (p. 104. R.)

Ταὐτὸν Παυσανίᾳ [1] Ap. Mon. ..... *Παυσανίας γὰρ* 288, C. *κρατήσας ἐν Πλαταιαῖς τῶν Μήδων ἠβουλήθη* [2] *ὕστερον προδρομικῶς φησι καὶ ὁ συγγραφεὺς ἐν τῷ ά.*

Καὶ σχέδον τῶν γε Ἀθ.] Schol. ed. *Τὸ σχέδον εἶπεν, ἐπειδὴ τῷ ὄντι Λακεδαιμόνιοι ἐνίκησαν.*

Τῶν ἀντιτεταγμένων] Id. *Τῶν τὰ Μήδων φρονούντων·* 289, B. *λέγει δὲ διὰ τοὺς Θηβαίους.*

Καὶ τά γε τῆς τειχομαχίας] Id. *Τοῦτο οὐκέτι ἐν* [3] *Πλαταιαῖς ἐγένετο, ἀλλ' ἐν Θήβαις· τῶν γὰρ βαρβάρων μετὰ τὴν τροπὴν καταφυγόντων εἰς τὸ τεῖχος καὶ μὴ ἐξιόντων εἰς μάχην Ἀθηναῖοι τειχομαχήσαντες ἐνίκησαν.*

Ὅτι στρατὸν] Id. *Τὸ ἐπίγραμμα μεταφέρει εἰς τὸν* 289, D. *Μιλτιάδην, ὅπερ ἔγραψεν* [4] *ἐν τῷ τρίποδι ὁ Παυσανίας, ὅπερ ὕστερον ἐξεκολάφθη.*

Ὥσπερ Λύσανδρον] Id. *Ναύαρχος ὢν τῶν Λακεδαι-* 290, A. *μονίων ἐν Αἰγὸς ποταμοῖς — τοῦτο* [5] *δὲ τὸ χωρίον ἐν τῷ Ἑλλησπόντῳ τῆς Θράκης — νικήσας τοὺς Ἀθηναίους, ὡς λέγει Ξενοφῶν, δεκαδαρχίας καθίστη* [6] *ἐν ταῖς πόλεσι, θέλων ὀλιγαρχίαν ποιῆσαι· καὶ ἐντεῦθεν στάσεις καὶ θόρυβοι ἐγένοντο ἐν ταῖς πόλεσι.*

Καὶ σκόπει] Id. *Φανερῶς νῦν τὴν παράθεσιν ἐγύμνωσεν, ὅτι πρὸς τοὺς φίλους Πλάτωνος τὸν Μιλτιάδην συγκρίνει.* [7]

1) *ταὐτὸν Παυσανίᾳ*, Werf. hoc sch. adscripserat ad *μονονοὺ κρείττων*. Exciderunt autem nonnulla, quantum ex punctis colligi potest. — 2) *ἠβουλήθη ὕστερον προδρομικῶς φ. κ. τ. λ.*, leg. *μετεβουλευήθη*, vel *ἠβουλήθη ὕστερον προδοῦναι ὡς φησι καὶ ὁ συγγραφεὺς*, (Thucyd. I, 128) vel perierunt nonnulla post *ὕστερον*, vel lege *τὰ τῶν Μήδων ἠβ. ὕστ.*, dicitur enim *βούλεσθαι τά τινος*, alicujus caussa velle, alicui favere, ut *φροντίζειν τά τινος*. — 3) *ἐν Πλαταιαῖς*, Valk. *ἐν τῇ Πλαταιᾷ*. — 4) *ὃ ἔγραψεν*, vide hoc Simonidis epigramma in Gaisf. p. min. I, p. 372., *ὅπερ* Valk. delevit. 5) *τοῦτο δὲ τὸ χ.*, in ed. continua oratione haec cum superioribus et iis quae infra sunt, leguntur. — 6) *καθίστη* sic Valk. ex Leid., ed. *κατέστη*. — 7) *συγκρίνει*, ed. *συγκρίνειν*.

Digitized by Google

291, A. "Ωσπερ Θίμβρωνα [1]] Id. Τοῦτον λέγουσι στρατηγὸν γενέσθαι Λακεδαιμονίων, μέθυσον καὶ ἀκόλαστον.

ib. Τὰ τῆς δημοκρατίας [2] ἐπιχώρια] Id. Τοῦτο προσέθηκεν, ἵνα μή τις εἴπῃ, ἀλλὰ ταῦτα μὲν οὐχ ἡμάρτανεν ὁ Μιλτιάδης τὰ [3] Λακωνικά, ἀλλὰ τὰ Ἀττικὰ φαίνειν δὲ ἐστι τὸ κακῶς ἐπιτροπεύειν, φάσις γάρ ἐστιν ὄνομα δίκης κατὰ τῶν ἐπιτροπευόντων κακῶς, ἔνδειξις δὲ ὄνομα δίκης κατὰ τῶν ὀφειλόντων τῷ δημοσίῳ.

ib. Δημεύειν] Ap. Mon. Εἴποι τις, ὅτι κακῶς εἶπε τὸ δημεύειν ἐπὶ τοῦ ῥήτορος· οἱ γὰρ δικασταὶ τούτου κύριοι· λέγομεν οὖν ὅτι καὶ παρὰ Δημοσθένει ἔχομεν τὴν λέξιν ἐν Φιλιππικοῖς· ἔνθα [4] λέγουσι τὸ κρίνειν, δημεύειν δηλοῖ. Τὸ δημεύειν δηλοῖ ὅτι τῶν ῥητόρων τινὲς, χαριζόμενοι τῷ δήμῳ, ἔγραφον κατά τινων πλουσίων δήμευσιν.

291, B. Οἶμαι δὲ κἂν ἐν θεῶν] Schol. ed. Δώδεκα γὰρ θεῶν δικασάντων, Ὀρέστῃ καὶ Ἐρίνυσιν, ἓξ προσετέθησαν τῷ Ὀρέστῃ, μεθ' ὧν ἦν ἡ Ἀθηνᾶ καὶ νενίκηκεν.

291, D. Νομίζω] Id. Μετὰ [5] τὰ κατὰ Μαραθῶνα ἐπεστρύτευσεν ἐπὶ τοὺς Παρίους ὁ Μιλτιάδης, ἢ ὅτι συνέπραξαν τῷ Πέρσῃ, ἢ ὅτι ἀπέστησαν τῶν Ἀθηναίων· ἔστι δὲ αὕτη [6] ἡ νῆσος εὐτελής. Ταύτην πολιορκοῦντος αὐτοῦ ἐπέμφθη βέλος ἐξ ἀφανοῦς καὶ ἔτρωσε τὸν αὐτοῦ μηρόν· ὃ δὲ νομίσας τῆς Δήμητρος εἶναι βέλος, ἦν γὰρ πλησίον τοῦ τείχους βωμὸς. [7] αὐτῆς, καὶ ἱερὸν [8] φοβηθεὶς ἀνεχώρησε· κατηγόρησαν οὖν αὐτοῦ προδοσίαν οἱ Ἀθηναῖοι καὶ εἰς τὸ δεσμωτήριον ἐνέβαλον, μετὰ [9] τῆς ἐκτίσεως φρουροῦντες αὐτὸν τοῦ τι-

1) Θίμβρωνα, ed. Βρίθωνα, illud voluit Cant., confirmant Bar. I., Coll. Nov., et Schell., qui omnes Θίβρωνα, haud quaquam contemnendum, vid. Wess. ad Diod. XIV, 36. XVII, 108. Vales. ad Harp. p. 93. Hess. ad Timol. Mor. ad Paneg. c. 40. 2) Τὰ τῆς δημ., subl. Valken. — 3) τὰ Λακωνικὰ κ. τ. λ., f. κατὰ τὰ Λ. κ. τ. λ. — 4) ἔνθα λέγουσιν κ. τ. λ. Erat, cum sic mallem ἵνθα λέγει τὸ κρίνειν δημεύειν· τὸ δημεύειν δηλοῖ κ. τ. λ. Incipit ed. inde ab τὸ δημεύειν δηλοῖ κ. τ. λ. quae item leguntur in Mon. Vide Intt. ad Hesych. s. v. ubi Demosthenes explicatur. Adde Vales. ad H. p. 17. et 343. — 5) μετὰ τὰ κατὰ ed. μετὰ δὲ κατὸ. 6) αὕτη ἡ ν., ἡ inseruit Valk. ex L. — 7) βωμὸς, ed. βωμοὶ. — 8) ἱερὸν φοβ., ed. καὶ φοβηθεὶς ἂν ἐχώρησε. — 9) τῆς ἐκτίσεως, ed. τῆς κτίσεως.

Digitized by Google

μήματος, κατεψηφίσαντο γὰρ αὐτοῦ πεντήκοντα τάλαντα. Δεινῶς [1] δὲ εἰς ἐγκώμιον αὐτοῦ τὴν αἰτίαν περιτρέπει δεικνὺς, ὅτι διὰ τοῦτο ἐζημίωσαν [2] αὐτὸν Ἀθηναῖοι, διότι νομίζοντες αὐτὸν ὑπὲρ ἄνθρωπον καὶ τοῖς πᾶσιν ἀήττητον εἶδον ἀναχωρήσαντα αὐτὸν ἐκ Πάρου ἄπρακτον.

Οὐδὲν πλέον] Ap. Mon. Ὥσπερ καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου εἶπε φρόνιμον τὴν μητέρα αὐτοῦ, ὅτι ἀπέδοτο αὐτὸν κακὸν ὄντα ὡς ἐδείχθη ὕστερον. 192, C.

1) Δεινῶς κ. τ. λ. Hic desinit Leid., indicante Valk., pergit editus. — 2) ἐζημίωσαν, ed. ἐξημίωσαν. Hardt. in Cod. CXXIII. ultimum scholiorum in Miltiadem hoc ajit esse: Οὐκ οἶν ἄρα οὐ δώσομεν κ. τ. λ., quae nusquam in meis leguntur.

Digitized by Google

ΘΕΜΙΣΤΟΚΛΗΣ.[1]

293, B. Λοιπὸς τοίνυν Θεμιστοκλῆς] Sch. ed. [2]Ῥητορικῶς ὁ Ἀριστείδης ἐξ ἀμφοτέρων τῶν ἄκρων τὴν τάξιν τῶν μεγίστων προσώπων εἰργάσατο· προτάξας μὲν τὸν Περικλέα, τελευταῖον δὲ τηρήσας τὸν Θεμιστοκλέα.

ib. [3]Ἐκ δευτερείων τὰ πρωτεῖα] Sch. ed. Μετὰ τὸ νικῆσαι[3] τὸν βάρβαρον συνῆλθον πάντες οἱ Ἕλληνες εἰς τὸν Ἰσθμὸν τῆς Κορίνθου, ὥστε τιμῆσαι κατ' ἀξίαν τοῖς λαφύροις τοὺς ἀριστεύσαντας, ἔνθα πάντες ἐρωτώμενοι, τίς ἐνίκησεν, ἕκαστος ἔλεγεν, ἐγὼ πρῶτος, καὶ κατ' ἐμὲ Θεμιστοκλῆς· τὸ μὲν οὖν ἐγὼ πρῶτος ἔλεγον,[4] ἑαυτοὺς προάγειν τῶν ἄλλων βουλόμενοι, τὸ δὲ κατ' ἐμὲ Θεμιστοκλῆς, διὰ τὸ μὴ δύνασθαι κρύψαι τὴν ἀλήθειαν.

293, C. [5]Ὅσῳ Ξέρξης Δαρεῖον] Ap. Mon..... Ὥσπερ καὶ Δημοσθένης[5] ἐν τῷ κατὰ Μειδίου βουλόμενος αὔξῆσαι τὸ δεινὸν ὃ πέπονθεν, εἰσάγει τὸν Μειδίαν λέγοντα, ὅτι καὶ ἄλλοι τινὲς ἐτυπτήθησαν, ὥσπερ ὁ πρόεδρος καὶ ὁ θεσμοθέτης. εἶτα αὔξει καὶ ἐκ τῶν ποιησάντων, ὅτι οἱ τύψαντες ἐμέθυον καὶ ἠγνόουν, καὶ ἐκ τῶν παθόντων, ὅτι οἱ τυπτηθέντες ἀργύριόν τι δεξάμενοι τοὺς νόμους προδεδώκασιν· οὔτε δὲ ὁ Μειδίας ἠγνόει, οὔτε ἐγὼ τοὺς νόμους προδέδωκα.

1) Θεμιστοκλῆς, sic ex Coll. Nov., Schell., Leidensi, Photio et Cod. Mon. CXXIII, ed. Τπὲρ Θεμ., itemque Mon. CCXLIX, Cod. Aug. CCCCXXXII Ἀριστείδου Θ. In Photio haec: Μιλτιάδης ὑπὲρ Θ., τὸ προοίμιον, at in marg. Θεμιστοκλῆς. — 2) Ῥητορικῶς κ. τ. λ. sic incipere schol. in Cod. Mon. CXXIII docet Hardtius, t. II, p. 63 seq.; integrum scholion a Valken. sublineatum. Μετὰ τὸ νικῆσαι, sic Leid., ed. κινηθῆναι; paullo luculentius haec de Graecorum conventu in Mscr. Leidensi legi, testatur Valken. in marg. — 4) πρῶτον ἔλεγον, ed. ἔλεγεν. — 5) Δημοσθένης ἐν τῷ κατὰ Μειδίου, cap. XI, p. 20 seq. ed. Spald. Sublineavit item Valken.

Digitized by Google

Τὴν Μαρ.] Phot. *Λείπει ἴσως τὸ ἐν.* 295, D.

Τὰ δεύτερα[1] *ἀεὶ τῶν προτέρων*] Sch ed. *Μετὰ γὰρ τὰ ἐπ' Ἀρτεμισίῳ τὰ ἐν Σαλαμῖνι συνέβη.*

Ὑπεύθυνος ἦν] Sch. ed. *Καινοπρεπῶς νῦν τὴν λέξιν, οὐ γὰρ ἐπὶ ἐγκλήματι ὑπεύθυνος ἦν.* 294, D.

Μαντικῆς μὲν οὖν] Sch. ed. *Μαντικῆς διὰ τὸ νοῆσαι τὸν χρησμὸν· δεινότητος διὰ τὸ δύνασθαι πεῖσαι λόγοις· πρᾳότητος, ὅτι καὶ τυπτόμενος παρὰ Εὐρυβιάδου ἔφερε· καρτερίας δὲ, ὅτι ἠνέσχετο τὴν πόλιν καταλιπεῖν εὐαρμοστίας, ὡς ἁρμόσασθαι τῇ χρείᾳ.* 295, A.

Ἀκριβῶς πολιτεία] Sch. ed. *Ἡ γὰρ πολιτεία πολλῶν ἔργων ἐστὶ περιεκτική.* 295, B.

Οὐχ ἧττον καλέσαι τὰς Μούσας] Ap. Mon. (Hom. Iliad. XI, 218.)

Ἔσπετε[2] *νῦν μοι, Μοῦσαι Ὀλύμπια δώματ' ἔχουσαι,*
Ὅστις δὴ πρῶτος Ἀγαμέμνονος ἄντιος ἦλθεν
Ἢ αὐτῶν Τρώων ἠὲ κλειτῶν ἐπικούρων.

Ἡτοιμάζετο δὲ κ. τ. λ.] Ap. Mon. et Leid. . . . . 296, C.

Τοῦτο[3] *δὲ παρὰ Ἡροδότου ὠφέληται· λέγει γὰρ ὅτι διὰ μεγαλοφροσύνην τοῦτο ὁ Ξέρξης ἐποίησεν, οὐ διὰ χρείαν.*

Αἰγύπτου δ' ἀποστάσης] Schol. ed. *Μετὰ γὰρ τὰ ἐν Μαραθῶνι καταφρονήσαντες Μήδων Αἰγύπτιοι ἀπέστησαν· ἐχειρώσατο δὲ αὐτοὺς ὁ Ξέρξης ῥᾳδίως· δεύτερον δὲ ἀπέστη Αἴγυπτος, πρῶτον ἐπὶ Καμβύσου καὶ δεύτερον ἐπὶ Δαρείου.* ib.

Δεκατῷ δὲ ἔτει] Sch. ed. *Ἀπὸ τῶν ἐν Μαραθῶνι ἕως τῶν ἐν Σαλαμῖνι δέκα ἔτη τὰ ἐν*[4] *μέσῳ ἐγένοντο.* ib.

Ὥσπερ ἀρχὴ] Sch. ed. *Ἐπειδὴ πάσῃ τῇ οἰκουμένῃ παρείκασε τὸν ἑαυτοῦ στρατὸν, λέγει ὡς ἔνθα ἐχώρει, ὥσπερ* 297, A.

1) *τὰ δεύτερα ἀεὶ*, subl. Valken., ed. *τὰ δεύτερα ἀεὶ τῶν πρωτείων*, debebat certe *προτέρων*, ut est in ipso Aristide, nisi in eo malis legi *πρωτείων*. Jebbius hinc inde scholio praeposuit lectionem Codicis, unde scholion erat excerptum. Id plus semel factum animadverti. — 2) *Ἔσπετε*, Ap. *Ἔσπεται κ. τ. λ.* — 3) *Ἡτοιμάζετο*, Werf. et Creuzerus ante *τοῦτο δὲ π. Ἡρ.* nonnulla deesse significant. Jam vides clausulam scholii ad *Ἐπιθυμίαν μᾶλλον*, quae paullo infra leguntur, eandem esse; quid dubitemus, non quin diversa Aristidis spectent, sed eodem pertineant? Puta ad *Ἐπιθυμίαν κ. τ. λ.* — 4) *τὰ ἐν μέσῳ*, ex Leid. inseruit Valken.

Digitized by Google

ἄρχων πάσης τῆς οἰκουμένης ἐδόκει· ἔστι δὲ τὸ στρατοπέδου ἑρμηνεία τοῦ πάσης γῆς.

297, B. Ἡ τοῦ ἡλίου [1]] Apogr. Leid. Ἐρχομένου τοῦ βασιλέως ἐπὶ τὴν Ἑλλάδα καὶ γενομένου περὶ τὸν Ἑλλήσποντον, ἔκλειψις ἐγένετο ἡλίου ἐξ ἀνατολῆς· εἶτα ὡς ἠρώτησεν ὁ βασιλεὺς τοὺς μάντεις, τί σημεῖον τοῦτο, ἀπώλειαν εἰπεῖν τῶν Ἑλληνικῶν πόλεων· τοὐναντίον δὲ ἦν· ἐσήμαινε γὰρ αὐτῷ τὴν ἥτταν, διότι ἀπὸ ἀναταλῶν ἐξέλιπεν ὁ ἥλιος, εἶγε καὶ ἀπὸ ἀνατολῶν ἤρχετο ὁ Ξέρξης. Sch. ed. Ἐ. τ. β. ἐ. τ. Ἑλ. περὶ τὸν Ἑλλ. ἐκλ. ἡλ. ἐγ., ὅπερ τοὺς μάντεις αὐτοῦ ἐρωτήσαντος τὰς τῶν Ἑλλήνων πόλεις ἔφασαν ἀφανισθῆναι· τοὐναντίον δὲ συνέβη, ἐπεὶ καὶ ἡ ἐκλ. ἐκ τῆς ἀνατολῆς.

197, C. Ἐπιθυμίαν μᾶλλον ἢ χρείαν] Ap. Leid. Ἐπιθυμίαν μᾶλλον ἢ χρείαν εἶπεν, ὅτι ἠδύνατο ταῖς τριήρεσι τὸν Ἄθω περιπλεῦσαι καὶ οὕτως ἐλθεῖν· νῦν δὲ ὤρυξε τὸν Ἄθω καθάπερ ἐπιθυμίαν πληρῶν· τοῦτο δὲ παρὰ Ἡροδότου ὠφέληται· λέγει γάρ, ὅτι διὰ μεγαλοφροσύνην τοῦτο ὁ Ξέρξης ἐποίησεν, οὐ διὰ χρείαν.

ib. Ὅπως ἀριθμοίη [3] κατὰ μυρίους] Ap. Leid. Καινότερον, φησὶν, ἐξεῦρεν ἀριθμὸν κατὰ μυρίους οὐ [4] καθ' ἕνα μετρῶν· λέγει δὲ διὰ τὸ μυριάνδρον τεῖχος, οὗπερ ἐμνήσθη καὶ ἐν τῷ Παναθηναικῷ (t. I, p. 224, ed. C.)

297, D. Ὥστ ἔγεσθαι] Sch. ed. Παρόντος καὶ μέλλοντος τοῦ βασιλέως πᾶσαι πόλεις ἡλίσκοντο.

298, A. Ὥσπερ τοῦ Ποσειδῶνος] Sch. ed. Ἐπειδὴ Ἐννοσίγαιος [5] ὁ Ποσειδῶν, ὡς Ὅμηρος, (Iliad. XIII, 18.)

. . . . . τρέμε δ' οὖρεα. . . . .

ib. Τὸ δὲ μαντεῖον] Sch. ed. Τοῦ Ἀπόλλωνος δηλονότι· ἔλεγε γὰρ, οὐ μόνον Ἀθῆναι, ἀλλὰ καὶ ἄλλαι κατασκαφθήσονται [6] πόλεις.

1) Ἡ τοῦ ἡλίου ἔκλειψις, vide apud Valken. ad Herod. VII, 37. ἐξ ἀν., sic Valk., M. καὶ ἀν. — 2) Ἐπιθυμίαν μᾶλλον κ. τ. λ. Exstant penes Valken. ad VII, 24. — 3) Ὅπως ἀριθμοίη, scholion ad h. l. vide apud Valken. ad VII, 60. — 4) οὐ καθ' ἑνὰ, f. ἢ καθ' ἑνὰ μ. — 5) Ἐννοσίγαιος, ed. ἐνοσίγαιος. — 6) κατασκαφθήσονται, ed. κατασκαφήσονται.

Digitized by Google

Γέλων[1] *καλούμενος*] Sch. ed. *Ὁ Γέλων οὗτος τύραν-* 298, B.
νος Σικελίας ἦν, καλούμενος δὲ εἰς συμμαχίαν παρὰ τῶν Ἑλλήνων εἶπε συμπράττειν αὐτοῖς, εἰ παράσχοιεν αὐτῷ τὴν τῶν Ἑλλήνων ἡγεμονίαν· τοῦτο φοβούμενος τὸν Πέρσην εἶπεν, ἐπιστάμενος ὅτι οὐ μέλλουσι παρασχεῖν αὐτῷ, διὰ γὰρ αὐτὴν ἐπολέμουν. Οἱ δὲ Ἀργεῖοι οὐκ ἠβουλήθησαν συμμαχῆσαι αὐτοῖς, ἢ ὅτι ἡσύχιοι ἦσαν ἀεί, ἢ ὅτι ὁ Περσεὺς (ἀφ' οὗ Πέρσαι) Ἀργεῖος ἦν καὶ οὐκ ἐβούλοντο τούτοις ἀντιτάττεσθαι· οὔτε γὰρ Ἕλλησιν ὡς ὁμοφύλοις, οὔτε Πέρσαις ὡς συγγενέσιν ἐμάχοντο.

Σοφώτερα] Sch. ed. *Σοφώτερα ἀντὶ τοῦ πανουργό-* ib.
τερα· ἔπεμψαν γὰρ τριήρεις εἰρηκότες τοῖς κομίζουσιν ἐν τῇ[2] *Μαλέᾳ διασῦραι*[3] *— ἀκρωτήριον δὲ τοῦτο τῆς Λακωνικῆς, ὡς ἔγνωμεν*[4] *πολλάκις — μέχρι τροπῆς ἑνὸς τῶν στρατευμάτων. Μετὰ ταῦτα δὲ προσελθεῖν καὶ τοῖς νικῶσιν εἰπεῖν ὅτι, πρὸς ὑμετέραν συμμαχίαν ἥκομεν.*

Θετταλοὶ δὲ] Sch. ed. *Θετταλοὶ δὲ ὑπ' ἀνάγκης* ib.
μὲν, ὅτι[5] *ἔλεγεν αὐτοῖς ἀφεῖναι τὸν Πηνειὸν ποταμόν· ἔστι δὲ οὗτος, ἡ Θετταλία ὑπὸ πολλῶν ἔχεται*[6] *ὀρῶν, ἐξ ἑνὸς δὲ ὄρους τοῦ Πηνείου καὶ ποταμὸς κατήγετο, ὃς ἀοίκητον ἐποίει τὴν χώραν· πεδιὰς γὰρ οὖσα, πληρουμένη τε ὑπὸ τοῦ ποταμοῦ ἀοίκητος ἐγένετο· σεισμοῦ δὲ συμβάντος ἐσχίσθη τὸ ὄρος καὶ εἰς τὰ κοῖλα ἑαυτοῦ ἐδέχετο τὸν ποτάμον· ἐντεῦθεν ἡ μὲν πεδιὰς ἐξηραίνετο,*[7] *ἐτέρωσε δὲ ὁ ποταμὸς προυχώρει*[8] *καὶ παρεῖχεν οἰκεῖσθαι τὴν γῆν. Τοῦτο οὖν τὸ ὄρος, ὅπερ ὁ σεισμὸς ἔρρηξεν, ἠπείλησε φράττειν καὶ ἀοίκητον τὸν τόπον ἐργάσασθαι.*

Δελφοὶ δὲ οὐκ εἶχον] Sch. ed. *Ἠπόρουν*[9] *οἱ Δελφοὶ,* 298, C.

1) *Γέλων καλούμενος κ. τ. λ.* insunt quoque in Apogr. Leid. 2) *ἐν τῇ Μαλέᾳ*, ed. *ἐν τῷ M.* — 3) *διασῦραι*, i. e. tempus terere, ducere, ut Nep. Them. VII, ibiq. Intt. — 4) *ὡς ἔγνωμεν*, sic ed., Leidensis *ἔγνωμεν* (sic), unde Valken. confecit *εἴπωμεν*; *ἔγνωμεν*, nostro usitatissimum, retinendum statui, eo magis quod ex ipsis illis ductibus etiam *ἔγνωμεν*, dicere possis. — 5) *ὅτι ἔλεγεν κ. τ. λ.* sc. Xerxes. — 6) *ἔχεται*, hoc ex Leid. enotavit Valk., ed. *ἔχετε*. 7) *ἐξηραίνετο*, ed. *ἐξ*. — 8) *προυχώρει*, sic Valk. ex L., ed. *προσεχώρει*. — 9) *Ἠπόρουν*, edita ex prava interpunctione laborantia sensu carebant.

Digitized by Google

τί ποιήσουσιν; ὅτι ἐρωτῶσιν αὐτοῖς, τί δεῖ ποιῆσαι; ὁ θεὸς ἔφη, ἐμοὶ μέλησει, ἢ ὅτι εἶπεν αὐτοῖς θύειν.

299, A. Οὐδ' ἠΰξατο αὐτῷ χανεῖν] Ap. Mon. Ὅπερ ἐν τοῖς μεγίστοις κινδύνοις συμβαίνει· καὶ Ὅμηρος·

. . . . Τότε μοι χάνοι εὐρεῖα χθών.

ib. Εὐδαιμόνισε] Ap. Mon. Παρὰ τὸ Ὁμηρικόν· (Odyss. V, 306. 307.)

Τρισμάκαρες Δαναοὶ καὶ τετράκις, οἳ τοτ' ὄλοντο
Τροίῃ ἐν εὐρείῃ. . . . . .

ib. Ἀντ' ἀγαθοῦ τοῦ δαίμονος] Ap. Mon. Δαίμονι αὐτὸν παραβάλλει [1] δεικνὺς αὐτὸν ὑπὲρ ἄνθρωπον· τὸ δὲ ὑποθεὶς ὥσπερ θεμέλιον εἶπε, καὶ ὥσπερ γὰρ οἰκείας οἶμαι καὶ πλοίου [2] Δημοσθένης.

ib. Ὀρθοῖς τοῖς ὀφθαλμοῖς [3]] Valken. in margine minio pinxit: Schol.

299, B. Μικροῦ δεῖν] Photius: Παρ' ὀλίγον, σχέδον, ἐγγὺς ἦκεν, οὐ πόρρω ἦν, οὐ πόρρω εἰπεῖν, ὡς ἔπος φάναι, ὀλίγου δεῖν, ὀλίγου δέω φάναι, μονουχί.

300, A. Ἢ τί γράφειν βελτίον] Sch. ed. Εἰς τὸ ψήφισμα αἰνίττεται, ὃ ἔγραψε Θεμιστοκλῆς, παραδοῦναι τὴν πόλιν [4] Ἀθηναίους Ἀθηναίων Μεδούσῃ καὶ εἰς τὰς τριήρεις ἐμβῆναι. [5]

300, B. Εἰπὲ γάρ [6]] Sch. ed. Ἐπειδὴ εἶπεν ἀποκρίνασθαι ὁ Πλάτων ὡς τεθνεώς, ὡς ἀποροῦντα αὐτὸν ποιεῖ πρὸς τὴν ἐρώτησιν καὶ προσκαλεῖται τῶν αὐτοῦ μαθητῶν τινα ἀποκρίνασθαι ὑπὲρ αὐτοῦ.

1) παραβάλλει, Mon. παραβάλλοι. — 2) καὶ πλοίου Δημ., lege καὶ πλοίου· Δημοσθένης . . . . . omissa Demosthenica χρῆσει. — 3) Ὀρθοῖς τοῖς ὀφθ. Huc fortasse pertinent, quae edidit Valk. ad Herod., VII, 152. Ἔδοξεν τὰς πόλεις τὰς μηδισάσας (in Leid. erat μηδιεσώσας) δεκατεῦσαι· ἀλλ' οἱ Ἀθηναῖοι ἐπέσχον ὕστερον καὶ Θεμιστοκλῆς. — 4) τὴν πόλιν Ἀθηναίους Ἀθηναίων Μεδούσῃ κ. τ. λ., sc. Minervae Atheniensium curam agenti; sic Valk. ex Leid., ed. Μηδούσῃ. Equidem ex Aristide pag. 192 lego: Ἀθηνᾷ Ἀθηνῶν μεδεούσῃ.

5) ἐμβῆναι, quod deerat in ed., ex Leid. addidit Valk. — 6) Εἰπὲ γὰρ κ. τ. λ., schol. ad h. l. sic legerim. Ἐπειδὴ εἶπε, ἀποκρινάσαι, ὦ Πλάτων ὡς τεθνεώς, ἀποροῦντα κ. τ. λ. vel Ἐπειδὴ εἶπε, ἀπορίνασαι ὦ Πλάτων, ὡς τεθνεῶτ' ἀπορ. κ. τ. λ.

Digitized by Google

Τὴν Πύκνα (ed. *Πνύκα*, cf. Creuz. ad Plot. p. 285.)] Apogr. Leid. *Ἡ πνὺξ ὄνομά ἐστιν ἐκκλησίας παρ' Ἀθηναίοις·* [1] *ἠθικεύεται* [2] *δὲ ἐνταῦθα ὁ Ἀριστείδης δεικνὺς τὴν σοφίαν ἐν λόγοις μόνον οὖσαν καὶ οὐκ ἐν ἔργοις.* Schol. ed. *Ἡ πνὺξ ὄνομά ἐστι παρ' Ἀθηναίοις· εἰρωνεύεται δὲ ἐνταῦθα ὁ Ἀριστείδης λέγων, ἐδει ἐπὶ Ξέρξου τοιαῦτα φιλοσοφεῖν.* ib.

Τὸ ὂν μὲν ἀεὶ] Sch. ed. *Τὸ ὂν μὲν ἀεὶ τοῦτο ὁ Πλάτων ἐν τῷ Τιμαίῳ λέγει περὶ τοῦ θείου, τοῦτο γὰρ γένεσιν οὐκ ἔχει.* 300, C.

Ἀλλ' ὅθεν ἀνδρία [3]] Apogr. Mon. *Τὸ πρῶτον εἶπε πάλιν, ὡς πρὸς τὰς ἰδέας, ὅτι ἐκεῖθεν ἡ* [4] *παρ' ἡμῖν ἀνδρεία κατάγεται· ἔστι δὲ αὐτῷ* [5] *Κράτυλος διάλογος, ἔνθα περὶ τῆς τῶν ὀνόματων* [6] *ὀρθότητος διαλέγεται καὶ ἐτυμολογεῖ, φιλοσόφως διδάσκων· ἑτέρα δὲ ἡ τοῦ φιλοσόφου ἀνδρεία καὶ ἑτέρα ἡ τοῦ στρατιώτου.* ib.

Ὥσπερ σύνθημα [7]] Sch. ed. *Ῥῆμά τι ἔλεγον οἱ στρατηγοὶ, ἵνα* [8] *ἐὰν συμβῇ αὐτοῖς τοῖς ἐναντίοις ἀναμιχθῆναι, τοὺς ἑαυτῶν φίλους γνωρίζωσι, καὶ τοῦτο ἔλεγε* (f. *ἔλεγον*) *τὸ σύνθημα· ἐπειδὴ δὲ πολλάκις συνέβαινε καὶ τοὺς ἐναντίους* [9] *μανθάνειν αὐτὸ, ἧλλασσον* [10] *αὐτὸ εἶπου μάχη χρονία ἐγένετο, ἵνα μὴ γνόντες οἱ ἐναντίοι* [11] *χλευάζειν δυνή-* 300, D.

1) *παρ' Ἀθ.*, sic Valk. ex L., ed. *Παναθηναίοις*. — 2) *Ἠθικεύεται*, (Leid. *ἠθικεύεσθαι*) quae vox Lexicis ignota idem significare videtur, quod *ἠθικῶς εἰπεῖν*, i. e. cavillari, dum mores alicujus imiteris, *εἰρωνεύεσθαι*. — 3) *Ἀλλ' ὅθεν ἀνδρία*, cf. Creuz. ad Plot. p. 285. — 4) *παρ' ἡμῖν*, f. *παρ' ὑμῖν*, apud vos philosophos. — 5) *αὐτῷ*, sic M., noli *αὐτοῦ*, schol. ad Av. 282. *Φιλοκλεῖ ἐστι δρᾶμα Τηρεὺς*, Menand. Rhet. p. 596, l. 20. *εἰσὶ τοίνυν καὶ τῷ Βακχυλίδῃ ὕμνοι ἀποπεμπτικοί*. — 6) *ὀνομάτων*, sic rescripsi cum Creuz. pro *νοημάτων*, confirmat idem V. D. p. 472., cf. Bast. comm. pal. p. 782 seq. — 7) *ὥσπερ σύνθημα*, ead. leguntur in Leid. et Mon. Quae sequuntur vocem *δυνήσωνται*, *ἢ λ. τ. π. ἐν τ. τ. κ. π.*, *ὅτι β.* addidi ex Mon. — 8) *ἵνα ἐὰν κ. τ. λ.* sic et Mscr., ed. *ὥσπερ εἰ συμβαίη τοῖς ἐναντίοις, ἀναμιχθῆναι τοὺς ἑαυτῶν φίλους γνωρίζουσι*, leg. *ἐναντίοις ἀναμιχθῆναι, τοὺς κ. τ. λ.* — 9) *μανθάνειν αὐτὸ*, ed. *αὐτῷ*. — 10) *ἧλλασσον αὐτὸ*, ed. *ἠλασσον αὐτῷ ὅπου κ. τ. λ.*, *αὐτὸ ὅπου* ex Leid. Valk. — 11) *χλευάζειν δυνήσωνται*, ed. et M. *δυνήσονται*, M. *χάλαζειν*. Post *Θουκυδίδης* in Mon. reliqua desunt, non item in Leid.

Digitized by Google

σωνται, ἢ λάθωσι τοὺς πολεμίους ἐν ταῖς ταραχαῖς καὶ ποιήσωσιν, ὅτι βούλονται. Μέμνηται καὶ Ξενοφῶν καὶ Θουκυδίδης. Ἄλλοι δὲ λέγουσιν, ὅτι ἐν τῇ μάχῃ ὁ στρατηγὸς τρίτον βοᾷ τοῖς στρατιώταις, μηνύων τὸν καιρὸν τοῦ συμβαλεῖν [1] καὶ τοῦτο καλεῖται σύνθημα.

301, A. Ὕστερον τῶν πραγμάτων σοφίαν] Sch. ed. Ἦν μετὰ τὰ πράγματα εὑρίσκει τις, λέγων ὡς τοῦτο καὶ οὐκ ἐκεῖνο ποιεῖν ἔδει.

301, B. Ὑπερήφανον] Sch. ed. Τὸ ὑπερήφανον νῦν ἐπὶ καλοῦ, ἀντὶ τοῦ μέγα καὶ θαυμαστόν.

301, C. Κληρονομεῖν [2]] Phot. Ἢ οὕτως ἐρεῖς, οὐδέν φασι λαμπρόν, οὐδ' ὑπερήφανον· πολλὰ γὰρ ἃ κατὰ μελετὴν ἔδοξεν ἄριστα βεβουλεῦσθαι, ἐπὶ τῶν καιρῶν ἐδείχθη τῶν ἀχυρημάτων αἴτια φανέντα· ἦ καὶ οὕτω, πολλὰ γὰρ ἐν ταῖς βουλαῖς τὴν κρίσιν τοῦ νικᾶν λάβοντα, ἐπὶ τῆς χρείας τὴν αἰτίαν ἀπηνέγκατο τῆς ἀτυχίας (al. εὐτυχίας) καὶ οὐκ ὀλίγα ἄλλα τοιαῦτα· ἀλλὰ μή ποτε τοιαῦτα καὶ τὰ περιφανῶς οὐκ εὖ πεπραγμένα οὐδὲ βεβουλευμένα τοῖς αἰτιωμένοις, οὐ πολλὴν παρέχει τὴν παῤῥησίαν· ἢ οὕτω, τοῖς αἰτιωμένοις (al. τοὺς αἰτιωμένους) δόξειεν ἂν εἰς οὐκ εὔλογον ποιεῖν, ἀποβλέπειν αἰτιολογίαν, ἀλλὰ γάρ πως ὑπαντήσει ταῦτα τοῖς μὴ ὀρθῶς προελθοῦσιν, ὥσπερ τοῖς οὐ φαύλως· ἐν ἐκείνοις μὲν γὰρ ἐνῆν τὸ δέον, ἐξ οὗ προήγετο τὸ ἐνθύμημα· ἐν τούτοις δὲ τὸ μὴ δέον προφαινόμενον καὶ αὐτὴν ἐπέχει τὴν γένεσιν τοῦ ἐπιχειρήματος.

ib. Ὥσπερ Ἀργεῖοι καὶ Κερκυραῖοι] Sch. ed. Οὗτοι οὔτε τοῖς Ἕλλησιν οὔτε [3] τῷ Πέρσῃ συνεμάχουν, ὡς ἔγνωμεν· Κρῆτες δὲ μίαν ἀπέστειλαν ναῦν.

302, A. Οἱ Θετταλοὶ] Sch. ed. Οἱ Θετταλοὶ γένος ἄπιστον, ὡς πόλλακις ἐγνωμεν.

1) συμβαλεῖν, sic Leid., ed. συμβαίνειν — de συνθήματι cf. Creuz. M. et Symb. I, §. 16. Valk. ad Schol. in Eurip. Phoen. 1147. — 2) Κληρονομεῖν, hic scholion apud Photium inseritur, quando explicat ea, quae praecedunt; scholion autem ipsum non omnino intellectum habeo. — 3) Οὔτε τῷ Πέρσῃ, οὔτε ex Leid. cum Valk. inserui.

Digitized by Google

Εἶναι τὴν Ἑλλάδα ἢ μή] Ap. Leid. *Σωθῆναι ἢ ἀπολέσθαι.* 303, B.

Ἀπὸ γραμμῆς] Sch. ed. *Τὸ ἀπὸ γραμμῆς παροιμία ἀντὶ τοῦ ἀπ' ἀρχῆς,*[2] *ἐπειδὴ πρώτη ἡ γραμμὴ πάντων σχημάτων — γραμμὰς*[3] *δὲ λέγουσι τὰς εὐθείας κεραίας, ἢ τὰς ἄλλας — ἀφ' ἧς ἀρξάμενοι διαπαντὸς ἕλκουσι, σχῆμα ὃ βούλονται ποιοῦντες.* ib.

Μή μοι λόγῳ] Sch. ed. *Λέγει, ὡς οὐ δεῖ μόνον σκοπεῖν τὴν φήμην τὴν ὑπὸ Θεμιστοκλέους, ἀλλὰ τὰς πράξεις αὐτοῦ, εἰ ἀληθεῖς εἰσίν.* ib.

Τῆς γὰρ εἰκόνος] Sch. ed. *Τῆς εἰκόνος μένμησο τῆς σαυτοῦ ἀντὶ τοῦ ὧν εἶπες ῥημάτων· λέγει γὰρ ἐν τῷ Γοργίᾳ*[4] (p. 134. ed. H.) *Εἰ χρυσῆν ἔχων ἐτύγχανον τὴν ψυχήν, ὦ Καλλίκλεις, οὐκ ἂν οἴει με εὑρεῖν ἄσμενον τούτων τινὰ τῶν λίθων, ἢ βασανίζουσι τὸν χρυσόν, τὴν ἀρίστην.* ib.

Καὶ τοὺς ἄλλους Ἕλληνας] Sch. ed. *Εἰς τοὺς μηδίσαντας ἀποτείνεται, οὐδὲ γὰρ μετέσχον τῆς μάχης.* 304, A.

Τοὺς δὲ ἄκοντας αὐτῶν] Sch. ed. *Πάλιν αἰνίττεται, ὅτι βουλομένους φεύγειν Λακεδαιμονίους ἐκώλυσε, τὸν βάρβαρον σχήματι προδοσίας αὐτοῖς ἐπαγαγών.* ib.

Τοιαύτας ἔδωκε τὰς ἀποκρίσεις[5]] Sch. ed. *Τὴν εἰς τὸ* 304, B.

1) *Εἶναι τὴν Ἑλλάδα ἢ μή*, sublineavit quidem Valken. *ἐπ' αὐτοῦ ξυροῦ κ. τ. λ.*, additis: 350 *mscr.*, sed *σωθῆναι ἢ ἀπ.* pertinent ad *Εἶναι Ἑλλ.* Publicavit haec Valken. ad Herodot. VI, 11. 2) *ἀπ' ἀρχῆς*, ed. *ἀπαρχῆς.* — 3) *γραμμὰς δὲ λ. εὐθείας, κερ.* (ed. *εὐθείας κεραίας*, sunt autem lineae rectae, curvae vel reliquae, immo *et* reliq., ut legas *καὶ τ. ἄλλας*) *ἢ τ. ἄλλας*, a reliquis sejunxi velut *παρένθεσιν*, ut *ἀφ' ἧς* pertineat ad *γραμμὴ*, Grundlinie. Memorat scholion in hanc rem D. Erasmus adag. cent. VI, p. 217. » Is qui in hunc auctorem addidit scholia, putat hoc proverbium finitimum illi, *ἀφ' ἑστίας ἀρξάμενος*, i. e. a lare exorsus. « — 4) *ἐν τῷ Γοργίᾳ*, ex quo locum dedi ad edit. Heind., ipse schol. ita: *εἰ χρ. ἔχ. ἐτ. σὴν ψ. ὦ Καλλικλεῖς, οὐκ ἂν οἴει ἄσμ. τούτ. τ. τ. λ. εὑρει, ᾗ βασ. τ. χ. τὸν ἄριστον.* — 5) *Τοιαύτας ἔδωκε κ. τ. λ.* Jebbius ita *τοιαύτ. ἐδ. τ. ἀπ.*] *Τὴν εἰς τὸ φρέαρ κατάσχεσιν* (sic) *τῶν κηρύκων συμαίνει* (sic). *Τὸν ἑρμηνεύσαντα*] *Εἰς Λ. ἀπ.*, *ὅτι Ἀθ. μιμ. καὶ αὐτοὶ τ. ἀγγ. ἀπέκτειναν. Ἄλλως, τὸν Ἴωνα, ἐκ. κ. τ. λ.* Vel ex vestigiis Ap. Leid., quae indicavit Valken., vel ex ipso orationis Aristideae tenore, ita suo quodque loco reddere mihi visus sum. *Ἄλλως* forte exortum ex com-

Digitized by Google

φρέαρ κατάχωσιν τῶν κηρύκων σημαίνει. Εἰς Λακεδαιμονίους ἀποτείνεται, ὅτι Ἀθηναίους μιμησάμενοι καὶ αὐτοὶ τοὺς ἀγγέλους ἀπέκτειναν.

ib. Τὸν ἑρμηνεύσαντα] Sch. ed. Τὸν Ἴωνα, ἐκαλεῖτο δὲ Λυκίδας· ἦν δὲ τὰ γράμματα, ἃ ἑρμήνευσεν, Ἀσσυρίων φωνῇ γεγραμμένα.

305, A. Οὐδὲν τοῖς Μέλητος] Sch. ed. Ὁ Μέλης κιθαρῳδὸς ἦν καὶ ἐλέγετο τὰ πρὸς ἡδονὴν ᾄδειν, ὃν διαβάλλει ὁ Πλάτων καὶ ᾧ τὸν Θεμιστοκλέα παραβάλλει.

ib. Ἀλλ' ἀπεναντίον μᾶλλον] Sch. ed. Καὶ τὸ καλὸν, φησὶν, ἔχει καὶ τὴν ἀπ' αὐτοῦ τοῦ καλοῦ ἡδονήν, οὐχ ἣν οἱ κακοὶ ἄνδρες ὁρίζονται ἡδονήν, ἀλλ' ἣν οἱ ἀγαθοὶ, τουτέστι, οὐ τὴν ἀσελγῆ, ἀλλὰ τὴν σώφρονα.

ib. Οὐδ' οἷς ἐκ.] Apogr. Mon. Τὸ ἡδὺ δηλονότι· ὃ Πλάτων ἐν τῷ Γοργίᾳ φησὶν, ὅτι ὁ Μέλης ἡδὺς μέν ἐστιν, οὐκ ὠφελιμος δὲ..... (Gorg. p. 189. ed. H.)

305, B. Τῆς Τερπάνδρου [2]] Apogr. Mon. Τέρπανδρος ἐγένετο Δωριεὺς μὲν τὸ γένος, ἄριστος δὲ τὴν λυρικὴν τέχνην· τοῦτον δὲ μετακαλέσαντες Λακεδαιμόνιοι στασιάζοντες καὶ ᾄδοντος αὐτοῦ συνέβησαν. Οὗτοι [3] δὲ ἕτεροις στασιαζόντων Λακεδαιμονίων καὶ δσημέραι διαχρωμένων ἀλλήλους, ἀνεῖλεν ὁ Θεὸς μεταπέμψασθαι ἐκ τῆς Μηθύμνης — πόλις δὲ αὕτη τῆς Λέσβου, ὡς ἔγνωμεν ἐν τῷ γ', τοῦ Θουκυδίδου — ἐλθὼν οὖν ὁ Τέρπανδρος μουσικὸς ὢν καὶ τὴν παλαιὰν ἁρμονίαν εἰδὼς ᾄσμά τι εἰπὼν ἔπαυσε τὴν στάσιν· φασὶ γάρ, ὅτι ἀκούοντες ἐδάκρυον καὶ ἀλλήλους περιεπτύσσοντο. Τούτῳ οὖν συγκρίνων τὸν Θεμιστοκλέα καὶ μείζονα δείκνυσιν.

---

pendio vocis ἀγγέλους. Illa εἰς Λακεδαιμονίους ἀποτείνεται κ. τ. λ. referenda ad haec Aristidis, Ὥσθ' ἅπασι τοῖς Ἕλλησιν ὑπάρχειν μαθεῖν. — 1) Λυκίδας, cf. autem ad Panathen. pag. 182. et Valken. ad Herod. IX, 5. — 2) Τῆς Τερπάνδρου, ed. sic: Οὗτος ἄριστος ἦν τὴν μουσικὴν (Valk. ex Leid. λυρικὴν) τέχνην, ὃν, στασιαζόντων τ. Λακ. καὶ δσ. διακρ. κ. τ. λ. Μηθύμνης· πόλις δε αὕτη Λέσβου· ἐλθὼν οὖν καὶ αὐτίκα ᾄσμα εἰπὼν ἔπαυσε τ. στ. κ. τ. λ. — 3) Οὗτοι δὲ ἑτέροις. Sic ex Mon. Werferus. Quae quomodo cum reliquis cohaereant aut emendanda sint, non video.

Digitized by Google

Ἐν οἷς καὶ τῶν διαφ.] Sch. ed. *Ἀριστείδην λέγει τὸν* 305, C.
δίκαιον· ἀντεπολιτεύετο γὰρ αὐτῷ.

Προσβαλλόντων] Sch. ed. *Ἵνα μή τις εἴπῃ, οὐκοῦν* 306, C.
ὡς δειλὸς ὁ Θεμιστοκλῆς ἐπελέξατο τὴν ἐλάττονα
μάχην τῆς μείζονος, τῇ προσθήκῃ τῆς λέξεως μείζονα
ἔδειξε τὸν Θεμιστοκλέα, εἰρηκὼς γὰρ ἐλάττονα προσέθηκε
καὶ ὑπερβολήν.

Τὰν τῇ γῇ [1]] Ap. Mon. *Ὁ μὲν γὰρ Φορμίων δημη-* ib.
γορῶν ἐν τῇ β' λέγει τοὺς τῆς θαλάσσης πλείους κινδύνους
τῶν κατὰ γῆν.

Ἐπεψήφιζεν ὁ θεὸς] Sch. ed. *Θέλων* [2] *δεῖξαι ὁ Ἀρι-* 306, D.
στείδης τὸν Θεμιστοκλέα σοφὸν καὶ ὥσπερεὶ μάντιν, λέγει
ὅτι καὶ τοῦτο ἐπεψήφιζεν ὁ Ἀπόλλων, τουτέστι τὸ ναυ-
μαχῆσαι Ἀθηναίους ἐν Σαλαμῖνι, ὡς ἅτε δὴ τοῦ Θεμιστο-
κλέους, καὶ πρὸ τοῦ μαντεύσασθαι τὸν Ἀπόλλωνα, λέγοντος,
ὅτι δεῖ ἡμᾶς ἐν Σαλαμῖνι ναυμαχεῖν.

Πεφρύχθαι [3]] Ap. Leid. *Ἀντὶ τοῦ τετειχίσθαι· φρύγος* 307, A.
δέ ἐστιν εἶδος ξύλου.

Ῥάχῳ] In m. Schell. *ξυλίνῳ περιβόλῳ, ἤτοι σταυρώ-* ib.
μασιν.

Καὶ τὸν χρησμὸν] Sch. ed. *Οὗτος ἦν ὁ χρησμός·*
Τεῖχος Τριτογενεῖ [4] *ξύλινον διδοῖ εὐρυόπα* [5] *Ζεύς* ib.
— — — — — — — — —
— — — — — — — — —
— — — — — — — — —
— — — — — — — — —
Ὦ [6] *θεία Σαλαμίς· ἀπολεῖς δὲ σὺ τέκνα γυναικῶν* [7]
Ἢ που [8] *σκιδναμένης Δημήτερος, ἢ συνιούσης.*

1) *Τὰν τῇ γῇ*, addenda videntur editis ad *προσβαλλόντων*, Phormio apud Thucyd. II, 86. — 2) *Θέλων δεῖξαι κ. τ. λ.* leguntur item in Leidensi. — 3) *Πεφράχθαι*, ex Leidensi edidit Valken. ad Herod. VII, 142. cf. Wesseling. ad gloss. Herod. p. 356 ed. Schw. — 4) *Τριτογενεῖ*, Valk. ex Mscr., ed. *Τριτογενείους*. — 5) *εὐρ. Z.*, ed. *εὐρύοπα ζεὺς*. — qui intercedunt versus quatuor exciderunt in ed., non monente Jebbio. — 6) *ὦ θεία* ed. *ὦ θεία*. 7) *γυναικῶν*, ed. *γυναίκων*. — 8) *Ἢ που σκιδν. κ. τ. λ.* pro his, quae leguntur in clausula hujus Oraculi penes Herodot. VII, 141, haec in edito exhibentur

Ἢ που δυσομένου Ὑπερίονος ἠδ' ἀνίοντος,

ex Odyss. I, 24. leniter accommodata.

Digitized by Google

307, C. *Τοὺς μὲν δὴ χρησμῳδοὺς*] Sch. ed. *Εἰτεῦθεν τὸν Θεμιστοκλέα καὶ τῶν μάντεων αὐτῶν ἀποφαίνει σοφώτερον.*

ib. *Διὸ δὴ καὶ θείαν αὐτὴν*] Sch. ed. *Δεδιότες*[1] *οἱ μάντεις διὰ τὸ λέγειν τὸν χρησμὸν*

. . . . . *ἀπολεῖς δὲ σὺ τέκνα γυναικῶν,*

ὑπηγόρευον ναυμαχεῖν· ὁ γοῦν Θεμιστοκλῆς ἔλεγεν, ὡς εἰ τὴν ἀπώλειαν τῶν Ἑλλήνων ἠνίσσετο, οὐκ ἂν τὴν Σαλαμῖνα θείαν, ἀλλὰ σχετλίαν προσηγόρευεν ὁ χρησμός.

309, A. *Τὸν πόλεμον τὸν πρὸς Αἰγινήτας*] Ap. Mon. et Leid. *Ἐπιδαύριοι*[2] *λιμῷ διεφθείροντο· ἔχρησεν αὐτοῖς ἡ Πυθία, ἐκ τῶν ἐλαιῶν τῆς Ἀθηνᾶς τῶν ἱερῶν ἀπὸ ἀκροπόλεως ἀγάλματα ἱδρύσασθαι*[3] *Δήμητρος καὶ Κόρης, Ταμίας καὶ Αὐξησίας.*[4] *Ἐπιδαύριοι πρὸς Ἀθηναίους ἦλθον, ἱκετηρίαν φέροντες, ἐπιδεικνύντες καὶ τὸν χρησμόν· οἱ δὲ δισσῇ γνώμῃ συνείχοντο ἀτοπίαν ἐχούσῃ, τῇ μὲν ἐκτεμεῖν τὰ ἀνερώμενα τῇ*[5] *θεῷ δένδρα, τῇ δὲ ἰδεῖν ἀπολλυμένους*[6] *Ἐπιδαυρίους· τέλος ἐνίκησε παρασχεῖν*[7] *διὰ τὸ σωθῆναι πάντας· ἐπέταξαν οὖν κατ' ἐνιαυτὸν*[8] *φέρειν τῇ θεῷ θυσίαν ὡσανεὶ τέλος, καὶ τοῦτο ἐποίουν. Τελευταῖον Αἰγινῆται πρὸς Ἐπιδαυρίους ἐπολέμησαν καὶ ἐκράτησαν αὐτῶν· ἔλαβον δὲ μετὰ τῶν ἄλλων λαφύρων καὶ τὰ ἱερὰ ἀφιδρύματα, ἃ ἦσαν ἐκ τῆς ἀκροπόλεως λαβόντες, καὶ οὐκέτι παρέσχον τὰ τέλη τῶν θυσιῶν, Ἐπιδαύριοι, λέγοντες παρὰ τοῖς Αἰγινήταις*[9] *εἶναι, οὓς δέον καὶ ἀπαιτεῖν τὰς θυσίας· μὴ βουληθέντων δὲ Αἰγινητῶν παρασχεῖν αἰτούντων Ἀθηναίων, πόλεμος ἐκ τούτου συνέστη. Γενομένου τοῦ πολέμου ἐπλέονασε*[10] *τότε τοῖς Ἀθηναίοις τὰ μέταλλα τοῦ ἀργυρίου· ταῦτα ἐψηφίσαντο Ἀθηναῖοι ὀρχηδὸν μερίσασθαι, τουτέστι τοὺς ἄνδρας*

1) *Δεδιότες οἱ μ.*, subl. Valken. — 2) *Ἐπιδαύριοι κ. τ. λ.* usque ad *Ἐπιδ. πρὸς Ἀθ.* edidit Valken. ad Herod. V, 82. — 3) *ἱδρύσ.*, Ap. M. *ὑδρύσ.* — 4) *Αὐξησίας*, Ap. M. *αὐξήσιος.* — 5) *τῇ μὲν, τῇ δε*, erat cum mallem *τῇ μὲν, τῇ δε* — 6) *Ἐπιδαυρίους*, sic Werf., in Ap. *ἐπιδαυρίας.* — 7) *παρασχεῖν*, Ap. *παραχὼν.* — 8) *κατ' ἐνιαυτὸν*, Ap. *καθ' ἑαυτὸν* Herod. V, 82. — 9) *τοῖς Αἰγινήταις*, Ap. *ταῖς Αἰγ.* — 10) Inde ab *ἐπλέονασε* usque ad *τοὺς παῖδας* edidit Valken. ad Herod. VII, 114. ubi *ὀρχηδὸν* correxit pro *ἀρχηδὸν*, quod erat in Leid.

Digitized by Google

μόνον καὶ τοὺς παῖδας· διεκώλυσε δὲ τοῦτο γενέσθαι Θεμιστοκλῆς λέγων, ὡς δεῖ τὰ χρήματα εἰς ναῦς ἀναλῶσαι, διὰ τὸν τῶν Αἰγινητῶν πόλεμον, τὸ δὲ ἀληθέστερον, ἤδη προσκοπῶν μέλλειν ἐπέρχεσθαι τὸν βάρβαρον, καὶ εἰπὼν ἔπεισε.

"Ὡς φησι Πίνδαρος [1] Ap. Mon. Δείκνυσι καὶ Πίνδαρον ἐπαινέτην ὄντα Θεμιστοκλέους· κρηπὶς δέ ἐστιν ἡ δόξα καὶ ἀρχὴ καὶ θέμελιος· ὁ δὲ Πίνδαρος εἶπε τὰς Ἀθήνας ἔρεισμα [2] τῆς Ἑλλάδος. 309, D.

Οὕτω γὰρ [3] ὡς ἀληθῶς] Sch. ed. Ἐνταῦθα λοιπὸν περὶ τῆς παραχωρήσεως τῆς ἡγεμονίας βούλεται λέγειν, ὅτι δι' ἐπιείκειαν παρεχώρησαν. [4] Ἀθηναῖοι τοῖς Λακεδαιμονίοις, ἐδύκουν γὰρ δι' ἀσθένειαν τοῦτο ποιεῖν. 310, A.

Θειᾷ τινι μοίρᾳ] Sch. ed. Ῥητορικῶς εἰσάγει τὸν Θεμιστοκλέα παρὰ θεοῦ τινος δωρεὰν τῇ πόλει καὶ τῇ Ἑλλάδι δοθέντα. ib.

Ὑπερέβαλον [5] μὲν Ἀθ.] Sch. ed. Ἐντεῦθεν ἀγνωμοσύνην κατηγορεῖ τῶν Ἑλλήνων, ὅτι τοῖς Λακεδαιμονίοις ἔδωκαν τὴν ἡγεμονίαν, μηδὲ [6] πολὺ ναυτικὸν ἔχουσι. 310, B.

Καὶ τοὔνομα τῆς ἡγεμ.] Sch. ed. Λόγῳ γὰρ καὶ σχήματι μόνον εἶχον τὴν ἀρχὴν οἱ Λακεδαιμόνιοι, οἱ δὲ Ἀθηναῖοι ἔργῳ· ὃ γὰρ ἦν ἔργον ἡγεμόνων ποιεῖν, οἱ Ἀθηναῖοι ἐποίουν ἐν τῷ πρὸς τὸν βάρβαρον πολέμῳ. 310, D.

Ὑπὲρ τῶν κοινῶν δικ.] Sch. ed. Κοινὸν δίκαιον λέγει τὴν ἐλευθερίαν τῆς πατρίδος. 311, B.

Καὶ ταῖς ναυσὶν] Sch. ed. Ἐνδέχεται γὰρ παρεῖναι μὲν ναῦς, μὴ μέντοι κεχρῆσθαι αὐταῖς· διὰ τοῦτό φησι, μᾶλλον δὲ καὶ ταῖς ναυσὶν ἐποίησε χρήσασθαι. 313, B.

1) Ὡς φησι Πίνδαρος, laudat ea Valk. ad Herod. VIII, 17, nil de scholio memorans, cum in exemplari sublineasset. — 2) de Pindari ἔρεισμα, cf. ad Panath. extr. — 3) Οὕτω γὰρ ὡς ἀληθῶς, haec male in scholii exordio repetit Jebbius. — 4) παρεχώρησαν Ἀθηναῖοι, ed. παρεχώρησαν αὐτοῖς Ἀθηναῖοι, male, cum subsequatur τοῖς Λακ.; igitur delevi, ex ων et compendio vocis Ἀθ. ortum arbitratus. — 5) Ὑπερέβαλον, sublin. Valken. — 6) μηδὲ, ed. μὴ δὲ.

Digitized by Google

513, B. *Τῶν ἀπὸ μηχανῆς*] Ap. Leidens. *Τοῦτο εἶπεν,*[1] *ἵνα σημήνῃ τὸ ἐξαίφνης καὶ ἀπροσδόκητον. Ὅρα δὲ πάλιν τὴν ὑπερβολήν, πῶς θεόν τινα ποιεῖ ἐπιφανέντα σωτήριον· ἀπὸ μηχανῆς δὲ εἶπεν, ὅτι ἔχομεν ἐν τοῖς δράμασι τοῖς κωμικοῖς ἀπὸ μηχανῆς ἄνωθεν χεῖρα θεοῦ πολλάκις ἐπιφαινομένην.* Sch. ed. *Τοῦτο εἶπεν, ἵνα κ. τ. λ. ὅτι ἔχομεν ἐν τοῖς δράμασι τῶν ποιητῶν ἀπὸ μηχανῆς ἄνωθεν θεοὺς ἐπιφαινομένους πολλάκις, ὥσπερ Εὐριπίδης ἐποίησεν ἐν Ὀρέστῃ εἰσάγων τὸν Ἀπόλλωνα εἰς διαλλαγὴν Ὀρέστου καὶ Μενελάου.*

ib. *Ἐπρίατο*] Sch. ed. *Εὐβοεῖς φοβούμενοι, μή πως φύγωσιν οἱ Ἀθηναῖοι ἀπέστειλαν αὐτοῖς τριάκοντα τάλαντα, ἵνα περιμείνωσιν, ὅπως ἐκθῶνται τοὺς παῖδας αὐτῶν καὶ τὰς γυναῖκας ἀσφαλείᾳ· ἀπὸ τούτων τῶν τριάκοντα δέδωκεν αὐτῷ πέντε*[2] *ὡς ἴδια ὁ Θεμιστοκλῆς.*

ib. *Διάκονος ἀξιῶν*] Sch. ed. *Τὸ γὰρ πρίασθαι οὐκ ἐστι διακόνου· ἐπειδὴ δὲ εἶπεν ἄνω ὑποκοριζόμενος, ὅ ἐστι κολακείας, τοῦτο ἐπήγαγεν, ὥσπερ ἐκεῖνο ὑπολυόμενος.*

513, C. *Τοῦ περὶ τὰς πύλας πάθος*] Sch. ed. *Πάθος*[3] *ἐκάλεσε τὸν θάνατον τῶν τ· οὐχ ἥττων δὲ ὠνόμασεν, ὥσπερ ὀδυρόμενος μᾶλλον ἢ μέμφομενος· ἴσμεν γὰρ ὅτι οὐχ ἡττήθησαν, ἀλλὰ προὐδόθησαν διὰ τοῦ ὄρους τῆς Θετταλίας.*

ib. *Εἰ θέμις εἰπεῖν*] Sch. ed. *Ἐκόλασε τῇ προσθήκῃ*

1) *Τοῦτο εἶπεν, κ. τ. λ.* sic ex Leid. hoc sch. constituit Valken., reliqua quae inde ab *ὥσπερ Εὐριπίδης κ. τ. λ.* leguntur, in Leid. deesse confirmans. In editis pro *Ἠλέκτρᾳ* emendavit Creuzerus *Ὀρέστῃ*, quod recepi, cf. vrs. 1641. Tene autem fabulam, quae Electrae nomen fert, non minus *ἀπὸ μηχανῆς* dissolvi, in qua Dioscuris eaedem partes datae sint Orestem inter et Agamemnonem, quae in Oreste Menelaum inter et Orestem Apollini. Utramque fabulam comico generi adnumerandam esse, cf. Argumentum graecum ad Orest. et Vict. ad El.; eodemque ex censu crediderim esse Sophoclis Philoctetem, ubi item Hercules tanquam Deus ex machina prodit *οὐρανίας ἕδρας προλιπών*. Ut videas recte in Leid. pro *τῶν ποιητῶν* legi *τοῖς κωμικοῖς*. — 2) *αὐτῷ πέντε*, ed. absurde *τριάκοντα πέντε*, quod Valk. emend. ex Leid. et in marg. et ad Herod. VIII, 4. Ex ipso Herod. VIII, 5. medicinam huic loco parari posse, vide Wessel. ad h. l. Valken. ad Herod. IX, 115. hoc Aristidis false dictum laudans de scholio nil addit. — 3) *Πάθος ἐκάλεσε κ. τ. λ.* Haec prioribus ita adposuerat Jebbius ut unum schol. efficerent.

Digitized by Google

τὴν βλασφημίαν, μαντείαν δὲ λέγει τὸ ξύλινον τεῖχος, ἢ τὰς ναῦς· ταῦτα δὲ ὥσπερ λύσις ἐστὶ τοῦ ἀντιπίπτοντος, ἀντετίθει[1] γὰρ Πλάτων[2], λέγων, ὅτι ὡς δηλοῖ· κατέφυγεν εἰς τὰς ναῦς.

Κατεχώσθησαν] Sch. ed. *Τουτέστι Κατυπατηθέντες* 314, A.
ἐτάφησαν· αἰνίττεται δὲ διὰ τοῦτο[3] *τὸ πλῆθος τῶν βαρβάρων.*

Ἀλλ' ὅτι[4] *καὶ Λακεδαιμόνιοι*] Sch. ed. *Σιωπᾷ τοὺς* ib.
προδότας, ἢ διὰ τὸ ἀδήλους εἶναι, ἢ ἵνα μὴ διαβάλλῃ αὐτοὺς, ὅτι Ἕλληνες ἦσαν, λέγουσι δὲ Ἐφιάλτην τινα στρατηγὸν Θετταλῶν· ἦσαν δὲ οἱ πεμφθέντες εἰς τὴν φυλακὴν τῶν Τεμπῶν Λακεδαιμόνιοι. Ἀλλ' ὥσπερ[5] *εἰδότας αὐτοὺς εἰσάγει τὸν θάνατον τῶν τ'· ἴσως δὲ αἰνίττεται τὸν Μεγιστίαν τὸν μάντιν· λέγεται γὰρ καὶ οὗτος προειρηκέναι τοὺς ἐξιόντας εἰς Πύλας πάντως ἀπολεῖσθαι· διὰ τοῦτο οὖν ἴσως καὶ ὀλίγους φησὶ πεπομφέναι Λακεδαιμονίους, ὧν ἠδυνήθησαν ὡς ὀλίγων ἐνεγκεῖν τὴν στέρησιν.*

Οὕτω δὲ (Jebb. *δὴ*) *τούτων*] Sch. ed. *Νῦν οὐ μόνον* 314, B.
τῶν Λακεδαιμονίων, ἀλλὰ καὶ τῶν ἄλλων Ἑλλήνων κατηγορεῖ.

Κατὰ κράτος ἤδη] Id. *Μετά*[6] *γὰρ τὸ νικῆσαι τοὺς* ib.
Ἕλληνας τὰς τοῦ βαρβάρου πρόπλους ἐπ' Ἀρτεμισίῳ, ἐβουλήθησαν Πελοποννήσιοι τειχίσαι τὸν Ἰσθμὸν ἀκούσαντες, ὅτι ἄλλαι βαρβαρικαὶ τριήρεις περιπλέουσι. Τοῦτο σφόδρα εὔηθες ἦν· ἔχων γὰρ ναυτικὸν ἠδύνατο περιπλέων τὴν Πελοπόννησον κατὰ πόλιν[7] *ἑλεῖν.*

1) *Ἀντετίθει γὰρ*, i. e. *objecisset enim Plato*, nam reapse in Gorgia Plato non objecit. — 2) *ὡς δηλοῖ*, f. *ὡς δειλὸς κατ.* — 3) *διὰ τοῦτο τὸ πλ., τοῦτο* ex meis inserui. — 4) *Ἀλλ' ὅτι καὶ Λακεδ.*, dicit et in margine sui exempl. et ad Herodot. VIII, 22. multa meliora in mscr. legi, quam in editis; quibus inserui tantum *οὖν* post *τοῦτο*, et *φησὶ* post *ὀλίγους*, quae sola e Leid. enotaverat Valken. in marg. — 5) *Ἀλλ' ὥσπερ κ. τ. λ.* edita sic: *Ἄλλως. Ὥσπερ εἰδότας*, quae coëgi in *ἀλλ' ὥσπερ*, cum voculae *Ἄλλως*, cui quae sit vis in scholiis nemo nescit, plane hic locus non esset. 6) *Μετὰ γὰρ τὸ κ. τ. λ.* prava interpunctio edita pauxillum disturbaverat. — 7) *κατὰ πόλιν ἑλεῖν*, sic Valken. ex Leid. pro editis *καταπόλαι ἐνῆν*, absurdio absurdius. Koen. ad Gregor. Corinth. p. 635 ed. Sch. ex Aristide vult *κατὰ πόλεις*, Herodoti loco con-

Digitized by Google

ib. *Τὰ δ' ἄλλα παρεικότων*] Sch. ed. *Τῆς γὰρ Ἑλλάδος πάσης ἠμέλουν, Πελοποννήσου δὲ ἀντεποιοῦντο* [1] *καὶ ταύτην ἐτείχιζον, νομίζοντές τὴν Πέλοπόννησον καὶ τὴν Ἑλλάδα ταὐτὸν εἶναι· μέρος δέ ἐστι τῆς Ἑλλάδος.*

ib. *Ἔσχατος μὲν ἀνεχώρει*] Sch. ed. *Ἐν ταῖς φυγαῖς τὸ τελευταῖον ἀναχωρεῖν ἔπαινον ἔχειν δοκεῖ· λελῃθότως* [2] *δὲ ἀποτείνεται πρὸς τὸν Πλάτωνα,* [3] *ἐπειδὴ κἀκεῖνος ἐπαινεῖ τὴν ἀπὸ Δηλίου Σωκράτους φυγήν, ἥντινα ἔγνωμεν* [4] *ἐν τῷ δ' Θουκυδίδου. Οὐκ εἶπε δὲ, ἔσχατος ἔφυγεν, ἀλλ' ἔσχατος ἀνεχώρησε καὶ τὴν φυγὴν δεικνὺς ἐγκώμιον.*

314, C. *Τοὺς Ἴωνας*] Sch. ed. *Ἐνταῦθα λέγει περὶ οὗ ἔνεγραψεν* [5] *ἐν ταῖς ναυλόχοις πέτραις, Μνήσθητε Ἴωνες πατρῴου φρονήματος καὶ ὅτι κατὰ πατέρων στρατεύεσθε, καὶ προσεποιήσατο φεύγειν, ἵνα ἐλθόντες ἀνάγνοιεν αὐτὸ* [6] *οἱ Ἴωνες.* Apogr. Mon. et Leid. *Ἀντὶ τῆς φυγῆς· λέγει δὲ περὶ οὗ ἐνέγραψεν ἐν ταῖς ναυλοχ. π., Μν. Ἰων. π. φρ. καὶ προσεποιήσατο φεύγειν, ἵνα κ. τ. λ. αὐτὸ οἱ Ἴωνες.*

ib. *Οὐκ ἀπὸ τοῦ βήματος*] Sch. ed. *Θαυμασίως τοῦτο εἶπεν· ὁ γὰρ ῥήτωρ μᾶλλον ὁρώμενος πείθει, ἢπερ διὰ γραμμάτων, δυσωπεῖ γὰρ μᾶλλον ἀναφαινόμενος·* [7] *καινὸν δὲ βῆμα δείκνυσι τὸν Θεμιστοκλέα κτησάμενον τὰς ναυλόχους πέτρας.*

ib. *Ποῖος Μίνως Ὀμ.*] Sch. ed. *Ὡς δικαιότατον τὸν Μίνω παρέλαβεν, ἐπειδὴ καὶ, ὃ πρὸς τοὺς Ἴωνας ἔγραψε Θεμιστοκλῆς, δίκαιον ἦν· τὸν δὲ Αἰακὸν, ὡς ὑπὲρ τῆς Ἑλ-*

firmans, cui adde Thucyd. I, 73. Sed Noster t. I, 176 et Wess. ad Diod. Sic. XV, 38. Est *oppidatim*, ut *vicatim* in Horat. Epod. VI, extr. — 1) *Ἀντεποιοῦντο* ed. *ἀντεπονοῦντο;* reliqua sic in editis: *καὶ ταύτην ἐτείχιζον· μέρος ἐστι τῆς Ἑλλάδος· νομίζοντες τ. Π. κ. τ. Ἑλλ. τ. εἶναι.* — 2) *Λελῃθότως*, sic Valk. ex Leid., ed. *λελῃθότα.* — 3) *πρὸς τὸν Πλάτωνα, τὸν* cum Valk. ex Leid. inserui. — 4) *ἔγνωμεν*, Valk. ex Leid. *εἴπομεν*, ut supra. Atqui Thucyd. IV, 90 seq. de Socrate nil narrat, *ἥν τινα* itaque refer ad *φυγὴν* tantummodo, non ad *Σωκράτους φ.;* aut fallitur Schol. 5) *ἐνεγρ.*, Valk. ex Leid., ed. *ἔγρ.* — 6) *αὐτὸ οἱ Ἴωνες*, dedi ex Mon., Leid. *αὐτοὶ οἱ Ἴωνες*, ed. *αὐτοὶ στορες Ἀντὶ τῆς φυγῆς* ex Leidensi non indicavit Valk., spectat autem ad Aristidis haec, *τὸ τῆς ὁδοῦ πάρεργον, ὃ πρὸς τοὺς Ἴωνας ἐπολιτεύσατο.* Apposui haec, ne opineris *Ἀντὶ τῆς φυγῆς* ex superioribus *ἐν ταῖς φυγαῖς* enata esse. — 7) *Ἀναφαινόμενος*, ed. *ἀφαινόμενος.*

Digitized by Google

λάδος εὐξάμενον· αὐχμοῦ γὰρ πολλοῦ γενομένου τοῖς Ἕλλησιν, Αἰακὸς εὐξάμενος τῷ Διῒ τοῦτον κατέπαυσεν.

Ἡ τρίτη πείρα] Sch. ed. Πρώτη πείρα ἡ τῶν πρό- 315, A.
πλων τῶν βαρβάρου καθαίρεσις, δευτέρα δὲ ἡ ἐκ τῆς τῶν εἰς Πύλας ἀπαντησάντων ἀπωλείας ἀπόδειξις, ὅτι δεῖ θαλάσσῃ κεχρῆσθαι.

Εἰς τὴν Βοιωτίαν] Sch. ed. Ἐπειδὴ τῆς πεζομαχίας 315, C.
ἐπαινετής ἐστιν ὁ Πλάτων, δείκνυσιν, ὡς ἐβούλοντο μὲν πεζομαχεῖν Ἀθηναῖοι πρὸς τὸν ἐν τῇ Βοιωτίᾳ τοῦ Ξέρξου στρατόν, οὐδεὶς δὲ αὐτοῖς ἠκολούθει· λέγει οὖν, ὅτι καὶ τὴν ναυμαχίαν ἀνάγκη προείλοντο.

Τοῦ τῶν Βαβυλωνίων] Sch. ed. Τοῦτο ἰσχυρότατόν 316, A.
φησι καὶ [1] Θεόκριτος (XVI, 100.)

. . . . . καὶ ὅθι πλατὺ τεῖχος
Ἄσφάλτῳ δήσασα Σεμίραμις ἐμβασίλευεν.

Ἔστι δὲ τῶν θεαμάτων.

Ἀντὶ φρυκτῶν] Schol. ed. Φρυκτοὶ λαμπάδες εἰσὶ ib.
σημαίνουσαι πολεμίων ἔφοδον· κοινὸς [2] οὖν φρυκτωρίας ἐνταῦθα λέγει τὸν ἐμπρησμὸν τῶν Ἑλληνικῶν πόλεων· αὗται γάρ, φησὶν, ἐμπιπράμεναι ἐδήλουν τὴν παρουσίαν τοῦ Πέρσου. Τῶν δὲ φρυκτῶν οἱ μέν εἰσιν εἰρηνικοί, οἱ δὲ πολεμικοί· τοῦτο δέ τινες κακῶς ἐξηγοῦνται, λέγοντες οὕτως, ὅτι ἡνίκα ἐδήλουν πόῤῥωθεν τοῖς συμμάχοις εἰρηνικοὺς, [3] ἁπλῆν ἐποίουν τὴν λαμπάδα, ὅτε δὲ [4] πολεμικοὺς, διπλῆν. Τοῦτο δὲ εὔηθες· καὶ γὰρ εἰ καὶ διπλῆν αὐτὴν ἐποίουν, ὅμως πόῤῥωθεν ὡς ἁπλῆ ἐφαίνετο· ἡμεῖς δέ φαμεν, ὅτι ὅτε μὲν ἐσήμαινον τοῖς συμμάχοις πολεμίων ἔφοδον, ἔστρεφον ἀεὶ τὴν λαμπάδα, ὅτε δὲ εἰρήνην, ὀρθὴν ἐκράτουν.

Εἰς Τροιζῆνα] Sch. ed. Τὴν Τροιζῆνα νῆσον λέγει Ἰσοκράτης, γείτονα μὲν τῶν Ἀθηναίων, μικρὸν δὲ πόῤῥωθεν

1) καὶ Θεόκριτος, Leid. et ed. sic: ἔνθα δὲ τεῖχος et ἐμβασιλεύει. Transscripsi ex ed. Gaisford. — 2) κοινὰς οὖν κ. τ. λ., ed. sic: φρυκτωρίας οὖν ἐνταῦθα εἶπε τὸν κ. τ. λ. omisso κοινὰς, quod ex Leid. Valkenarius enotavit, itemque reliqua. — 3) εἰρηνικοὺς, ed. εἰρηνικῶς. — 4) πολεμικοὺς, sic Valk. ex L., ed. πολέμου.

Digitized by Google

οὖσαν, ἵνα εἰ καὶ συμβῇ ἀπολέσθαι τοὺς Ἕλληνας, τελευταῖον ἀπολεῖται τὰ γένη ἐκεῖ ὄντα.

316, B. Θαυμαστῆς [1] δὲ καὶ τῶν π. ἀρ.] Apogr. Mon. Πανταχοῦ συνάπτει τῷ Θεμιστοκλεῖ τὰς ἀρετὰς μετὰ τῶν Ἀθηναίων· κοινὸν δεικνὺς τὸ κατόρθωμα· ὥσπερ Δημοσθένης λέγει· ἐποιεῖτε μὲν ὑμεῖς, [2] ἔγραφον δ' ἐγώ.

316, C. Τοῖς ὁμοίοις [3] κ. τ. λ.] Sch. ed. Ὁμοίους λέγει τοὺς Ἕλληνας, ὁμοίως γὰρ πάντες ἦσαν Ἕλληνες, ἀνομοίων δὲ ἔργα λέγει, τουτέστι κἂν φύγωσι καὶ μὴ πτῶσιν [4] εἰς τὴν μάχην· ἀνόμοια λέγει, ὅτι μὴ βουλομένου τοῦ Θεμιστοκλέους τὸν Ἰσθμὸν τειχίζειν ἐβούλοντο.

317, A. Νῦν γὰρ ἀνεμνήσθην] Sch. ed. Τὸ νῦν γὰρ εἶπεν, ἐπειδὴ ἐν τῷ τέλει τοῦ Περικλέους (p. 151.) ὥσπερ ἐπελάθετο λέγων, καὶ οὐκ οἶδ' ὅτῳ τῷ τρίτῳ. [5]

317, B. Τοῦτο [6] τὸ ψήφισμα] Sch. ed. Ἐνταῦθα φανερῶς συγκρίνει τὸ ψήφισμα Θεμιστοκλέους πρὸς τὰ Πλάτωνος συγράμματα καὶ τοὺς νόμους, ἐπειδὴ καὶ αὐτὸς ἔγραφε πολιτείας καὶ νόμους.

317, C. Ἢ μικρὸν γοῦν τι] Sch. ed. Καλῶς προσέθηκε τὸ μικρὸν, οὐ γὰρ πάντως οἱ στοχαζόμενοι τῆς ἐπιθυμίας τοῦ δήμου [7] ὅλον ἐξ ὅλου, ὃ βούλεται ὁ δῆμος, ἐννοοῦσιν.

317, D. Ποτνιωμένων [8]] Apogr. Mon. Κυρίως τὸ ποτνιᾶσθαι ἐστι τὸ μετὰ δακρύων εὔχεσθαι καὶ ἐπικαλεῖσθαι τὴν Ἀθηνᾶν παρὰ τὸ Ὁμηρικόν· (Iliad, VI, 305.).

Ποτνι' Ἀθηναίη ἐρυσίπτολι, δῖα θεάων .... (sic)

1) Θαυμαστῆς, ed. sic: Π. σ. τῷ Θ. τοὺς Ἀθηναίους, δεικνὺς κοινὸν τὸ κατόρθωμα κ. τ. λ. — 2) ἔγραφον, ed. ἔγραψα. — 3) τοῖς ὁμοίοις, Jebbius haec suo loco mota adscripserat ad verba Arist. ὅσ' ἂν διδῷ μεν. — 4) πτῶσιν, ed. πτωεῖν. — 5) ὅτῳ τῷ τρίτῳ, ed. ὅσῳ τὸ τρίτον. — 6) Τοῦτο τὸ ψήφισμα, cum ter ab iisdem vocabulis τοῦτο τὸ ψήφισμα haec fere pagina inciperet oratio, Jebbius longe alio transtulit, nimirum ad illa Τοῦτο τὸ ψήψισμα ὑφ' ἡλίῳ κ. τ. λ. quae huc adponenda erant et sublin. Valken. — 7) τοῦ δήμου, ed. τὸν δήμον, cum vel ipse vocis δήμον accentus δήμου vel δήμων proderet. Edidi τοῦ δήμου, sed si conferas Plat. Gorg., p. 193, praetuleris forte τῶν δήμων, nisi statim subsequeretur ὁ δῆμος. — 8) Ποτνιωμένων, subl. Valk.

Digitized by Google

Ἔτι δὲ ὑπολειπομένων] Sch. ed. Τοὺς νοσοῦντας λέγει καὶ τοὺς γεγηρακότας, ἐξ ἀνάγκης μένοντας. ib.

Ἦν ἐν ἀφανεῖ] Sch. ed. Τουτέστιν εἰ αὖθις ἁλῶναι τὴν πόλιν. 318, A.

Ὠρυομένων] Sch. ed. Τὸ ὠρύεσθαι[1] ἐπὶ λύκων, τὸ ὑλακτεῖν ἐπὶ κυνῶν. Ὅρα δὲ, πῶς ἐκ τούτου αὔξει τὸ πάθος· ἔστι δὲ ὅτε καὶ οἱ κύνες μιμοῦνται τὴν τῶν λύκων φωνήν, ὅταν αἰσθάνωνται λυπηρόν τι συμβαίνειν τοῖς δεσπόταις. Δεινῶς δὲ εἶπε τὸ ἀκούων, ὡς τότε ἀκοῆς[2] θεινοτέρας οὔσης τῆς θέας· παῖδας δὲ οὐ διὰ τὴν ἡλικίαν λέγει, ἀλλ' ὅτι ἐπείθοντο ἐκείνῳ ὡς πατέρι. 318, B.

Ὥσπερ εἰς πομπήν τινα] Sch. ed. Πομπὴ παραβάλλει τὸν κίνδυνον, τὴν ἡδονὴν, ἣν εἶχον, ἐμφαίνων. 318, C.

Ἡ κληρούχους] Sch. ed. Κληροῦχος λέγεται ὁ γεωργὸς, ἐπειδὴ οἱ παλαιοὶ τὴν γῆν κατὰ κλήρους ἐμέριζον· δηλοῖ δὲ καὶ τοῦτο τὸ ἀκίνδυνον καὶ ἡδὺ αὐτοῦ. Τοῦτο δέ φησιν, ὅτι ὥσπερ καὶ πρότερον ἐποίουν Ἀθηναῖοι πέμποντες κατὰ χώρας ἀποίκους αὐτῶν εἰς κληρουχίαν οἱονεὶ τὸν αὐτὸν τρόπον· καὶ[3] οὗτος ἐδόκει ποιεῖν ἀρτίως, οὐχ ὑποπίπτων τοῖς δυσχερέσιν. 318, D.

Οἷδ' ἐπείθοντο] Sch. ed. Ἅπερ ἐποίουν αὐτοὶ δι' ἀνάγκην, ταῦτα λέγει πεποιηκότας αὐτοὺς[4] διὰ τὸν Θεμιστοκλέα· παῖδας δὲ καὶ γυναῖκας λέγει τὰ ἀναγκαῖα τῆς φύσεως. ib.

Ἱερᾶς ἀγκύρας τῆς ἐκ.] Sch. ed. Ἀπὸ παροιμίας εἴρηται ἡ ἱερὰ ἄγκυρα· σημαίνει δὲ τὴν εἰς τὰ ἱερὰ γινομένην καταφυγὴν, ἥτις ἦν ἀσφάλεια τοῖς εἰς αὐτὰ καταφεύγουσιν· ἢ ἱερὰν λέγει, ἣν ἔσχον οἱ Ἀργοναῦται παρὰ τῆς Ἀθηνᾶς· φασὶ γὰρ, ὅτι αὕτη δέδωκεν αὐτοῖς ἱερὰν ἄγκυραν, δι' ἧς ἐσώζοντο· ἢ εἴρηται τοῦτο ἀπὸ τῆς μεγάλης ἀγκύρας τῶν πλοίων, ἧς κρυπτομένης εἰς θάλασσαν καὶ μὴ κατεχούσης τὸ πλοῖον, οὐδεμία ἐλπὶς ἐστι σωτηρίας. 319, A.

1) ὠρυομένων, haec verba usque ad ὅρα δὲ πῶς, subl. Valken. reliquorum nihil. — 2) ἀκοῆς, ed. ἀκρῆς. — 3) καὶ οὗτος, ed. ηαι οὗτος, sublineavit κληρούχους in textu Valken. — 4) Αὐτοὺς, ed. αὐτοὺς.

Digitized by Google

ib. *Οὐδ' Ὀρφεὺς*] Sch. ed. *Ἐπειδὴ εἶπε τῆς ἐκείνου φωνῆς, ἀκόλουθον τῇ φωνῇ ἐπήγαγε καὶ τὸ τοῦ Ὀρφέως παράδειγμα, ὃς καὶ τὰ ἄψυχα θέλγειν ἐδόκει τῇ λύρᾳ.*

319, B. *Συνουσίαν, ἣν συνεγένετο Ἀριστείδῃ*] Sch. ed. *Ἐννοήσας*[1] *ὁ Θεμιστοκλῆς ὀλιγώρως ἔχοντας πρὸς τὴν μάχην τοὺς Ἀθηναίους, ἐδήλωσε τῷ βασιλεῖ, ὡς δῆθεν εὔνους, διὰ Σικίννου τοῦ τῶν παιδῶν αὐτοῦ παιδαγωγοῦ κυκλῶσαι τοὺς Ἕλληνας· ὁ δὲ πεισθεὶς ἐκύκλωσεν. Ὁ Ἀριστείδης ἔτυχε πλέων Ἀθήναζε ἀπὸ Αἰγίνης καὶ εὑρὼν αὐτὸν κυκλώσαντα τοὺς Ἕλληνας, μόλις ἀποφυγὼν ἀπήγγειλε Θεμιστοκλεῖ· ὁ δὲ Θεμιστοκλῆς εἰδὼς, ὅτι αὐτῷ λέγοντι οὐ πιστεύουσιν Ἀθηναῖοι, πεποίηκε τὸν Ἀριστείδην τὸ πᾶν αὐτῷ τοῦ πράγματος ὑποθέσθαι.*

319, C. *Ὑπὲρ πάντα Σωκράτην*[2]] Sch. ed. *Ἐπίοντος τοῦ βαρβάρου τῇ Σαλαμῖνι Εὐρυβιάδης φεύγειν ἐβούλετο· παρακαλοῦντος αὐτὸν μένειν τοῦ Θεμιστοκλέους, ἐθρασύνθη καὶ ἔτυπτεν*[3] *αὐτὸν Εὐρυβιάδης· ὁ δὲ πρὸς τὴν πληγὴν*[4] *ἀπεκρίνατο, πάταξόν με, ἄκουσον δέ. Φησὶ οὖν ὁ Ἀριστείδης, ὅτι τὸ πάταξόν με,*[5] *ἄκουσον δὲ ὑπὲρ πάντα Σωκράτην εἰρημένον ἐστὶν, τοὐτέστιν ὑπὲρ πάντα φιλόσοφον. Ὅρα δὲ, πῶς τοῦ Ἀρισείδου δικαιότερον αὐτὸν ἔδειξεν, τοῦ δὲ Σωκράτους καρτερικώτερον· λέγει δὲ, ὅτι οὐδὲ Σωκράτης τυπτόμενος ἤνεγκεν ἄν.*

ib. *Ἀλλ' ἐξέχεοντο ὑπὸ τοῦ δέους*] Sch. ed. *Φόβον αὐτῶν κατηγορεῖ, πανταχοῦ δὲ αὔξει τὰ δεινά, ἵνα μᾶλλον θαυμαστὸν ἀποδείξῃ Θεμιστοκλέα.*

320, A. *Καὶ πρότερον δούλους*] Sch. ed. *Τούτοις ἐμφαίνει, ὅτι κάλλιον μαχομένους καὶ ἡττωμένους δουλεῦσαι ἢ δραπετεύοντας δουλεῦσαι· αὕτη γὰρ ἡ κακὴ δουλεία.*

320, A. *Ὥσθ' ὃγ Ἀριστείδης*] Apogr. Leid. *Περιστοιχίσαν*

1) *Ἐννοήσας ὁ Θεμ.*, haec leguntur in Leid., unde Valken. pro *Συκίννου* dedit *Σικίννου*. — 2) *Ὑπὲρ πάντα Σ.* haec item sunt in Leid. — 3) *ἔτυπτεν*, emendavi *ἔτυπτεν* cum ante esset *ἔτυχεν*. — 4) *πρὸς τὴν πληγὴν*, sic Leid., ed. *πρὸς τῇ πληγῇ*. — 5) *πάταξόν με*, sic bis Leid., ed. *πάταξον μὲν*.

Digitized by Google

τος [1] τοῦ βαρβάρου τοὺς Ἕλληνας, ἀπήγγειλε τοῦτο Ἀριστείδης Θεμιστοκλεῖ· ὁ δὲ αὐτὸν ἐκέλευσε μηνύειν, φάσκων ἑαυτὸν ἀπιστεῖσθαι· τὸ δὲ χρηστὸς εἶπεν, ὡς πρὸς μὴ εἰδότα φησὶ τὸν Θεμιστοκλέα, ὅτι περιεστοιχίσθημεν ὑπὸ τοῦ βαρβάρου. Sch. ed. *Περιστοιχίσαντος κ. τ. λ. τὸ δὲ χρηστὸς εἶπεν, ἵνα δείξῃ ὅτι εἰ ἦν κακὸν τὸ γιγνόμενον, οὐκ ἂν διηκόνησεν Ἀριστείδης καὶ ὅτι οὐκ ἦν τὸ γιγνόμενον προδοσία. Καὶ τὸ τρίτον εἶπεν, ὡς πρὸς τὰ ἐν [2] Εὐβοίᾳ β' τρόπαια, καὶ τρίτον τοῦτο ἐν Σαλαμῖνι.*

Προσέτι φεύγειν εἰπών] Sch. ed. *Ἱστόρηται, ὡς ὅτε ἐξέφυγεν ὁ Ξέρξης, δεδιὼς ὁ Θεμιστοκλῆς, μὴ ἐπίθηται πόλεσιν Ἑλληνικαῖς κατὰ πάροδον, δηλοῖ αὐτῷ φεύγειν· καὶ γὰρ βουληθέντας, φησὶν, τοὺς Ἕλληνας διώκειν ἐπέσχον, ἐντεῦθεν καὶ τὰς πόλεις σώζων καὶ τὸν βασιλέα χρεώστην ὡς δῆθεν [3] αὐτῷ καθιστάς.* 320, B.

Καὶ προσήδει χάριν] Sch. ed. *Ὅρα τὸ παράδοξον, πῶς λέγει τὸν Ξέρξην χάριν ὁμολογεῖν ἀπαντῶντι Θεμιστοκλεῖ.* 320, C.

Οὐκοῦν ἐν μὲν οἷς] Sch. ed. *Ἐντεῦθεν λοιπὸν συνάγειν τὰς τοῦ ἀνδρὸς ἀρετὰς, ὥσπερ ἐπὶ Περικλέους ἐποίησε· τὸ δὲ πολεμεῖν ἥρεῖτο, φησὶν, δηλῶν ὅτι εἰ [4] προδοῦναι ἠβουλήθη, ἠδύνατο.* ib.

Διαφθείρειν ὑπὸ τῶν] Sch. ed. *Τοῦτο εἶπε δηλῶν, ὡς οἱ πολλοὶ τῶν ἀνθρώπων τὰ κρείττω [5] καὶ ὅσα πρὸς ἀρετὴν παρατρέχουσι νικώμενοι μάλιστα τοῖς σωματικοῖς.* 321, B.

Ἡγοῦμαι δὲ καὶ πρὸς ἀμφ.] Sch. ed. *Νομίζω δὲ, ὅτι δεῖ αὐτὸν πρὸς ἀμφοτέρους κρίνεσθαι καὶ ὑπὲρ τοὺς δύο εἶναι κατ' ἀρετὴν, τόν τε Μιλτιάδην καὶ τὸν Κίμωνα,* 321, C.

1) *Περιστοιχίσαντος*, ed. *περιστοιχήταντος*, Leid. *περιτειχίσαντος*; ex utroque confeci *περιστοιχίσαντος*, quod est venatorum et idem valet, quod supra *κυκλοῦν*. Scis tu, Persem ita quoque jactasse, *σαγηνεύειν τοὺς Ἀθηναίους*, qua de re multi sunt Intt. ad Herodotum passim. Hoc est piscatorum. — 2) *Εὐβοίᾳ β' τρ.*, ed. *Εὐβοίᾳ β' τρόπαια*. — 3) *αὖτῷ*, ed. *αὐτῷ*. — 4) *εἰ προδοῦναι*, ed. *ἃ πρόδοῦναι*. — 5) *κρείττω*, ed. *κρείττα*, vel ex *κρείττονα* vel ex *κρείττω* natum.

Digitized by Google

καὶ ἴσος οὖν ἐστὶν ἀμφοτέροις καὶ πρείττων αὐτῶν· τὸ γὰρ πρὸς ἀμφοτέρους ἰσότητα δηλοῖ, τὸ δὲ παρ' ἀμφοτέρους τὸ μεῖζον· καὶ Ὁμηρος (Iliad. XIII, 707.)

παρ[1] δύναμιν δ' οὐκ ἐστίν.....

καὶ Θουκυδίδης· παρὰ δύναμιν τετόλμηται. In marg. C. Schell. Καὶ ὅμοιος ἀμφοτέρων καὶ ἀμφοτέρων ἐπέκεινα.

ib. Πρῶτός τε γὰρ] Sch. ed. Ἐνταῦθα τὸ ἴσον δηλοῖ, Μιλτιάδης γὰρ κατὰ γῆν, καὶ οὗτος κατὰ θάλατταν.

322, A. Ὥσπερ Κίμων ἐπεξῆλθε] Sch. ed. Πεζομαχίαν φησι, τὴν ἐν Πλατ ιαῖς· κἀκεῖ γὰρ παρῆν Θεμιστοκλῆς, ἀλλ' οὐ φανερῶς, ἐπειδὴ Παυσανίας ἐκεῖ ἠρίστευσε. Ναυμαχίας δὲ λέγει τὴν ἐπ' Ἀρτεμισίῳ καὶ Σαλαμῖνι· δέον δὲ εἰπεῖν, ταῖς γὰρ ναυμαχίας τὴν πεζομαχίαν προσέθηκεν, ὑστέρα γὰρ τούτων ἦν, ὁ δὲ τῇ πεζομαχίᾳ τὰς ναυμαχίας προσέθηκεν, εἶπεν ἁπλῶς οὕτως ἀριθμὸν, οὐ τάξιν τηρῶν. Ἄλλως. Καὶ γὰρ ὁ Κίμων νικήσας τὴν ναυμαχίαν ἀποβὰς ἐν τῇ γῇ καὶ πεζομαχήσας ἐνίκησε τοὺς βαρβάρους.

322, B. Καὶ πρῶτα καὶ τελευταῖα] Sch. ed. Εἰ γὰρ ἡττήθησαν τότε, οὐκέτι ἦν ἐλπὶς σωτηρίας αὐτοῖς.

322, C. Αὐτὰς ἀφ' ἑαυτῶν] Sch. ed. Τουτέστιν ἰδίας καὶ οὐκ ἐχούσας παράδειγμα.

ib. Τριῶν ἀντίξιος] Ap. Mon.... Τὸ δὲ τριῶν ἀντάξιος παρὰ τὸ Ὁμηρικόν (Il. XIV, 514.)

Ἰητρὸς γὰρ ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων.

Ἀρτοποιοῦ] Scholl. apud Abresch. ad Thom. Mag. p. 114. Λέγεται[2] καὶ ἀρτοπόπος, ἀπὸ τοῦ πέττειν καὶ ἀρτοκόπος, ἀπὸ τοῦ κόπτειν· ἀρχαιότερον τὸ διὰ τὸ π.

322, A. Ὀρθῷ λόγῳ] Sch. ed. Ὀρθῷ λόγῳ ἀντὶ τοῦ δικαίως,[3] οἶδε γὰρ, ὅτι βιάζεται, βουλόμενος καὶ τὸ τοῦ Παυσανίου τρόπαιον οἰκεῖον ποιῆσαι τοῦ Θεμιστοκλέους. Οἶδε τοὺς Λακεδαιμονίους αὐχοῦντας ἐπὶ τοῖς γενομένοις

1) παρ, ed. παρά. — 2) Λέγεται καὶ ἀρτοπόπος, in ipso schol. ita legitur: Λέγεται καὶ ἀρτοποιὸς ἀπὸ τοῦ πέττειν, unde Abresch. conjecit vel Λ. κ. ἀρτοπόπος, vel καὶ ἀρτοποιὸς καὶ ἀρτοπόπος ἀπὸ τοῦ π. — 3) δικαίως, οἶδε γὰρ, ed. δικαίῳ, ὡς οἶδε γὰρ κ. τ. λ.

Digitized by Google

ἐν Πλαταιᾳ, διο ταπεινοῖ αὐτὰ λέγων ὅτι ὁ ἐπαινῶν τὰ κατὰ Πλάταιαν μᾶλλον ἐπαινεῖ τὸν Θεμιστοκλέα.

Φεύγων ὤχετο] Sch. ed. *Λέγει γὰρ, ὅτι βαπτίσας* ib. *τὸν στόλον ἐφυγάδευσε τὸν στρατὸν πεζῇ.*

Σύνεσιν καὶ πρόνοιαν] Ap. Mon. *Ἢ τὸ αὐτὸ περὶ* 323, B. *τοῦ αὐτοῦ εἶπεν, ἢ πρόνοιαν λέγει τὴν μάντειαν· καὶ ὁ Θουκυδίδης πρόνοιαν λέγει τὴν πρόγνωσιν.*

Εἰ γὰρ πόλλοστημόριον] Sch. ed. *Οὐ μόνον μόριον* ib. *εἶπεν, ἀλλὰ καὶ πολλοστὸν, ἵνα παντελῶς καθέλῃ καὶ δείξῃ αὐτὸ βραχύ· τριακοσίων γὰρ μυριάδων οὔσων τοῦ παντὸς πλήθους, διακοσίους ἑβδομήκοντα μεθ' ἑαυτοῦ ἔλαβε φεύγων, καὶ τὰς λ' ἀφῆκε μετὰ τοῦ Μαρδονίου.*

Καὶ προσέτι ὑπάρχου βασιλέως] Sch. ed. *Τὸν Μαρ-* ib. *δόνιον λέγει· οὗτος γὰρ ἦν ὁ στρατηγὸς τοῦ Πέρσου· φοβερώτατος δὲ ὁ βασιλεὺς καὶ παρὼν καὶ δι' ἑαυτοῦ μαχόμενος.*

Ἧπου τὸν πυρφόρον] Sch. ed. *Ἔθος*[1] *εἶχον· οἱ Ἕλ-* 323, C. *ληνες, ἱερέα τινα ἔχειν προηγουμένον τοῦ στρατοῦ ἐν ταῖς μάχαις, τελοῦντα τὰ μυστήρια, πυρφόρον Διὶ ὄντα, ὃν εἰ καὶ τὸ στράτευμα ἡττηθῆναι συνέβη, οὐκ ἀνῄρουν οἱ ἐνάντιοι. Λέγεται δὲ παροιμία ἐπὶ τῶν κατὰ κράτος ἀπολλυμένων, οὐδὲ πυρφόρος ἐσώθη. Οἱ δὲ λέγουσιν, ὅτι τοῦτον τὸν πυρφόρον ἔπεμπον οἱ ἀποικίζοντες πόλιν, μετὰ τῶν ἀποικιζομένων πῦρ ἄγοντα. Καὶ εἰ συνέβη τινὰ*[2] *ἀντιστῆναι τοῖς ἀποικιζομένοις καὶ ἀνελεῖν αὐτούς, τοῦτον οὐκ ἐφόνευον.*

Ἀλλ' οὐ μέρος] Sch. ed. *Μέρος εἶπεν, ἵνα καθέλῃ* ib. *τὸν Παυσανίαν, ὅτι μέρος ἠγωνίσατο οὗτος.*

Καὶ τῷ περὶ τὰς Πύλας ἔργῳ] Sch. ed. *Οἱ γὰρ Πέρ-* ib. *σαι νικήσαντες ἐν Πύλαις τοὺς ἀντιστάντας Λακεδαιμονίων ἐλπίδας εἶχον νικῆσαι τοὺς Ἕλληνας.*

1) *Ἔθος εἶχον*, leguntur eadem in Leidensi, ex quo has protulit varias lect. Valken. *Ἔθ. εἶχον ἐν ταῖς μάχαις οἱ Ἕλληνες, ἱερέα* (ed. *ἱήρια*) *ἔχειν προηγ. τ. στ.; τελ. τ. μ.*, verba *πυρφ. τ. Διὶ ὄντα*, in Leidensi deesse videntur. — 2) *ἀντιστῆναι*, sic Valk. ex Leid., ed. *ἐποστῆναι*.

Digitized by Google

ib. *Πλάτων διακονία*] Sch. ed. *Δείκνυσι τὸν φθόνον τοῦ Πλάτωνος, τὴν κοινὴν δόξαν ἀντιθεὶς τῇ ἐκείνου.*

324, C. *Ἐν τῇ ἀπὸ Δηλίου φυγῇ*] Sch. ed. *Δήλιον τόπος τῆς Βοιωτίας, ἔνθα ἡττήθησαν Ἀθηναῖοι τελέως ὑπὸ Θηβαίων καὶ ἐν Ἀμφιπόλει δὲ ὁμοίως, ἐν ἀμφοτέροις δὲ τοῖς τόποις ἐστρατεύετο Σωκράτης καὶ Λάχης καὶ ἔφυγον ἀμφότεροι. Λέγει οὖν Πλάτων* [1] *ἐν τῷ Λάχητι, ὅτι ἐν τῇ ἀπὸ Δηλίου φυγῇ θαρρούντως ἀπήει Σωκράτης καὶ καταφανὴς ἦν, ὅτι εἴ τις ἄψοιτο αὐτοῦ εὖ καὶ καλῶς ἀμυνεῖται.* In marg. Schell. ad *Δηλίου*, *τοῦ τῆς Βοιωτίας, ἔνθα ὑπὸ Θηβαίων Ἀθηναῖοι ἡττήθησαν.*

ib. *Καὶ λόγων καὶ ἔργων*] Sch. ed. *Ἐπειδὴ καὶ ῥήτωρ καὶ στρατηγὸς ὁ Θεμιστοκλῆς.*

324, D. *Κάλλιον Λάχητος*] Sch. ed. *Λάχητος ἐμνήσθη καὶ ἐν τῷ Περικλεῖ* (pag. 128, ed. Jebb.)· *γενναῖος δὲ ἦν στρατηγὸς, ὥσπερ καὶ ἡγεῖτο ἐν τῷ Δηλίῳ.* In marg. Schell. *Ἐστρατεύετο καὶ οὗτος.*

325, A. *Οὐ τῆς ἀρετῆς*] Sch. ed. *Ἤδη* [2] *εἴπομεν ἐν τῷ Μιλτιάδῃ, ὅτι Πλάτων οὐ τὴν ὁπωσοῦν σωτηρίαν ἐπαινεῖ, ἀλλὰ τὴν μετὰ ἀρετῆς· καὶ ἀνεῖλεν ἐκεῖ ὁ ῥήτωρ τὸ παράδειγμα τὸ τοῦ κυβερνήτου, καὶ νῦν δείκνυσιν, ὅτι καὶ τὸ ὁπωσοῦν σώζειν χρήσιμον. Διεπράττετο δὲ εἶπεν, ὅτι ἔγραφεν ἐν ταῖς πέτραις, μνήσθητε Ἴωνες πατρῴου φρονήματος.*

325, B. *Εἶτα λέγεις, ὡς οὐ πολλοῦ τινὸς*] Sch. ed. *Λέγουσιν οἱ φιλόσοφοι, ὡς καὶ ἐπὶ κακῷ ἐστι σωτηρία, ἑαυτὸν* [3] *ἁμαρτήσαντα τι ῥύσωμαι, καὶ σωθεὶς σὺ λήσῃ τὰ ἐμά.*

325, C. *Τῷ ὄντι σωτῆρες*] Sch. ed. *Ἐπειδὴ καὶ τοὺς ἄνδρας*

1) *Πλάτων ἐν τῷ Λάχητι κ. τ. λ.* ea in Leid. legi testatur Valken., sed in Sympos. p. 269 ed. Bip. leguntur, ubi ex Aristide legerim *ὅτε τῇ ἀπὸ Δηλίου φυγῇ*, cf. Lach. p. 181, B. — 2) *Ἤδη εἴπομεν ἐν τῷ M.*, quisnam dixit? Aristides an Scholiasta? scholiastae nil de hac re legitur, ut vides, nec in editis nec in mscr. — 3) *ἑαυτὸν ἁμαρτήσαντα τι ῥύσωμαι κ. τ. λ.* sic ed., suspicor ita legendum: *ἐὰν τὸν ἁμαρτήσαντά τι ῥύσωμαι, καὶ σωθεὶς συλήσῃ τὰ ἐμά.*

Digitized by Google

σωτῆρας ἔμελλον [1] εἰπεῖν, διὰ τοῦτο τὸ φορτικὸν παραιτούμενος τὸ τῷ ὄντι προσέθηκεν.

Ὑπερέτας καὶ διακόνους] Sch. ed. Συντρέχει [2] τῷ τῆς διακονίας ζητήματι, ὅπερ ἐκεῖνος ἐχρήσατο ἐπὶ διαβολῇ καὶ ὕβρει, οὗτος ἐπ' ἀγαθῷ· λύει τὸ φαῦλον τῇ διαφορᾷ τοῦ τρόπου. 325, D.

Οἱ τοῦ ζῆν [3]] Τοῦτο βαρέως ἐπήγαγεν, ὥσπερ τραγῳδοῦντος τὴν φύσιν τοῦ Πλάτωνος πάντων ἀνθρώπων καὶ τοὺς λόγους αὐτοὺς παραβάλλει τῷ Ἀριστείδῃ· ὅτι καλὸν ἡ σωτηρία, ὅ ἐστι τὸ ζῆν. Τοῦτο γὰρ Εὐριπίδης λέγει. 326, A.

Ὡς οὐ Μιλτιάδη γε] Sch. ed. Καὶ τῶν γονέων κρείττους δείκνυσιν αὐτούς, ὅτι οὐ μόνον σωτῆρες, ἀλλὰ καὶ ἀρετῆς διδάσκαλοι. 326, D.

Εἰ μὲν συμμάχους τινὰς] Sch. ed. Τὸ σχῆμα κατὰ ζῆλον Δημοσθενικὸν, ὅπερ ἐκεῖνος ἐν τῷ πρὸς Λεπτίνην ἐχρήσατο περὶ τοῦ Χαβρίου, ἐν ᾧ περὶ ἀτελείας ἀγωνίζεται· καλεῖται δὲ ἐκ τοῦ ἐναντίου. 327, A.

Οὓς οὐ προσῆκεν] Sch. ed. Τὸν γὰρ δεσπότην ἀνελὼν ἐβασίλευεν· ὡς καὶ αὐτοῦ τοῦ τῶν Ἑλλήνων ὀνόματος κινδυνεύοντος παραπολέσθαι τῇ ἁλώσει τῶν βαρβάρων. 327, B.

Ἤπου (Phot. ἦπου)] Phot. Ἀντὶ τοῦ οὐδαμῶς μὲν παραλαμβάνεται τὸ ἤπου (sic), ἐνταῦθα δὲ ὁ Ἀριστείδης ἀντὶ τοῦ πολλῷ πλέον ἔλαβεν. Εἰρωνικῶς δὲ τὸ πολλῷ πλέον εἶπεν, οἷον οὐδ' ὅλως [4] καὶ πολλάκις οὕτω τῷ ἤπου (sic) ἀντὶ τοῦ πολλῷ πλέον χρῆται, μᾶλλον δὲ σχέδον ἀεί. 326, B.

Καὶ νὴ Δί' εἰ] Apogr. Mon. Παρὰ τὸ Ὁμηρικόν. (Od. I, 34.) ib.

οἱ δὲ καὶ αὐτοὶ
Σφῇσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἔχουσι.

Τουτέστιν ὅτι καὶ ἡμεῖς πολλάκις αἴτιοι κακῶν ἑαυτοῖς γινόμεθα.

1) ἔμελλεν, ed. ἔμελλον. — 2) Συντρέχει, ed. συντρίχει. — 3) Οἱ τοῦ ζῆν subl. Valken., qui illustrat hunc locum ad Herod. V, 4. de scholio nil addens. — 4) οὐδ' ὅλως, in Phot. οὐδόλως.

Digitized by Google

328, B. Ὑπὲρ Σικελιωτῶν ἀνδρῶν] Sch. ed. Καλῶς [1] τὸ ὑπὲρ Σικελιωτῶν ἀντὶ τοῦ ξένων, ὡς ἂν εἰ ἔλεγε, προτιμωτέρους τοὺς ξένους τῶν πολιτῶν ἡγήσατο. [2]

ib. Ἀρχήν [3] τινα πράττων] Sch. ed. Μετὰ Διονύσιον ὁ υἱὸς αὐτοῦ Διονύσιος ἦρξεν, ὃς μεταπέμπεται Πλάτωνα, ὡς ἀπολογησόμενος ὑπὲρ τῆς τοῦ [4] πατρὸς ὕβρεως· ἐλθόντα [5] δὲ ἅμως ῥᾳθύμως ἐδέξατο. Ἐπανελθὼν δὲ Πλάτων ἐν ταῖς Ἀθήναις ἤ ἀπό χρησμοῦ τινὸς ἢ ἄλλοθεν γνοὺς, συμβουλεύει Δίωνι, μιᾷ νηῒ πλεῦσαι ἐπὶ Διονύσιον· ὁ δὲ ἔρχεται πεισθεὶς καὶ ἐκβάλλει Διονύσιον· οἱ δὲ οἱ δὲ Συρακούσιοι [6] τυχόντες ἀδείας, δεισάντες μὴ καὶ Δίων τυραννήσῃ, ἐκβάλλουσιν αὐτόν· πάλιν δὲ ἐπιτίθεται τυραννίδι Διονύσιος. Πλάτων δὲ, ὡς ἀπὸ Δίωνος αἰτήσαντος, γράφει Σικελιώταις.

ib. Ὡς ἂν δὴ Δίων αὐτὸς] Sch. ed. Ὁ Δίων οὗτος ἀδελφιδοῦς Διονυσίου, ἀλλὰ καὶ γαμβρὸς ἐπ' ἀδελφῇ· ὁ δὲ Διονύσιος ἀρχὴν πιστευθεὶς Συρακουσίων ἐπὶ Καρχηδονίους, ἐτυράννησε καὶ πολλὰ δεινὰ αὐτούς τε Σικελιώτας καὶ Δίωνα ἔδρασε· δι' ἃ καὶ Πλάτων ὡς πείσων μετεπέμφθη, σημαίνων [8] ὅτι τὸν Διονύσιον τὸν υἱὸν τοῦ πρώτου Διονυσίου Τιμολέων πεμφθεὶς ὕστερον ὑπὸ Κορινθίων ἐξέβαλλε τυραννήσαντα. Ἄλλως. Ὁ Δίων συγγενὴς μὲν ἦν Διονυσίου τοῦ τυράννου, μαθητὴς δὲ Πλάτωνος· οὗτος ἠδίκητο ὑπὸ Διονυσίου. Τέλος λέγει αὐτῷ Διονύσιος, ὅτι εἰ βούλει τοῦ πάσχειν κακῶς ἀπαλλαγῆναι, [9] μεταπέμψαι Πλάτωνα. Ὁ Δίων πέμπει εὐθὺς πρὸς αὐτὸν· ἐλθὼν ὁ Πλάτων εἰς Σικελίαν καὶ κακὰ παρὰ Διονυσίου παθὼν ἄπρακτος ὑποστρέφει καὶ αὖθις αὐτὸν ὁ Δίων μεταπέμπεται γνώμῃ Διονυσίου. Ἦλθε οὖν τὸ δεύτερον Πλάτων, ὅτε καὶ ἐπράθη· λέγουσι δὲ τοιαύτην αἰτίαν τοῦ πραθῆναι αὐτόν· ἐρωτῶντος τοῦ Διονυ-

1) καλῶς, ed. καλῶν. Sublin. ὑπὲρ Σικ. Valken. — 2) ἡγήσατο, ed. sic: ὡς ἂν εἰ ἔλεγε προτιμωτ. κ. τ. λ. ἡτήσατο. — 3) Ἀρχήν τινα subl. Valk. — 4) πατρὸς, ed. πατέρος. — 5) ἐλθόντα, ed. ἐλθόντι. — 6) Συρακούσιοι, ed. Συράκουσιοι. — 7) ὁ δὲ Δίον. κ. τ. λ., ed. ὁ δὲ Διονύσιος ἀρχὴν πιστευθεὶς Συράκουσίων, ἐπὶ Καρχηδονίους ἐτυράννησε. — 8) σημαίνων, locus impeditus, cui sanando codicis praesidia desunt. — 9) Post ἀπαλλαγῆναι posui comma, quod deerat in ed. Notavit autem Valken. in Leid. de eadem re scholion legi.

Digitized by Google

σίου τὸν Πλάτωνα, ποῖος εἴη βελτίων πάντων τῶν [1] χαλκέων, ἀπεκρίνατο, ὅτι ὁ ποιήσας τὰς Ἁρμοδίου καὶ Ἀριστογείτονος εἰκόνας τῶν τυραννοκτόνων· ἀγανακτήσας Διονύσιος ἐπὶ τῷ εἰρημένῳ ἐκέλευσεν αὐτὸν πραθῆναι. Μετὰ τὴν τελευτὴν οὖν Διονυσίου καὶ Δίωνος οἱ παῖδες τούτων ἐφιλονείκουν περὶ τῆς βασιλείας· ὁ Πλάτων ἀκούσας τοῦτο γράφει Σικελιώταις, τὸ πρόσωπον τοῦ Δίωνος [2] ἀναλαβών, ὅτι δεῖ μερίσασθαι τὴν ὀργὴν τοὺς ἐκγόνους τῶν διωξάντων Καρχηδονίους ἐκ Σικελίας, ἡνίκα αὐτοὶ ἐπήγεσαν.

Οἵας οὐδ' ἂν] Sch. ed. *Τίς γὰρ αἰτεῖ βασιλείαν, οἵαν* 328, D.
ὁ Δίων [3] *δουλείαν Σικελιωτῶν;*

Τῆς γ' αὐτῆς ὁδοῦ] Sch. ed. *Οὕτω λέγε, καὶ σε-* 329, A.
σωκόσι καὶ Σικελίαν καὶ Ἰταλίαν αὐτῆς τῆσδε τῆς πολιτείας, τουτέστιν, ὅσοι Σικελιῶται καὶ Ἰταλοὶ τὴν αὐτὴν τοῖς Ἕλλησι πολιτείαν μετέρχονται, ἥ Ἕλληνές εἰσιν· ἀλλ' ἔστιν ἐν αὐτοῖς [4] *καὶ ἄλλα τινὰ ἔθνη.*

Οὐ τῶν ἐν Κυρήνῃ] Sch. ed. *Κυρήνη* [5] *πόλις ἐστὶ* 329, B.
Λιβύης· ἦσαν δὲ δηλονότι καὶ Λίβυες ἐν Ἀθήναις παιδευόμενοι· εἰσάγει δὲ ὁ Σωκράτης ἐρωτῶντά τινα, τίνες ἐπιδέξιοι πρὸς γεωμετρίαν [6] *εἰσὶν, Ἀθηναῖοι ἢ Κυρηναῖοι; μᾶλλον γάρ μοι τῶν Ἀθηναίων μέλει·* [7] *κἀκεῖνος μὲν ἐπὶ τῶν φιλοσόφων εἶπεν, οὗτος δὲ ὡς ἐπὶ πάντων τῶν Ἑλλήνων εἰπόντος, ἔλαβεν αὐτό· φασὶ δὲ ὅτι συνεχῶς* [8] *ἀπῄει Πλάτων εἰς Κυρήνην, διὰ τὸ εἶναι ἐκεῖ Θεόδωρόν* [9] *τινα φιλόσοφον, φίλον αὐτοῦ.*

Ὁ κολοφὼν τοῦ λόγου] Sch. ed. *Κολοφὼν ὄρος* [10] *λέ-* 329, C.
γεται ὑψηλὸν τῆς Ἀσίας καὶ πόλις, ἧς [11] *αἱ ψῆφοι προεῖχον* [12] *τῶν παρὰ τοῖς ἄλλοις Ἕλλησι· λέγεται* [13] *δὲ τοῦτο παροιμία ἐπὶ τῶν μεγάλων.*

1) *χαλκέων*, ed. *χαλκῶν*, possis item *χαλκευτῶν*. — 2) *ἀναλαβὼν*, ed. *ἀναλαβῶν*. — 3) *ὁ Δίων κ. τ. λ.*, ed. *ὁ Δίων δουλείαν Σικελιώτων*. — 4) *ἐν αὐτοῖς*, ed. *ἐν αὐταῖς*. — 5) *Κυρήνη πόλις κ. τ. λ.* sublineavit Valken. edita. — 6) *γεωμετρίαν*, sic ex Leid. Valk., ed. *γεωργίαν*. — 7) *μέλει*, ed. *μέλλει*. — 8) *συνεχῶς*, sic Valk. ex Leid., ed. *συνεφῶς*. — 9) *Θεόδωρον*, ed. *Θεόδορον*, *φιλόσοφον αὐτοῦ*. — 10) *ὄρος*, ed. *ὄρος*. — 11) *ἧς*, ed. *ης*. — 12) *προεῖχον*, ed. *προοῖχον*. — 13) *λέγεται δὲ τοῦτο παροιμία κ. τ. λ.* Utrum *τοῦτο παροίμιον*, an *τοῦτο ὡς παροιμία*? Aliam explic. hu-

Digitized by Google

ib. Ἆρ' οὖν] Sch. ed. Ἀπὸ τοῦ καιροῦ τὸ ἄτοπον δείκνυσι, εἶτα ἀπὸ τῶν πράξεων ἀπόδειξις.

350, C. Ἐπιθήσω] Sch. ed. Ὁ γὰρ Πλάτων εἶπεν, αἱρεῖσθαι θάνατον παρὰ δουλείαν.

331, A. Καὶ μὴν οὐδ' ἀνειμένην γε] Sch. ed. Ἄκλυτον καὶ ἀγεννῆ· ἔστι δὲ καὶ ἐλευθερία κακή, ἡ τρυφητικὴ καὶ ἡ ἐν ἀτάκτοις ἡδοναῖς οὖσα, ἥτις πάλιν ἔοικε δουλεία, δουλεύουσι γὰρ ταῖς ἡδοναῖς· συστέλλων δὲ τὸ ἄτοπον τῆς δουλείας φιλανθρώποις εἶπεν, ἐδόκουν γὰρ αὐτοὶ δεδουλωμένοι τῷ ὑπείκειν, διὸ καὶ τὴν λέξιν ἐπήγαγε τῷ εἰπεῖν ἔλξαν.

331, B. Παρ' ἑκόντων] Sch. ed. Διὰ τούτων ἐδήλωσεν, ὅτι οὐ δι' ἀχρείαν παρεχώρησαν τῆς ἡγεμονίας, ἀλλὰ διὰ φιλανθρωπίαν.

ib. Οὐκ ἄνευ δικαιοσύνης] Sch. ed. Οὐκ ἄκαιρον τοῦτο εἶπεν, ἀλλὰ δηλῶσαι βουλόμενος, ὡς οὐκ ἂν οἱ Ἕλληνες πρὸς αὐτοὺς κατέφυγον καὶ ὑπετάγησαν, εἰ ἀδίκους ὄντας ἑώρων, ἀλλὰ μὴ θαυμάσαντες αὐτῶν τὴν φιλανθρωπίαν.

331, C. Οὐ τὴν ἀναιδῆ] Apogr. Mon. Ἀναιδῆ λέγει τὴν ἄνευ αἰδοῦς καὶ αἰσχυντίας· καὶ ὁ Δημοσθένης, τῆς δὲ πομπείας ταύτης τῆς ἀναιδοῦς γεγενημένης (pag. 229, 3. ubi ἀναίδην).

332, A. Ἀπὸ βαρβάρων] Sch. ed. Ὅτε γὰρ ἐπήρχοντο οἱ Καρχηδόνιοι τοῖς Σικελιώταις, ὁ μὲν τύραννος Διονύσιος ἐστρατήγει, ὁ δὲ Ἱππαρῖνος, ὁ πατὴρ Δίωνος, συνεβούλευε, πῶς δεῖ πολεμεῖν· ὁ δὲ υἱὸς Δίωνος Ἱππαρις ἐκαλεῖτο.

332, B. Καὶ ταῦτά γε τοῖς ἐκγόνοις] Id. Δεινῶς εἶπε τὸ ἐκγόνοις, ὡς ἂν εἰ ἔλεγε τοῖς μηδὲν εὐεργετήσασιν.

jus proverbii vide in Bandini Catal. Mscr. Medic. p. 216. ubi satis prolixe ea de re ad Gregorii Oratt. — 1) ἐν ἀτάκτοις ἡδοναῖς, ed. τάκτοις. Sed eodem modo confusa στρατεία et ἀστρατεία, Hess. ad Timol. p. 18, τελῶν et ἀτελῶν, Vales. ad Harp. p. 39., παῖδας et ἀπαιδας, p. 68., γεννάδας et ἀγεννόθεας, Kust. ad Acharn. 1228. λειάνοιμι et ἀλειάνοιμι, Intt. ad Eccles. 556. Creuz. ad Olymp. passim. — 2) ἀλλὰ μὴ θ., sic ed., f. μὴν θ. — 3) αἰσχυντίας, Mon. ἀναισχυντίας. — 4) Ὅτε γὰρ ἐπήρχοντο. In Mscr. de ea re nonnihil prodi Valken. sublineandis vocibus ὁ δὲ Ἱππαρῖνος et ὁ δὲ υἱὸς Δίωνος Ἱππαρις, et in marg. indicavit.

Digitized by Google

Καὶ μικροῦ τῆς ἐλευθερίας] Id. *Ἐπειδὴ ἄνω βασιλείαν εἶπεν, ἵνα τὸ ἐπαχθέστερον δηλώσῃ, τὸ μικροῦ προσέθηκεν, μέλλων* [1] *ἐρεῖν ἐλευθερίαν.* ib.

Τῷ τοῦ τυράννου παιδί] Id. *Τὸν αὐτὸν καὶ τυράννου παῖδα καὶ πολεμίων ἄρχοντα λέγει.* 335, C.

Προσηγγυῆσθαι (Jebb. προσεγγ., illud Bar. 7. et Sch.)] Ap. Mon. . . . . *Τὸ δὲ ὅμοιον εἶπεν ἐν τῷ πρὸς Λεπτίνην Δημοσθένης, Οὐκοῦν ἄτοπον, εἰ μέλλοντες μὲν πάσχειν ἀποδεχόμεθα τὰς τιμὰς, μετὰ δὲ τὰς χάριτας ἀχάριστοι φανῶμεν.* 334, C.

Καὶ μὴν οὐχ ὅμοιον] Sch. ed. *Ἐπειδὴ Πλάτων τὴν ναυμαχίαν διέβαλε, δείκνυσιν ὁ ῥήτωρ τὸ ναυμαχεῖν μεῖζον τοῦ ἀπὸ τῶν τειχῶν μάχεσθαι· τὸ μὲν γὰρ ἀσφαλὲς, ἡ δὲ κατὰ θάλασσαν μάχη εἰς ἔσχατα φέρει κινδύνου.* 335, A.

Ὑπὸ [2] *τῷ τειχίῳ*] Phot. *Παροιμία· τάττεται δὲ ἐπὶ τῶν ἄλλα ἀντ' ἄλλων ποιούντων ἢ* [3] *ἐωμένων·* [4] *παρῆκται δὲ ἀπὸ τοῦ τὸν Πρίαμον καὶ τὴν Ἑλένην ἐκ τοῦ τείχους θεωροῦντας τοὺς Ἕλληνας περὶ αὐτῶν διαλέγεσθαι.* 335, B.

Ἐθισθῆναι φεύγειν] Apogr. Mon. *Φησὶ γὰρ Πλάτων ἐν τῷ Δ τῶν νόμων, ὅτι ὁ Θεμιστοκλῆς ἐμβιβάσας εἰς τὰς ναῦς εἴθισε φεύγειν.* ib.

Κρανίαν [4] *καὶ βύρσαν κ. τ. λ.*] Phot. *Λείπει τὸ δεῖ νομίζειν· κρανίαν τὴν περικεφαλαίαν λέγει, βύρσαν δὲ τὸ ὅπλον, παρὰ τὸ ἔχειν βύρσαν περὶ αὐτό· νήϊα δὲ τὰ σχοινία, κωπέας δὲ τὰ ξύλα πρὸς κώπας ἐπιτήδεια.* 335, A.

Δεύτερα τῶν πάντων] Ap. Mon. *Τοῦτο εἶπε παρ' Ὁμήρου λαβών· λέγει γὰρ ὁ Ποσειδῶν παρὰ τῷ Ὁμήρῳ πρὸς τὴν Ἶριν* (XV, 187.) 335, C.

Τρεῖς [5] *γάρ τ' ἐκ Κρόνου εἰμὲν ἀδελφεοὶ, οὓς τέκετο Ῥέα,*
Ζεὺς καὶ ἐγὼ, τρίτατος δ' Ἀΐδης, ἐνέροισιν ἀνάσσων.
Τριχθὰ δὲ πάντα δέδασται.

1) *μέλλων*, ed. *μέλλον*. — 2) *ὑπὸ τῷ τειχίῳ*, Schell. *ἐπὶ*. — 3) *ἢ* * *ἐωμένων*, sic Hoesch. — 4) *κρανίαν καὶ β.* sublin. Valk. et edidit ad Herod. V., 23 ea, quae extremo loco leguntur, *κωπέας δὲ τὰ ξύλα τὰ πρὸς τὰς κ. ἐπ.*, et Canterum male *remos* vertere ait. — 5) Versus homerici ita in Mon. leguntur: *Τρεῖς γάρ τοι καὶ ἐκ κρόνου εἰμὲν ἀδελφειοὶ· οὓς τέκετε ῥέα, Ζεὺς καὶ ἐγὼ· πρότα-*

Digitized by Google

337, A *Ἔστω τὸ γειτόνημα*[1] *ἁλμυρὸν*] Sch. ed. *Ἀλκμὰν* ὁ λυρικὸς τοῦτο εἶπεν,

Ἁλμυρὸν τὸ γειτόνημα,

ἀντὶ τοῦ, κακὸν ἐστι γείτονα ἔχειν τὴν θάλατταν·[2] *ἢ ὅτι ἡ λέξις Πλατωνική ἐστι.*

338, A. *Ἀπὸ τοῦ πύργου*] Sch. ed. *Πεποίηκεν Ὅμηρος τὴν Ἑλένην καὶ τὸν Πρίαμον ἐκ τοῦ τείχους θεωροῦντας τοὺς Ἕλληνας καὶ διαλεγομένους περὶ αὐτῶν.* Phot. *Παροιμία· ὥσπερ ὁ Πρίαμος ἐκ τοῦ τείχους καὶ Ἑλένη.*

338, C. *Τόλμης*] Coll. N. *γνώμης*, in m. *γρ. τόλμης.*

340, C. *Οὐδὲ φυγῆς*] Sch. ed. *Τοῦτο ἐνεκάλει ὁ Πλάτων λέγων, ὅτι φυγῆς ἀφορμὴν εὗρεν αὐτοῖς ὁ Θεμιστοκλῆς τὸ ναυμαχεῖν.*

ib. *Τὸν Ἀνθηδόνιον*[3]] Id. *Ἀνθηδὼν πόλις Βοιωτίας· ἐν ταύτῃ οὖν ὁ Γλαῦκος οὗτος ἀγρεύσας ἰχθὺν μέγαν, ἦν γὰρ ἁλιεύς, εἰς ἔδαφος ἔρριψεν, ἵνα ἀποθάνῃ· ὁ δὲ βοτάνῃ τινὶ ἀειζώῳ λεγομένῃ πλησιάζων ἥψαιρε*[4] *καὶ οὐκ ἐτελεύτα· γνοὺς οὖν ὁ Γλαῦκος ἔφαγεν*[5] *ἐκ τῆς βοτάνης καὶ ἀθάνατος ἐκεῖ*[6] *διετέλει, ὄντινα δαίμονά τινες λέγουσι θαλάττιον.*

ib. *Ἢ τὸν*[7] *Σάρωνα*] Id. *Τὸν Σάρωνα δαίμονά φασι γενέσθαι ναυτικώτατον· ἐκ τούτου ἐκλήθη τὸ Σαρωνικὸν*[8] *πέλαγος, ἔστι δὲ τῆς Παλαιστίνης, ᾧ*[9] *πρόσκεινται πόλεις ἄλλαι τε πολλαὶ καὶ Ἰόππη καὶ Λύδα.*

343, C. *Ὦ μοχθηρὲ*[10] *μελαγχολᾷς*] Id. *Ἐπειδὴ τὸ, ᾧ μοχθηρὲ,*

τος δ' ἀϊδης ἐνέρεσιν ἀνάκτων. *Τρίχθα δὲ πάντα δέδασται.* — 1) *Ἔστω τὸ γειτόνημα ἁλμ.*, leguntur eadem in Leid., unde *λυρικὸς* Valk. dedit pro *λυρικὸν*, et in Schell., abest a Mon. Ex Leid. et Schell. *ἢ ὅτι ἡ λ. Πλ. ἐστι* addidi. Cf. Creuz. ad Plot. p. 463 seq. Pro *κακὸν* in Schell. est *κακῶς*, cf. Eras. I, 6. p. 211. — 2) *τὴν θάλασσαν*, sic Leid., articulus abest ab ed. et Schell., qui praeterea *θάλατταν*. — 3) *τὸν Ἀνθηδόνιον*, ad haec legitur item schol. in Leid. — 4) *ἥψαιρε*, ed. *ἥπαιρε*, Leid. *ἥψερε* — 5) *ἔφαγεν ἐκ τῆς β.*, sic Valk. ex Leid., ed. *ἔφαγε τῆς.* — 6) *ἐκεῖ διετέλει*, ed. *διατέλει*, f. *ἐκεῖθεν διετέλει.* — 7) *Ἢ τὸν Σάρωνα*, legitur schol. in Leid. — 8) *Σαρωνικὸν π.*, sic Valk. ex Leid., ed. *Σαρδωνικὸν π.* — 9) *ᾧ πρόσκεινται*, sic Leid., ed. *ᾧ προσκεινται ἄλλαι τε πολλαὶ πόλεις καὶ ἡ Ἰόππη καὶ Λύδδα.* — 10) *Ὦ μοχθηρὲ μελαγχολᾷς* subl. Valken.

Digitized by Google

γαμαιζηλῶν ἀνθρώπων ἐστι καὶ οὐ προσῆκον παρ' ἄνδρων φιλοσόφων λέγεσθαι, τὸ δὲ δαιμόνιε θεῖον καὶ φιλοσόφοις ἁρμόζον, ἔθος δὲ καὶ τῷ Πλάτωνι ἐν τοῖς διαλόγοις τούτῳ τῷ ῥήματι χρῆσθαι, διὰ τοῦτο λέγει τὸ ἄτε ὢν μουσικὸς, τουτέστιν ὑπερηρμένος καὶ θεῖος καὶ οὐ φρονῶν ἀνθρώπινα· τοιοῦτον γὰρ τὸ μουσικῆς χρῆμα, ἐπειδὴ καὶ τὸ πᾶν τοῦτο ἐμμελῶς καὶ ἡρμοσμένως τέτακται.

Πολλάκις ἐξηπατῆσθαι] Id. *Πολλάκις γὰρ πλεύσας ἐφ' ᾧ καταστήσασθαι Δίωνι καὶ τῷ ἐκείνου παιδὶ τὰ πράγματα, ἄπρακτος ἀνεχώρησεν.* 344, A.

Ἀλλ' ὑπάγειν] Id. *Λαθραίως φέρειν, οἳ ἂν κάλλιστα τὴν μάχην ἔμελλον ἐργάσεσθαι.* 345, A.

Ἕως γὰρ Σκύθας[1]] Ap. Mon. *Παράδοξον*[2] *εὗρε παράδειγμα τὸ τῶν Σκυθῶν, ὅτι καὶ φεύγοντες νικῶσιν, ὅ ἐστι,*[3] *φυγὴ τρόπος νίκης. Λέγεται δὲ περὶ τῶν Σκυθῶν, ὅτι φεύγοντες ἐνίκων τοὺς πολεμίους, ἢ ὡς λέγει ἐν τῇ δ' ὁ Ἡρόδοτος, ὅτι ἔνθα ἑώρων ἐπικρατεστέρους τοὺς πολεμίους λαμβάνοντες ἐκ τῆς χώρας ὅσων ἐδέοντο, τὰ λοιπὰ ἔκαιον, ἵνα ἄχρηστα γένωνται τοῖς ἐχθροῖς. Ἐπολέμει δέ ποτε ὁ Δαρεῖος τοῖς Σκύθαις, ἀμαξόβιοι*[4] *δὲ ὄντες οὗτοι καὶ καταδιωκόμενοι ὑπ' αὐτοῦ, εἰς τὰ ἐντὸς τῆς χώρας ἔφευγον· διώκων οὖν ἐπὶ πολὺ Δαρεῖος ᾤκησεν· ἦσαν δὲ οἱ Σκῦθαι πέμποντες ὀπίσω αὐτοῦ ἐπὶ τῷ κατακαίειν τὸν σῖτον καὶ τὰ δένδρα. Τοῦτο ἐπὶ κακῷ καὶ καλῷ ἐγένετο Δαρείῳ· ἐπὶ* ib.

1) *Ἕως γὰρ Σκύθας*, Valken. sublineavit totum hoc schol., post verba *φεύγοντες νικῶσιν* nonnihil deesse significans. Desunt autem, ni fallor, eadem, quae ex Mon. edidi. — 2) *Παράδοξον*, sic Mon. et Valk. ex Leid., ed. *παραδόξως*. — 3) *ὅ ἐστι φυγὴ τρόπος νίκης*, desunt in editis, praetermisit Creuzerus in excerptis, quae incipiunt ab *λέγεται δὲ περὶ*, monito autem lectore, alia in principio hujus scholii legi, atque in editis: Post *νικῶσιν* pergunt edita; *ὁ γὰρ Δαρεῖος ἐπολέμησέ ποτε Σκύθαις, Ἀμαξόβιοι δὲ ὄντες οὗτοι, καὶ καταδιωκόμενοι ὑπ' αὐτοῦ, εἰς τὰ ἐντὸς τῆς χώρας ἔφευγον· διώκων οὖν ἐπὶ πολὺ Δαρεῖος ᾤκησεν, οἱ δὲ Σκῦθαι πέμποντες* (*ἦσαν* post *ᾤκησεν* excidit) *ὀπίσω αὐτοῦ κατέκαιον τὸν σῖτον κ. τ. δ. Τοῦτο δὲ ἐπὶ καλῷ καὶ κακῷ τῷ Δαρείῳ· ἐπὶ κ. μ. ὅτι ἐκωμῴων κ. ἐν τ. ὅδ., ἀκολουθῶν* (Leid. et M. *ἀκολουθούντων*) *τ. εὗρε τ. τ. ἔνθ. ἦσαν αὐτοῦ αἱ νῆες· ἐπὶ κ. δὲ, ὅτι ἀναχ. ἀπὸ τ. δ. τ. Σκ., οὐχ εὕρισκε τὰ π. τρ. ἐπιτ.* — 4) *Ἀμαξόβιοι*, M. et Leid. *ὁμαξόβιοι*. Herod. IV. 120 seqq.

Digitized by Google

καλῷ μὲν, ὅτι κεκαυμένων τῶν ἐν τῇ ὁδῷ καὶ ἀκολουθῶν τούτοις, εὗρε τὸν τόπον, ἔνθα αὐτοῦ ἦσαν αἱ τριήρεις· ἐπὶ κακῷ δὲ, ὅτι ἀναχωρῶν ἀπὸ τῆς διώξεως τῶν Σκυθῶν οὐκ εἶχε τὰ πρὸς τροφὴν ἐπιτήδεια, ἢ ποῦ [1] δεῖ αὐτὸν καταλῦσαι; [2] πάντα γὰρ ἦσαν ἐμπρήσαντες οἱ Σκύθαι.

345, C. Τὸν ἐν [3] Δελφοῖς] Ap. Mon. Ἔχομεν δὲ καὶ Ἡρόδοτον τούτῳ τῷ μαντείῳ μαρτυροῦντι ἀκρίβειαν.

346, B. Μοῦνον [4] ἀπόρθητον] Sch. ed. Τὸ ἀπόρθητον λύει τὴν πλάνην, μὴ τούτου γὰρ λεχθέντος οὐκ εἶχον συμβαλεῖν, εἴτε κατὰ γῆν, εἴτε κατὰ θάλατταν ἔδει μάχεσθαι· νῦν δὲ ἡ τούτου προσθήκη τὴν κατὰ θάλατταν νίκην αὐτοῖς ἐπηγγέλλετο· ᾔδεσαν γὰρ ἀκριβῶς, ὡς πάντα τὰ ἐν τῇ γῇ καθάπαξ ἀφανισθήσεται. Δέον δὲ εἰπεῖν, λέγοντος, τοῦ χρησμοῦ δηλονότι, λεγόντων εἶπε πρὸς τὸ σημαινόμενον· τί γὰρ ἄλλο ὁ χρησμὸς ἢ λόγοι θεῖοι; Ἄλλως [5] θ' ὅτι καὶ ἄνω εἶπε, τίν' οὖν ἦν τά χρησθέντα;

346, D. Αὐτοῖς] C. Bar. 7. γρ αὐτός.

347, B. Τὸν Πλάτωνα σεμνύνοντας] Sch. ed. Τοῦτο λέγει, ἢ ὅτι καὶ Πλάτων βωθὺν πώγων' εἶχεν, [6] ἢ ἐπειδὴ ὁ Πλάτων προστάτης ἦν τῆς φιλοσοφίας, ταύτην εἰς ὕψος ἄρας· διὰ τοῦτο ἀντὶ εἰπεῖν, τὴν φιλοσοφίαν, τὸν Πλάτωνα εἶπεν.

348, A. Σταθήτωσαν] Sch. ed. Ἢ ἐχέτωσαν τιμὰς τὰς αὐτὰς τῷ Ἀπόλλωνι, ἤγουν ἐκ τοῦ τοὺς βαρβάρους καταπολεμῆσαι καὶ τἀκείνων λαβεῖν. Photius sic: Τουτὶ γὰρ ἔν μοι τῆς ἀπορίας διαλύσαντες, ἕως ἐχέτωσαν τιμὰς τὰς αὐτὰς Ἀπόλλωνι, σταθήτωσαν παρὰ τὸν τρίποδα τὸν ἐν Δελφοῖς, ὃν οἱ Ἕλληνες ἕως ἐκ τοῦ τοὺς βαρβάρους καταπολεμῆσαι καὶ τὰ ἐκείνων λαβεῖν ἀπὸ τῶν βαρβάρων ἀνέστησαν. Τοίνυν κ. τ. λ. Quae sequuntur, legis pag. 213.

1) ἢ ποῦ κ. τ. λ. ex utroque mscr. haec adjeci, cum in editis deessent. Mon. ἤπου, Leid. ἤποῦ. — 2) καταλῦσαι, sic Leid., M. καταλύσαι. — 3) τὸν ἐν Δελφοῖς sublin. Valken. — 4) Μοῦνον ἀπόρθητον sublin. Valken. — 5) Ἄλλως θ' ὅτι, ed. ἄλλος θ' ὅτε. 6) πώγων' εἶχεν, ed. πώγων εἶχεν.

Digitized by Google

Κατιόντος τοῦ πνεύματος [1]] Ap. Mon. et Leidens. 349, C.
Οὕτω, φησὶν, ἔστησαν τὰς ναῦς, ὥστ' ἔχειν βορέαν ὀπισθεν, ἵνα πρυσβαλὼν τοῖς Πέρσαις ὀξέως ἐπέλθοι. Τοῦτο [2] *δέ φησιν ἀπὸ τοῦ μύθου, ὅτι ὁ Βορέας ἐραστὴς ὢν Ὠρειθυίας κόρης Ἀττικῆς συνέπραξε τοῖς Ἀθηναίοις. Τούτου δὲ ὁ Ἡρόδοτος οὐ μέμνηται. Βούλεται δὲ ῥητορικῶς βιαζόμενος καὶ τὴν νίκην Φορμίωνος ἀναγαγεῖν εἰς Θεμιστοκλέα.*

Καὶ ὁ μὲν Ἴακχος [3]] Sch. ed. *Τοῦτον λέγουσιν υἱὸν* 350, B.
Δήμητρος [4] *εἶναι, τὸν δὲ αὐτὸν καὶ Διόνυσον, ἄλλοι δὲ παῖδα Διονύσου. Ἡ δὲ ἱστορία τοιαύτη· λέγουσιν, ὅτι καταλιπὼν τὸ τέμενος ἐπεθύμησε κοινωνῆσαι τῆς ναυμαχίας, ὅτε γὰρ ἔμελλεν ἡ ναυμαχία γίγνεσθαι, φωνή τις ἐδόθη ἀπὸ* [5] *τοῦ Ἰάκχου καὶ οἱ μεμυημένοι* [6] *ἤκουσαν, οἱ δὲ ἀμύητοι ἤσθοντο· τῷ δὲ* [7] *καὶ ἀπὸ τῆς Ἐλευσῖνος ὥσπερ κονιορτὸν ἐλθεῖν ἐπὶ τὴν Σαλαμῖνα ἐνομίσθη, ὅτι ἡ Δημήτηρ καὶ ἡ Κόρη ἦλθον συμμαχῆσαι τοῖς Ἕλλησιν.*

Θείαν δι' ἐκείνης προσεῖπε] Ap. Mon. *Θαυμασίως* 350, C.
κατασκευάζει, ὅτι ἡ ναυμαχία θεία παρὰ τοῦ [8] *Θεοῦ ἐκλήθη.*

Τὸν ἐπαλείψαντα] Ap. Mon. *Ἀντὶ ἀλείψαντα· τοιαῦ-* 351, A.
ται γὰρ ἦσαν αἱ τοῦ Ὀδυσσέως, ὡς Ὅμηρος (Iliad. II, 637.)

Τῷ δ' ἅμα νῆες ἕποντο δυώδεκα μιλτοπάρῃοι.

Ὅρα δὲ, πῶς διέσυρε τὸ ἔργον τοῦ Ὀδυσσέως, σιωπήσας τὸ κατόρθωμα.

Ἐδίδου τῇ Ἀθηνᾷ] Ap. Mon. *Εἶπε γὰρ ὁ χρησμός·* 351, B.
Τεῖχος [9] *Τριτογενεῖ ξύλινον διδοῖ εὐρυόπα Ζεύς.*

1) *Κατιόντος τοῦ πνείματος*, subl. Valk., qui edidit ad Herod. VII, 189. usque ad *Βούλεται*, quae cum reliquis transmisit. Excerpta ex Leid. mecum benigne communicavit Creuzerus. — 2) *τοῦτο δέ φησιν ἀπὸ κ. τ. λ.* sic Mon. et excerpta Leid., Valkenarius quidem *τοῦτο δὲ φησὶν ἀπὸ*, quae si ita distinguas: *τοῦτο δὲ, φησὶν, ἀπὸ κ. τ. λ.* en habes fragmentum enarratoris, cujus e commentario haec desumta dicuntur. Retinui autem illud. — 3) *καὶ ὁ μὲν Ἴακχος* subl. Valken., itemque in Mscr. plura legi indicavit, quibus edendis ad Herod. VIII, 65. locus erat, cum memoraret hunc Aristidis locum. — 4) *Δήμητρος*, ed. *Δήμετρος*. 5) *ἀπὸ* ex Leidensis auctoritate delevit Valken. — 6) *μεμυημένοι*, sic Valk. ex Leid., ed. *μεμνημένοι*. — 7) *τῷ δὲ καὶ*, Valk. ex Leid. *τὸ δὲ καί*. — 8) *Θεοῦ*, M. *Θουκυδίδου*. — 9) *Τεῖχος κ. τ. λ.* Philostrat. p. 481 ibiq. Olear., Valk. ad Herod. VII, 141. Polyaen. I, 30. Pierson. ad Herodian. p. 438.

Digitized by Google

35a, B. *Τὸ περὶ τῶν φυλῶν*] Sch. ed. *Ὁ Κλεισθένης ἔλαβε τὰς μαντείας, πῶς*[1] *δεῖ τύξαι τὰς φυλάς.*

35a, C. *Προεξήνεγκεν*] Id. *Ἡ ἀπόδοσις ἀπὸ κοινοῦ, ὅτι οὐ νῦν μᾶλλον τῆς αἰτίας δέον ἀφεῖσθαι· ἔθος δὲ τοῖς ῥήτορσι, ὅταν θυμῷ κινούμενοι χρῶνται τοῖς λόγοις, ἐλλείπειν τὴν ἀπόδοσιν, ὥστε καὶ Δημοσθένης πολλαχοῦ τε ποιεῖ καὶ ὅτε πρὸς τὸν Αἰσχίνην καταφερόμενος αὐτοῦ ἀποτείνεται.*

35a, D. *Τί οὖν οὐ καὶ τοὺς Ἡρακλείδας*[2]] Apogr. Leid. *Οἱ περὶ Τλλων Ἡρακλεῖδαι τὸν Ἀπόλλωνα ἤροντο, πῶς ἂν κρατήσωσιν τῆς Πελοποννήσου, καὶ ἔχρησεν αὐτοῖς διὰ τῶν στενῶν κατελθεῖν· μὴ συνιέντες δὲ τὸν χρησμόν, διὰ τοῦ Ἰσθμοῦ κατήρχοντο. Ἀπαντησάντων δὲ αὐτοῖς τῶν Πελοποννησίων, ἔδοξε μονομαχῆσαι τοὺς ἡγεμόνας τῶν δύο στρατευμάτων· δόξαντος τούτου, ὁ μὲν Τλλος ὑπὸ τῶν Ἡρακλειδῶν, ἀπὸ δὲ τῶν Πελοποννησίων ὁ τῆς Ἀρκαδίας βασιλεύς· ἦν δὲ καὶ τοῦτο δόξαν, τοὺς ἡττηθέντας ἐπὶ ϙ ἔτη σχεῖν ἡσυχίαν· συμβαλόντων τῶν στρατηγῶν πίπτει ὁ Τλλος. Πάλιν οἱ τῶν Ἡρακλειδῶν τούτων μετέκγονοι ἀπῆλθον ἐν Δελφοῖς περὶ τῆς καθόδου χρησόμενοι· ὁ δὲ Ἀπόλλων ἀνέγγειλεν αὐτοῖς πάλιν, διὰ τῶν στενῶν κατελθεῖν· ἐκεῖνοι δὲ ἀντεῖπον ἀκούσαντες, ἀλλὰ καὶ οἱ πατέρες ἡμῶν σοι πεισθέντες ἀπώλοντο· ὁ δ' εἶπεν αὐτοῖς ὅτι, ἐκεῖνοι οὐκ ἠρώτησαν διὰ ποιῶν στενῶν, πότερον διὰ τοῦ Ἰσθμοῦ ἢ διὰ τῶν β΄ ῥίων,*[3] *τοῦ τε Ἀχαϊκοῦ καὶ τοῦ Μολυκρινοῦ· δεῖ οὖν ὑμᾶς διὰ θαλλάσσης ἀπελθεῖν. Ταυτῇ τραπομένων*[4] *αὐτῶν, νομίσαντες οἱ Πελοποννήσιοι διὰ τοῦ Ἰσθμοῦ πάλιν αὐτοὺς*

1) *πῶς δεῖ*, f. *πῷ ἴδει*. — 2) Edita multis partibus auxit Valken. ex praestantissimo Leidensi, quem secutus sum nunc discrepantiam exhibiturus lectionis. Convenit autem editis et Leidensi, uti videtur, ad verba usque *ἡγεμόνας τῶν δύο στρατευμάτων*. Jam pergit editus schol. *δόξαντος μὲν τούτου, ὁ μὲν Τλλος, συμβαλόντων τῶν στρατευμάτων, πίπτει· καὶ τούτου δὲ δόξαντος, πρότερον τοὺς ἡττηθέντας, ἐπὶ ἕκατον ἔτη σχεῖν ἡσυχίαν· πάλιν οἱ τῶν Ἡρακλειδῶν τούτων μετέκγονοι, ἀπῆλθον ἐν Δελφοῖς κ. τ. λ.* Leidensem autem supra habes. — 3) *τῶν β΄ ῥίων*, ed. expresso numero. — 4) *ταύτῃ τραπομένων*, sic ed., Leid. *πραττομένων*. —

Digitized by Google

εἶναι ἐχώρησαν ἐπ' ἐκεῖνο τὸ μέρος καὶ ἀπόντων [1] αὐτῶν οἱ Ἡρακλεῖδαι ἔρημον εὑρόντες κατέσχον τὴν Πελοπόννησον. [2] Δεινὸν δὲ τὸ παράδειγμα τῶν Ἡρακλειδῶν, τῶν προγόνων Λακεδαιμονίων, οὓς Πλάτων ἐπαινεῖ.

Ὡς ἔοικεν ἀμφοτέρωθι] Sch. ed. Τὸ ἀμφοτέρωθι ἢ εἰς ἀμφότερα, τὸ δὲ ἀμφοτέρωθεν ἢ [3] ἐκ τῶν δύο μερῶν. 353, C.

Ὅτι τοίνυν οὐδὲ χείρους] Id. Σοφίζεται ἐνταῦθα· καὶ γὰρ ἐστράτευσαν μετ' Ἀθηναίων κατὰ τροπὴν [4] τῶν βαρβάρων Λακεδαιμόνιοι· ἀλλὰ μετὰ τὸ γενέσθαι τροπὴν, τῶν Ἀθηναίων ἐπιδιωκόντων καὶ ἔτι ἐν τῇ Μυκάλῃ ὄντων, ὀκνήσαντες οἱ Λακεδαιμόνιοι ἀνεχώρησαν [5] ἐπ' οἶκον καὶ μόνοι κατελείφθησαν Ἀθηναῖοι. Διὰ τοῦτο οὖν φησι οὕτως ἀναχωρῆσαι αὐτοὺς διὰ τὸ προέχειν ῥώμῃ τοὺς Ἀθηναίους. 354, B.

Ἐπειδή τις [6] εἶπεν] Ap. Mon. et Leid. Κυρσίλος κατὰ Δημοσθένην· ὁ γὰρ Ἡρόδοτος Λυκίδην αὐτὸν καλεῖ. 356, A.

Παραστήσαντες [7]] Ap. Mon. Ἀντὶ στήσαντες ἐγγύς· καὶ ὁ Δημοσθένης δὲ προλαβὼν ἐπήνεσε τοῦτο, μίαν στάσιν εἰπὼν τοῦ ἀγάλματος καὶ τῆς τιμωρίας τῶν προδοτῶν. 357, C.

Τῷ Μαραθωνόθεν] Sch. ed. Τοῦτο λέγει, ἢ ὅτι ἐν Μαραθῶνι ἱστάμενον ἄγαλμα Ἀθηνᾶς ἔφερον εἰς ἀκρόπολιν, ἢ τὸ Μαραθωνόθεν νόει τὸ ἐκ τῆς ἐν Μαραθῶνι νίκης παρ' Ἀθηναίων [8] ἀνεγερθὲν τῇ θεῷ. ib.

Ὅσοι τε φρονήματι] Id. Εἰπὼν ἀμφοτέροις τοῖς ἔθνεσι νῦν μερίζει εἴς τε τοὺς νομίζοντας τὴν σωτηρίαν κάλλιστον παντων καὶ εἰς τοὺς κρίνοντας κινδυνεύειν ὑπὲρ πατρίδος κάλλιον ἢ ζῆν· οὐ γὰρ πάντες Ἕλληνες ταὐτὰ περὶ τούτων νομίζουσιν, ἀλλ' οἱ μὲν τοῦτο, οἱ δὲ ἐκεῖνο· εἰ δέ 357, A.

1) καὶ ἀπόντων αὐτῶν, sic Valk. ex Leid., ed. καὶ ἀπὸ τῶν φίλων. — 2) δεινὸν, sic Leid., ed. δεινόν. — 3) ἢ, ed. καὶ. Tenendum autem h. l. duplicem a scholiaste memorari lectionem, quarum altera ἀμφοτέρωθι esset pro εἰς ἀμφότερα (sic Jebb. et Schell.), altera ἀμφοτέρωθεν (quae est in Coll. N.) pro ἐκ τῶν δύο μερῶν. — 4) κατὰ τροπὴν τ. β., ed. . . Ἀθηναίων, καὶ τροπὴν, τῶν βαρβάρων Λ. — 5) ἐπ' οἶκον, ed. ἀπ' οἴκου. — 6) ἐπειδή τις εἶπεν subl. Valk. atque ad Herod. IX, 5 edidit. Λυκίδην est in Mon. et penes Valken. l. l., sed excerpta Leidensia habent λυκίδαν. — 7) παραστήσαντες, subl. Valk. — 8) Ἀθηναίων ἀνεγ., ed. Ἀθηναίων· ἀν.

Digitized by Google

τις εἴποι, πῶς πᾶσιν Ἕλλησιν εἶπε, φαμέν, ὅτι οὐ πᾶσιν ἁπαξαπλῶς Ἕλλησι λέγει, ἀλλ' ἐκείνοις, ὅσοι τὴν σωτηρίαν οἰκειότατον καὶ πρῶτον ἁπάντων νομίζουσιν.

358, C. Ἕκαστος γὰρ ἑαυτὸν] Id. Ἐπειδὴ ἕκαστος ἑαυτὸν πρῶτον [1] τοῦ Θεμιστοκλέους ἐκύλει· ἐκάλεσε δὲ καὶ ὁ Θεμιστοκλῆς ἑαυτὸν πρῶτον, ἀλλ' οὗτος μὲν δικαίως, ἐκεῖνοι δὲ ἀδίκως.

360, C. Τῶν ὁπλιτῶν ἕνεκα] Sch. ed. Ἢ διότι οὐ κατ' ἤπειρον ἔχων ὁπλίτας ἐμάχετο.

ib. Οὐ οἱ ἀντίπαλοι δοκοῦντες] Id. Ἀντιπάλους Θεμιστοκλέους, οἶμαι, λέγει τοὺς Λακεδαιμονίους, κατὰ τὴν τοῦ Πλάτωνος δόξαν· ἐκεῖνος γὰρ τὴν ὁπλιτικὴν σεμνύει, εἰς ἣν πάντων προέχειν Λακεδαιμονίους φησὶν, ὅθεν καὶ ψέγει Θεμιστοκλέα, ὡς κατὰ θάλασσαν Πέρσῃ βουληθέντα μαχέσασθαι· τὸ δὲ ἄκοντες λέγει, ἐπειδὴ ἠδυοῦντο τὴν ἀρετὴν αὐτοῦ, ὅθεν καὶ [2] παρὰ γνώμην ἐτίμων.

361, C. Τῶν ὕστερον αὐτοῦ συμφορῶν] Id. Ὅπερ ἐποίησεν ὁ ῥήτωρ ἐπὶ Μιλτιάδου καὶ Κίμωνος μετὰ τὰ ἐγκώμια τὴν ἀτυχίαν αὐτῶν ἐπενεγκών, [3] ἐπὶ Μιλτιάδου μὲν τὴν κάθειρξιν, ἐπὶ δὲ Κίμωνος τὴν φυγὴν, τοῦτο κἀνταῦθα ποιεῖ· ἀντέπιπτε γὰρ αὐτῷ ἡ πρὸς τὸν Πέρσην φυγὴ, τεχνικῶς δὲ τὰ τοιαῦτα τίθησιν ὕστερον, ἀσθενῆ τοῖς προτέροις ποιῶν· ἔχει δὲ τὴν μίμησιν παρὰ Θουκυδίδου, κἀκεῖνος γὰρ εἰσφέρει τὸν Κορίνθιον (I, 41 seq.) δημηγοροῦντα [4] παρὰ τοῖς [5] Ἀθηναίοις, καὶ μετὰ τὸ καταλέξαι τὰς γενομένας παρὰ Κορινθίων εἰς Ἀθηναίους εὐεργεσίας ἐπάγοντα καὶ τὰ δοκοῦντα κατὰ Κερκυραίων ἐγκλήματα. Ὅρα δὲ πῶς εἶπε συμφορὰν τὴν φυγὴν, ἵνα δείξῃ τυχῆς καὶ οὐ γνώμης ἂν τοῦτο·

1) πρῶτον τοῦ Θεμ., noli πρότερον; solent ita fere scholiastae. 2) παρὰ γνώμην ἐτίμων, ed. sic: παρὰ γνώμην ἐτίμων· * ὅπερ ἐποίησεν ὁ ῥήτωρ ἐπὶ Μιλτ. κ. τ. λ. Asterisco huic non opus erat. Pertinent, quae sequuntur ad τῶν ὕστερον αὐτοῦ συμφορῶν, celebrata etenim Themistoclis virtute descendit jam sophista ad casus ejus adversos; id quod in Cimone, itemque in Miltiade fecerat. 3) ἐπενεγκών, ed. ἐπενεγκῶν. — 4) δημηγοροῦντα, ed. δημηγορῶντα. 5) παρὰ τοῖς Ἀθηναίοις. ed. παρὰ ταῖς Ἀθήναις.

Digitized by Google

συνεσκευάσθη δὲ λέγει, ὅτι οἱ Λακεδαιμόνιοι αἰσχυνόμενοι νομισθῆναι προδόται διὰ τὸν Παυσανίαν, καὶ τὸν Θεμιστοκλέα συναίτιον αὐτῷ ἔλεγον.

Ἔδει στρατεύειν] Id. Ὑποσχόμενος τῷ Πέρσῃ, ἵνα μετ' αὐτοῦ κατὰ τῆς Ἑλλάδος στρατεύσας παραδοίη ταύτην αὐτῷ, μνησθεὶς, ὡς φασι, τῶν προτέρων ὑπὲρ τῆς Ἑλλάδος αὐτοῦ πράξεων καὶ ὥσπερ ὑπὲρ αὐτῶν αἰσχυνθεὶς κωνίου πιὼν ἑκὼν ἐτελεύτησεν. 362, A.

Σωκράτους μὲν ἑταῖρος] Ap. Mon. Ῥητορικῶς σφόδρα καὶ τὸν διδάσκαλον ἕνα ὁρίζεται καὶ αὐτοὺς μίαν ἔχοντας ποιότητα προσώπων, φιλόσοφοι γὰρ ἄμφω. Ἔστι δὲ Ἀλκιβιάδου διάλογος τοῦ Αἰσχίνου, ἔνθα ἐπαινεῖ τὸν Θεμιστοκλέα. 363, B.

Εἰδέναι] Phot. Καὶ μετὰ πολλὰ ἄλλα ἐγκώμια ἐπάγει καὶ ταῦτα. 363, C.

Καὶ μηδέν γ' ἐμοῦ] Sch. ed. Ἐπειδὴ ἐνομίζετο ὡς ἄθεος,[2] καινὰ δαιμόνια παρεισφέρων·[3] ἐδόκει δὲ καὶ τοῦτο ἄθεον τὸ λέγειν, ὅτι αὐτὸς ἀπὸ ἰδίας συνέσεως κατώρθωσε[4] καὶ οὐ συμπράττοντος αὐτῷ τοῦ δαίμονος, ταύτην[5] λύει τὴν περὶ αὐτοῦ ὑποψίαν. 366, A.

Τόπους τῶν σοφιστῶν] In marg. Schell. Ἐπιχειρήματα· τόπος γάρ ἐστιν ἀφορμὴ ἐπιχειρημάτων. 367, C.

1) Σωκράτους μὲν ἑταῖρος, subl. Valken. — 2) ἄθεος, ed. ἀθέως. — 3) παρεισφέρων, ed. παρ' εἰσφέρων. — 4) κατώρθωσε, ed. κατόρθωσε. — 5) ταύτην, ed. ταῦτην.

Digitized by Google

ΚΟΙΝΗ ΑΠΟΛΟΓΙΑ.[1]

368, A. Ἃ μὲν τοίνυν[2]] Sch. ed. Οἱ πρὸ ταύτης τῆς κοινῆς ἀπολογίας τέσσαρες λόγοι, ὥσπερ προοιμία ταύτης δοκοῦσι καὶ τῆς τῶν ἀνδρῶν ἀνατροφῆς καὶ διαίτης καὶ πολιτείας ἔπαινοι καὶ διηγήσεις· ἡ δὲ κοινὴ ἀπολογία τοῖς ἀγῶσιν ἔοικεν, ἀπολογίας γὰρ ὑπὲρ αὐτῶν ἔχει καὶ λύσεις τῶν ἐπενεχθεισῶν αὐτοῖς κατηγοριῶν· καὶ γὰρ οἱ τέσσαρες ἐκεῖνοι λόγοι καὶ αὕτη εἷς ἔστι λόγος, διὸ καὶ οὕτως ὀνομάζεται παρὰ τῶν παλαιῶν, ὁ ὑπὲρ τῶν τεσσάρων. Εἰ δέ[3] τις εἴποι πῶς καὶ ἐν ἐκείνοις τοῖς λόγοις ἀπολογεῖται; φαμὲν, ὡς εἰ καὶ ἀπολογεῖται, ἀλλ' οὐκ εἰς πλάτος, ὥσπερ ἐνταῦθα, βραχέως[4] δὲ καὶ κατὰ ἀνάγκην τοῦτο συμβὰν ὑπὸ τῆς τοῦ λόγου ἀπολογίας.

368, C. Ὀνειδίζειν] Ap. Mon. Οὐκ εἶπεν ἐγκαλεῖν, ἀλλ' ὀνειδίζειν· ὄνειδος μὲν γὰρ γένοιτο τοῖς ἀπὸ τύχης συμβαίνουσιν, ὡς Ἰσοκράτης.

369, B. Πάντας (Cant. παντ') ἀναμαρτήτους] Sch. ed. Δημοσθενικὸν[5] τὸ ἐπιχείρημα· μετὰ γὰρ τὸ ἐνεγκεῖν εἰς ἔλαττον τὸ ἁμάρτημα σπεύδει κἀκεῖνο περιελεῖν.

374, C. Πρωτεσίλαον] Id. Ὁ Πρωτεσίλαος[6] δρᾶμα γέγρα-

1) Εἰς τὴν κοινὴν ἀπολ., leguntur Mon. CXXIII, fol. 147. et Valk. ex Leid.; Schell. in marg. et intra lineas κοινὴ ἀπολογία, itemque Mon. CCXLIX, Coll. Nov. et Bar. 7. colore rubro, Phot. ἐκ τῆς κοινῆς ἀπολογίας· τὸ προοιμίον, ed. σχόλια εἰς τὴν κοινὴν ἀπολ. — 2) Ἃ μὲν τοίνυν, ad eadem schol. legitur in Cod. Mon. CXXIII, cujus initium est, πληρώσας τὰ ἐγκώμια. Legitur item in Leid., ex quo Valk. pro παροιμία recte edidit προοιμία. — 3) εἰ δέ τις εἴποι, ed. εἴπει. — 4) βραχέως, ed. βραχέος. — 5) πάντας ἀναμαρτήτους, legitur idem schol. in Cod. Mon. CCXLIX, fol. 235., in quo deest τὸ post Δημοσθενικόν. — 6) Idem schol. exstat in Leid., ubi Valken. $\lambda^{\gamma}_{\varepsilon}$ inveniri dicit. Idem τῆς post κατὰ inseruit, et ἀφείθη dedit pro ἀρείθη.

Digitized by Google

πται τῷ Εὐριπίδῃ· λέγεται δὲ ὅτι γαμήσας καὶ μίαν ἡμέραν μόνον συγγενόμενος τῇ γυναικὶ ἠναγκάσθη μετὰ τῶν Ἑλλήνων κατὰ τῆς Τροίας ἀπελθεῖν καὶ πρῶτος ἐπιβὰς τῆς Τροίας ἐτελεύτησε· καί φασιν, ὅτι τοὺς κάτω δαίμονας ἠτήσατο, καὶ ἀφείθη μίαν ἡμέραν, καὶ συνεγένετο τῇ ἑαυτοῦ γυναικί.

Ἑαυτοῖς προσομοίους] Supra in Schell. Ἐφεξῆς βελτίους. 572, C.

Τέτταρας τῶν προστατῶν] Ap. Mon. Leid. et bini praeterea Codd. Monacc. Εὔπολις ἐποίησεν ἀναστάντα τὸν Μιλτιάδην καὶ Ἀριστείδην καὶ Κλέωνα [1] καὶ Περικλέα. Ἐν τούτοις οὖν ἔνεισι δύο, φησὶ, Περικλῆς καὶ Μιλτιάδης· λέγει δὲ Εὔπολις οὕτως 574, C.

Καὶ μηκέτ', [2] ὦ ναὶ Μιλτίαδες [3] καὶ Περίκλεες,
Εἰάσατ' [4] ἄρχειν μειράκια κινούμενα,
Ἐν τοῖς σφυροῖς [5] ἕλκοντα τὴν στρατηγίαν.

Τὸν ξύοντα [6] δ' ἀντιξύειν] Ap. Mon. Ἀντὶ τοῦ οὐδὲ ὄνος καρτερεῖ δακνόμενος· καὶ γὰρ ἐπὶ τῶν ὄνων ἡ [7] παροιμία.... Cod. Pal. pergit: τοῦτο δὲ εἶπε διὰ τὸ ἀντικνήθειν ἀλλήλους τοῖς ὀδοῦσι· τοῦτο δὲ λέγει, ὅτι εἰ καὶ τοῖς 575, A.

1) *Κλέωνα*, Mon. et Leid. *Γέλωνα*, unde Valk. Diatr. p. 252. *Σόλωνα*. Sed *Κλέωνα*, quod facili errore in *Γέλωνα* abiit, diserte retinuerunt Cod. bomb. fol. 237. et Cod. August. chart. seculi XV, nro DXV, fol. 204., teste Werfero, qui itidem probat *Κλέωνα*. Cleonis mortui etiam in *Μαρικᾷ* Eupolin memoriam injecisse (secus atque debuit, vide schol. ad Pac. 47.), prodit schol. ad Nub. 545. Ingeniose autem Valken., cujus conjecturam confirmat schol. ad Acharn. 62., qui Eupolin tradit *Pisistratum* veluti *βασιλέα* in hac fabula in scenam produxisse; adde, quod Platonius *περὶ διαφορᾶς χαρακτήρων* (pag. XI. ante Aristoph. ed. Kust.) post plura: *ταύτην* (sc. *φαντασίαν*) *ἐκεῖνος* (sc. ὁ *Εὔπολις*) *ἐν τοῖς δράμασιν ἀναγαγεῖν ἱκανὸς ὢν ἐξ ᾅδου νομοθετῶν* (Plut. Per. IV. *δημαγωγῶν*) *πρόσωπα καὶ δι' αὐτῶν εἰσηγούμενος ἢ περὶ θέσεως νόμων ἢ καταλύσεως.* Cf. Aristid. infra pag. 239. ed. Jebb. Codicum ego auctoritatem sequutus sum, nunc ex iis varietatem lectionis exhibiturus. Versus transscripsi ex Valk. emendatione l. l. — 2) *καὶ μηκέτ' ὦ ναὶ κ. τ. λ.* Ap. M. et Leid. *καὶ μηκέτι ὦναξ*, bomb. *μηκέτ' ἄναξ*, Aug. *μηκ ἔτ'*. — 3) *Μιλτίαδες καὶ Περίκλεες*, Ap. M. et Leid. *Μιλτιάδου καὶ Περικλεῖ* (l. *Περικλεεῖ*), bomb. *Μιλτιόδη*, bomb. et Aug. *Περικλεις*. — 4) *Εἰάσατ'*, sic Ap. M. et Leid., bomb. et Aug. *ἐάσητ'*. — 5) *ἐν τοῖς σφυροῖς* Ap. M. et Leid. *ἐν τοῖσι σφυροῖσιν*, bomb. *τοῖν σφυροῖν*, Aug. *τοῖς σφυροῖν*. — 6) *τὸν ξύοντα κ. τ. λ.* subl. Valk. — 7) *ἡ παροιμία*, articulum ex Palat. inserui.

Digitized by Google

ὕτοις δίδοται τοῦτο, πολλῷ πλέον τοῖς λέουσι ἀπεικάσαι. Schol. ed.. Τὸν ξύοντα ἀντιξύειν παροιμία ἐστὶν ἐπὶ τῶν ἀμυνομένων ἢ ἀμειβομένων. Εἴληπται δὲ ἐκ τῶν ὄνων, οἱ δακνόμενοι ὑφ' ἑτέρων ὄνων αὐτοὶ τοὺς δάκνοντας ἀντιδάκνουσι, κνήθοντές τε ταὶ κνηθόμενοι.

375, B. Ὁμηρίδαι] Sch. ed. Ὅμηρος τοὺς θαυμαστοὺς τῶν ἡρώων λέουσιν [1] ἀπεικάζει, οἷον Ἀχιλλέα ἢ Αἴαντα· εἰκότως δὲ τοῦτο περὶ Περικλέους εἶπεν· ἐγκυμονοῦσα γὰρ αὐτὸν ἡ μήτηρ λέοντα τέκειν ἔδοξε, καὶ ἐπὶ τῷ ὁράματι τούτῳ ἔτεκε Περικλέα, ὡς καὶ οὗτος ἐν τῷ ὑπὲρ αὐτοῦ τοῦ Περικλέους λόγῳ φησίν.

ib. Εἰ μηδ' ἐκεῖνον (Jebb. ἐκεῖνο, illud Bar. 7. et Coll. Nov.)] In marg. Schell. Εἰ μηδὲ ἐκ τῶν αὐτῶν τούτων ἐνείη καὶ δυνατὸν γένοιτο κεκωλύσθαι μὴ διδάσκειν ἐκεῖνον· τουτέστιν, εἰ μὴ ἐμπόδια γένοιτο αὐτὸν ταῦτα εἰς τὸ διδάσκειν, αἱ γὰρ δύο ἀποφάσεις τῶν μὴ μία κατάφασις γίγνονται.

376, A. Δέξιόν τι νομίζειν κελεύσει] Sch. ed. Κατὰ συνεκδοχὴν λάμβανε εἰς τὸ πῶς εἰρηκέναι γ' αὐτόν· δέον δὲ οὕτω τὸν λόγον ποιήσασθαι, φέρε γὰρ, εἰ ἀνάστασιν εὕραιτο, ἔπειτα προστησάμενον τὸν Περικλέα εἰς λόγον πρὸς σὲ καταέστησαν, τοιαῦτ' εἶπεν ἄν, ἡμεῖς ὦ Πλάτων καὶ τὰ ἑξῆς, οὕτω δέον εἰπεῖν, ὁ δὲ πολλὰ θεὶς διὰ μέσου, ἐπανάληψιν ἐποιήσατο καί φησιν, ἐροῦσιν τοίνυν, ὡς ἐγὼ νομίζω ταυτὶ, μᾶλλον δ' εἶπον ἄν.

ib. Ἡμεῖς, [2] ὦ Πλάτων] Apogr. Mon. Ὁ μὲν σοφιστὴς Ἀφθόνιος (Progymn. cap. XI) εἰδωλοποιΐαν αὐτὴν καλεῖ, ὅτι τετελευτηκότα, φησὶ, ποιεῖ διαλεγόμενον· οὐ καλῶς λέγων, εἰδωλοποιΐαν μὲν γὰρ ἐποίησεν Ὅμηρος ἐν Ὀδυσσείᾳ· εἰδωλοποιΐα δέ ἐστι τὸ [3] ὥσπερ τὸ εἴδωλον, τουτέστι τὸ ἀφομοίωμα διαλέγεσθαι. Ὁ δε Θέων προσωποποιΐαν τὴν αὐτὴν λέγει, ὅτι προσωποποιΐα ἐστὶ τὸ τοῖς ἀψύχοις περιθεῖναι φωνήν· ἄψυχοι δὲ οἱ τετελευτηκότες, προσωποποιΐα οὖν ἐστίν. Ὁ δὲ Σώπατρος ἠθοποιΐαν [4] αὐτὴν φησι λέγειν, ὅτι οὐχ

1) λέουσιν, ed. λέγειν. — 2) Ἡμεῖς, ὦ Πλάτων, subl. Valk. — 3) τὸ ὥσπερ, Mon. τοῦ ὥσπερ. — 4) λέγειν, f. λέγων, sequuntur enim, uti videtur, ipsius Sopatri, quem memorat schol., verba.

Digitized by Google

ὑπέθετο αὐτοὺς λαλοῦντας ἐκ τῶν κάτω, ἀλλ' ὡς ὄντας αὐτοὺς καὶ λέγοντας· βιοῦντας γὰρ αὐτοὺς ποιεῖ τὴν πρώτην ἡμέραν· εἰ δὲ τὴν τῶν ζώντων [1] προσωποποιΐαν ἐποίησε, λείπεται πᾶσαν ἠθοποιΐαν [2] προσωποιΐαν εἰπεῖν.

Ἀσχόλως] In marg. Schell. Ἀπράκτως, κεκωλυμένως. [3] 376, C.

Ἀνθρώποις] Coll. Nov. Ἀνδράσι et in marg. γρ. καὶ ib.
ἀνθρώποις.

Εἰ δὲ βούλει [4] τὸν Διονυσίου] Ap. Mon. Ὃν Θουκυδίδης δημηγοροῦντα συνετὸν ὑποτίθεται ἐν τῇ δ', [5] ὁμοίως δὲ καὶ ἐν τῇ σ', [6] ὡς Ἀθηναίους κατηγωνίσατο. Τούτου [7] ὁ υἱὸς ὁ πρῶτος Διονύσιος· ὁ γὰρ Ἑρμοκράτους Διονύσιος Διονύσιον ἄλλον τέτοκεν. 377, B.

Ἀλλὰ τῶν μὲν Σικελίαν οἰκούντων [8]] Ap. Mon. Σικελιώτης μὲν γὰρ ὁ Ἕλλην, Σικελὸς δὲ ὁ βάρβαρος, ὡς δηλοῖ Θουκυδίδης. 378, B.

Ἠκροάσατο] Bar. 7. ἐκριβώσατο [9] (sic), in marg. γρ. 378, C.
ἠκροώσατο.

Ὡς ἔφη Σοφοκλῆς [10]] Εἰσάγει ὁ Σοφοκλῆς ἐν τινι δράματί (Oedip. Colon. 258) τινα λέγοντα· 380, C.

Πέπονθα μᾶλλον, ἤπερ ἔδρασα καλῶς,
ἐν οἷς ἡμάρτανον, ἔπασχον μᾶλλον ἤπερ ἔδρων.

Μὴ ἄρ' οὐ Πολυκράτης] Sch. ed. Οὗτος ὁ Πολυκράτης Σαμίων τύραννος ἦν πάνυ εὐτυχὴς, ἡ δὲ ἱστορία παρ' Ἡροδότῳ· [11] ἔξωθεν δὲ τύχην λέγει, ἐπειδὴ ἡ μέν ἐστι περὶ τὰ ἔξω, ἡ τοῦ πλούτου καὶ τῆς δόξης καὶ τῶν τοιούτων, ἡ δὲ περὶ τὰ ἔνδον, τουτέστι τὴν ψυχήν, οἷον αἱ ἀρεταί· θέλει δὲ εἰπεῖν, ὡς οὐδὲ αὐτὸς οὕτως εὐτυχὴς ὡς Πολυκράτης ὑπῆρχες, ὡς μὴ περιπεσεῖν δυστυχίᾳ. [12] 381, A.

1) προσωποποιΐαν, Mon. προσωσοποιΐαν. — 2) ἠθοποιΐαν, Mon. ἠθοποποιΐαν. — 3) κεκωλυμένως, Schell. κεκωλυόμενος. — 4) Εἰ δὲ βούλει, sublin. Valken. — 5) ἐν τῇ δ', cap. 59 seq. — 6) ἐν τῇ σ', cap. 33. seqq. — 7) τούτου, Mon. τοῦτον. — 8) Ἀλλὰ τῶν μὲν Σικελίαν οἰκούντων, sublin. Valk. cf. Schol. ad Thucyd. V, 5. — 9) ἐκριβώσατο, sic Jebb., f. ἠκριβώσατο. — 10) ὡς ἔφη Σοφοκλῆς, subl. Valkenarius versum in margine laudans. — 11) παρ' Ἡροδότῳ, III, 39. seqq. — 12) δυστυχίᾳ, ed. δυστυχία.

Digitized by Google

ib. Ὥσπερ σὺ φῂς[1] τὸν Πρύτανιν] Ap. Mon. et Leid. Ἕνα λέγει τὸν Μιλτιάδην· ὅτε γὰρ ἐκρίνετο ἐπὶ τῇ Πάρῳ, ἠθέλησαν αὐτὸν κατακρημνίσαι·[2] ὁ δὲ Πρύτανις εἰσελθὼν ἐξητήσατο αὐτόν.[3] Ἡ δὲ αἰτία τῆς Πάρου αὕτη ἦν, καταδουλοῦσθαι τὰς νήσους τοῖς Ἀθηναίοις· καὶ ἐξελθὼν εἰς Πάρον πρώτην καὶ παρελθὼν τὸ ἱερὸν[4] μεμολυσμένος αἵματι[5] τῶν πολεμίων, οἱ μέν φασι ὡς βέλει ἐβλήθη, ἃ δ' ὡς[6] ἀπὸ τοῦ τείχους κατηνέχθη· κατεαγὼς[7] οὖν τὸν μηρὸν ὑπέστρεψεν ἄπρακτος καὶ ἐκρίνετο. Τὸν δὲ Πρύτανιν[8] καλεῖ Δημοσθένης καὶ Ἐπιστάτην.

ib. Ἀνὴρ Ἰταλιώτης[9]] Ap. Mon. Ἄρχυταν λέγει· τὸ δὲ ἐξητήσατο[10] τουτέστιν ἔσωσε τοῦ μὴ ἐμβληθῆναι εἰς τὰς λιθοτομίας·[11] οὐδὲ γὰρ λέγει ὅτι ἔλαβε σε Ἀρχύτας παρὰ τοῦ Διονυσίου, ἐπάγει γὰρ μετ' ὀλίγον, καὶ παραδίδωσι δή σε ἀνδρὶ Σπαρτιάτῃ Πολλίδι, κελεύων πωλῆσαι, δηλονότι Διονύσιος, οὐδὲ γὰρ ὁ Ἀρχύτας ὁ σώσας[12] αὐτὸν ὕστερον.

383, A. Τῶν Λακεδαιμονίων[13] ποτὲ ναύαρχος] Ap. Mon. Οἱ ἀρχαῖοι τοὺς μὲν Λακεδαιμονίων ἄρχοντας ναυάρχους ἐκάλουν, τοὺς δ' Ἀθηναίους ἄρχοντας στρατηγούς· δηλοῖ δὲ τοῦτο Θουκυδίδης ἐν τῇ δ' (passim). Ὁ μέντοι Ἀριστείδης ἐπὶ Ἀθηναίων καὶ ἐπὶ Λακεδαιμονίων χρῆται τῷ ὀνόματι, ὡς ἐν τῷ Παναθηναϊκῷ· ἐχειροτονεῖτο δὲ παρὰ Λακεδαι-

1) Ὥσπερ σὺ φῂς τὸν Πρύτανιν, subl. Valk. atque edidit praestantissimum hoc scholion ad Herod. VI, 136, unde mihi innotuit varietas lectionis. Ex Ephoro haec fluxisse neque ab omni parte sana haberi debere, existimat Marx. ad Ephor. p. 212., nil suspicatus est Heind. ad Gorg. p. 241. — 2) κατακρημνίσαι Mon. κατακρημνῆσαι. — 3) ἐξητήσατο αὐτὸν, sic diserte Mon., Leid. Ἔζη, unde illud confecit Valk. l. l. — 4) παρελθὼν τὸ ἱερὸν Mon. et Leid., Valken. mavult εἰς τὸ ἱερὸν. — 5) αἵματι, Mon. ἥματι, quod emend. Werf. — 6) οἱ δ' ὡς, Mon., Leid. οἱ δὲ ὡς. — 7) κατεαγὼς κ. τ. λ., Leid. κατεαγῆς, Mon. κατεαγὴς; in Leid. a nescio quo viro mendum erat sublatum, qui item paullo infra pro ἄπρακτοι ἀεὶ ἐκρίνετο dedit ἄπρακτος καὶ ἐκρ., ut est in Mon. — 8) Τὸν δὲ Πρύτανιν κ. τ. λ. Omisit, opinor, Valkenarius, cum ad ipsam rem non facerent. Cf. Heindorf. l. l. — 9) Ἀνὴρ Ἰταλιώτης sublin. Valken. — 10) τὸ δὲ ἐξητήσατο, Mon. ἐξηγήσατο. 11) εἰ τὰς λιθοτομίας, sic ex Aristide ipso rescripsi, Mon. εἰς τὰ λιθοτομία, accentus iudici erat. — 12) ὁ σώσας, f. ἔσωσεν, vel excidit ἦν. — 13) Τῶν Λακεδαιμονίων ποτὲ ναύαρχος, subl. Valk.

Digitized by Google

μονίων κατ' ἐνιαυτὸν ὁ ναύαρχος καὶ οὐκ ἐξὸν ἦν προ τοῦ καιροῦ ἀλλαγῆναι.

Ὥστε νομίσας εἰς Αἴγιναν [1]] Ap. Mon. Κατὰ τὸν Πελοποννησιακὸν [2] Αἰγινητῶν ἐκπεσόντων ὑπὸ Ἀθηναίων καὶ αὐτῶν Ἀθηναίων ἀποίκους πεμψάντων ὕστερον Λακεδαιμόνιοι περιγενόμενοι τοὺς ἐν Αἰγίνῃ Ἀθηναίους ἐξέβαλον καὶ Αἰγινήταις [3] παραδεδώκασι, καὶ τότ' Αἰγινῆται ψήφισμα ἐγραψαν τὸν ἁλόντα ἐν Αἰγίνῃ Ἀθηναῖον τεθνάναι. [4] Ὁ τοίνυν Πόλλις ἐλθὼν εἰς Αἴγιναν ἐβόα λέγων Ἀθηναῖον πωλεῖν· συνελθόντες ἐκεῖνοι μετὰ τὸ ψήφισμα ἠβουλήθησαν αὐτὸν ἀποκτεῖναι, παρὼν δὲ ὁ Ἀννίκερις εἶπε, τὸ μὲν ψήφισμα περὶ ἀνθρώπου λέγει, πάντα δὲ μείζων ἢ κατὰ ἄνθρωπον, καὶ οὕτως ὠνήσατο. Sch. ed. [5] Πελοποννησιακὸν πόλεμον εἰσιόντων τῶν Ἀθηναίων Αἰγινῆται σύμμαχοι ὄντες Λακεδαιμονίοις πρὸς Ἀθηναίους ἐχώρησαν, Ἀθηναῖοι δὲ εἰς Αἴγιναν ἔπεμψαν ἐποίκους [6] ἐξ αὐτῶν, ὥσπερ ὑποπτεύοντες Αἰγινήτας, μὴ πρὸς Λακεδαιμονίους πάλιν χωρήσωσιν. Ἔπειτα περιγενόμενοι Ἀθηναίων Λακεδαιμόνιοι ἦλθον εἰς Αἴγιναν καὶ πολιορκήσαντες εἷλον αὐτήν τε καὶ τοὺς Ἀθηναίους ἐποίκους, οὓς καὶ παρέδοσαν Αἰγινήταις ἀποκτενεῖν· ἐντεῦθεν αὐτοὺς μᾶλλον περιποιούμενοι, καὶ πρὸς τούτοις ἠνάγκασαν αὐτοὺς ψήφισμα γράψαι, τὸν ἁλόντα ἐν Αἰγίνῃ Ἀθηναῖον τεθνάναι. 384, A.

Εἰς Μολοττοὺς [7]] Schol. ed. Μολοττοὶ ἔθνος βάρβαρον, [8] ὧν ἦν βασιλεὺς Ἄδμητος. Τούτου δεηθέντος ποτὲ παρ' Ἀθηναίων συμμαχίας [9] τυχεῖν, Θεμιστοκλῆς παρὼν ἐκώλυσεν· ὡς δ' ὕστερον διαβληθεὶς ὑπὸ Λακεδαιμονίων 384, B.

1) ὥστε νομίσας εἰς Αἴγιναν. subl. Valk. — 2) κατὰ τὸν Πελοποννησιακὸν, Mon. κατὰ τῶν πελοποννησιακῶν, illud in edito. — 3) Αἰγινήταις, Mon. Αἰγινήτας. — 4) τεθνάναι, sic emend. Werf., Mon. τεθνᾶναι — 5) Schol. editus huc a me relatus est, ex auctoritate Codd., cum Jebbius ad proxime sequentia adposuisset. 6) ἐποίκους, sic ed., noli ἀποίκους. — 7) Εἰς Μολοττοὺς, his non sublineatis, Valken. ex Leid. edita correxit. — 8) βάρβαρον, sic Leid., ed. βαρβάρων. — 9) συμμαχίας, sic Valk. ex Leid., ed. συμμαχίων.

Digitized by Google

πρὸς Ἀθηναίους μετὰ Παυσανίου ἐπὶ τῷ Μηδισμῷ, πρὸς τὸν Πέρσην ἐχώρει, πρῶτον εἰς Ἄδμητον παραγίνεται, οὗ μὴ εὑρεθέντος τότε κατ' οἶκον, τὸν παῖδα διδῶσιν αὐτῷ ἡ γυνή, ὅπως σὺν αὐτῷ παρὰ τὸν τῆς Ἑστίας βωμὸν [1] καθίσας, ἑτοιμότατον πρὸς ἔλεον παρασκευάσῃ τὸν Ἄδμητον, καὶ τοῦτο ποιήσας ἔτυχεν εὐμενοῦς τούτου, ὃς καὶ συνέπραξεν αὐτῷ πρὸς τὸν Πέρσην ἐλθεῖν. Ἐπεὶ τοίνυν καὶ Πλάτων παρὰ τοὺς τῆς πατρίδος ἐχθροὺς ἐκομίσθη, ἀτυχίαν τοῦτο καλεῖ, εὐτυχίαν δὲ πάλιν, [2] ὅτι παρ' ὧν [3] ἤλπιζεν [4] ἀπολέσθαι, τούτοις σέσωσται.

586, A. Τῆς Φιλοξένου] Id. Φιλόξενος γὰρ εἰς τὰς λιθοτομίας τῶν Συρακουσίων ἐνέπεσεν. Ἀντίπαλα δὲ εἶπεν, ἐπειδὴ ὁ μὲν διθυραμβοποιὸς ὢν ἔθελγε τοὺς ἀκούοντας καὶ πρὸς ἡδονὴν τοῖς πολλοῖς τῇ ποιήσει ἔχρητο, Πλάτων δὲ ἐφιλοσόφει καὶ οὐ τῆς τῶν πολλῶν ἡδονῆς ἐφρόντιζεν.

587, A. Ἀλλ' ἡ μὲν παροιμία καὶ Ὁμηρος] Sch. ed. Τὰ ἁλιεὺς πλήγεις νοῦν ἴσχει παροιμία· τὸ δὲ

. . . . ῥεχθὲν δέ τε νήπιος ἔγνω [5]

Ὁμηρικόν (XVII, 32). Νόει οὖν τὸ ἡ μὲν παροιμία διὰ τὸ ἁλιεὺς πλήγεις νοῦν ἴσχει. εἰ μὴ τὸ [6]

. . . . . ῥεχθὲν [7] δέ τε νήπιος ἔγνω

καὶ ὡς παροιμίαν καὶ ὡς Ὁμηρικόν· Ὁμήρου γὰρ εἰπόντος τὴν ἀρχὴν ὕστερον εἰς παροιμίαν ἐλήφθη, ὥσπερ καὶ τὸ

φίλου κακῶς πράξαντος [8] ἐκποδὼν φίλοι

Σοφοκλέους ὂν παροιμιῶδες γέγονε καὶ ἕτερα μυρία.

587, C. Μὴ δι' ἀμφοῖν ὤθει [9]] Ap. Mon. Ὃ εἶπεν Ἡρόδοτος

1) τὸν τῆς Ἑστίας βωμὸν, ed. τὸν τῆς ἑστίας β., narrant autem reliqui scriptores Themistoclem καθίσαι, καταφυγεῖν πρὸς τὴν ἑστίαν, cf. Intt. ad Nep. Them. VIII. — 2) εὐτυχίαν δὲ πάλιν κ. τ. λ. legerat ergo in suo cod. scholiastes ea, quae Jebbius a rec. m. in margine Bar. 7. adscripta editis adjunxit. — 3) παρ' ὧν, ed. παρ' οὓς. 4) ἤλπιζεν, ed. ἤλπιζον. — 5) ῥεχθὲν δέ τε νήπιος ἔγνω, ῥεχθὲν ex Hom. et ipso Aristide, (Coll. N. παθὼν) ed. παθών. — 6) εἰ μὴ τὸ, ed. εἰ δὲ τὸ μή. — 7) ῥεχθὲν ut paullo supra. — 8) φίλου κακῶς πράξαντος. Innuit hoc proverbium Aristides t. I, p. 268. ed. Jebb., quem ad locum Menandri, non Sophoclis esse contendit Canterus. Vide supra ad Panathen. — 9) Μὴ δι' ἀμφοῖν ὤθει, subl. Valken.

Digitized by Google

ὡς ἀπὸ τοῦ Δαρείου. Καμβύσης γὰρ ὁ Κύρου παῖς Μήδων ἐβασίλευσεν ἐν Ἐκβατάνοις, κατὰ δὲ τοῦ Πηλουσίου στρατεύσας καταλείπει τὴν βασιλείαν Σμέρδει τῷ ἑαυτοῦ ἀδελφῷ· ὕστι δὲ αὐτῷ ἐν Λιγύπτῳ παρέστη ὄναρ τοιόνδε, ἐδόκει αὐτῷ Σμέρδις ὁ ἀδελφὸς αὐτοῦ, εἰς τὸν θρόνον τὸν αὐτοῦ [1] καθέζεσθαι πτεροφόρος καὶ ἀμφοτέραις ταῖς πτέρυξι καλύπτειν τήν Ἀσίαν καὶ τὴν Εὐρώπην· ὁ δὲ συμβαλὼν τὸ ὄναρ πέμπει Πρηξάσπην τινὰ δορυφόρον αὐτοῦ κελεύσας ἀκρίτως κτεῖναι τὸν ἀδελφόν· ὁ δὲ ἀπελθὼν τὸ προσταχθὲν ἔδρασε καὶ δεδοικὼς τοὺς Πέρσας μὴ ἀμύνωνται [2] ὑπὲρ Σμέρδεως συγκρύπτει [3] τὸ πάθος φάσκων αὐτὸν περιεῖναι. Ἕτερος δέ τις Σμέρδις Μάγος ἀποκοπεὶς τῶν ὤτων διὰ τὸ παραδικάσαι οἰκείως ἔχων τῷ Σμέρδει τῷ τετελευτηκότι καὶ συνεὶς τὸ γενόμενον, χρήματα δοὺς τοῖς δορυφόροις πείθει αὐτοὺς καθίσαι αὐτὸν εἰς τὸν τοῦ Κύρου θρόνον. Πεισθέντων δὲ καὶ αὐτῶν κρατεῖ τῆς βασιλείας φάσκων αὐτὸς εἶναι Σμέρδις ὁ Κύρου, μηδὲν φαινόμενος, καὶ ἐπιστέλλει [4] Καμβύσῃ λέγων, ὅτι ἐγώ εἰμι Σμερδὶς ἀδελφός σου κρατῶν [5] τῆς βασιλείας καὶ μηκέτι Μήδων ἐπιβῆς· ὁ δὲ ἀκούσας καὶ καταπλαγεὶς ἠρώτα Πρηξάσπην, διὰ τί μὴ ἔδρασας τὸ ταχθέν; [6] ὁ δὲ ἔφη τεθνηκέναι τὸν ἀδελφὸν αὐτοῦ· ἠρώτησε δὲ τὸν κήρυκα, εἰ τὸν γεγραφότα [7] τεθέαται, ὁ δὲ εἶπεν οὔ· καὶ γνοὺς ὁ Καμβύσης, ὅτι τὸ ὄναρ ἕτερον ἐμήνυε [8] Σμέρδιν διαῤῥήξας τὴν ἐσθῆτα στρατεύειν ἐπειρᾶτο μετὰ Περσῶν. Μέλλοντα οὖν αὐτὸν ἐπιβῆναι τοῦ ἵππου τὸ ἴδιον αὐτοῦ ξίφος περιτραπὲν πλήττει αὐτὸν κατὰ τὸν μηρόν· [9] ὁ δὲ μέλλων τελευτᾶν ἀρᾶται [10] Πέρσαις εἰ ἀνεκδίκητον αὐτὸν καταλείπουσι, μὴ ἐνεγκεῖν αὐτοῖς μήτε γῆν καρπὸν, μήτε γυναῖκα παιδίον, καὶ οὕτως τελευτᾷ ἐπὶ τούτοις.

1) *θρόνον τὸν αὐτοῦ*, Mon. *αὐτὸν*. — 2) *ἀμύνωνται*, Mon. *ἀμύνοντες*. — 3) *συγκρύπτει*, Mon. *συγκρίπτει*. — 4) *ἐπιστέλλει*, sic Werf., Mon. *ἐπιστέλλοι*. — 5) *κρατῶν τῆς βασιλείας*, M. *κρ. τὴν βασιλείαν*. — 6) *ταχθὲν*, Mon. *πραχθὲν*, emend. Werf. — 7) *γεγραφότα*, Mon. *γρυφότα*, emend. Werf. — 8) *ἐμήνυε*, Mon. *καὶ μήνυε*, emend. Werf. — 9) *κατὰ τὸν μηρόν*, Mon. *κατὰ τοῦ μηροῦ*. 10) *ἀρᾶται*, Mon. *ὁρᾶται*, emend. Werf.

Digitized by Google

388, A. *Φαίνεται δὲ Φιλόξενον*] Sch. ed. *Φιλόξενος ὁ Κυθήριος διαφυγών τὰς λατομίας, εἰς ἃς αὐτὸν Διονύσιος ὁ τύραννος ἐνέβαλλεν οὐκ ἐπαινοῦντα τὰς τραγῳδίας αὐτοῦ, διέτριβεν ἐν Κρότωνι τῆς Ἰταλίας· πυθόμενος δὲ ὁ Διονύσιος ἥξίου αὐτὸν εἰς Συρακούσας παραγενέσθαι, ὁ δὲ πρὸς ταῦτα λαβὼν χάρτην καὶ κατὰ μέσον γράψας μικρὸν οὗ περὶ τοῦτο μεῖζον περιεχάραττεν, ὥστε τὸ σχῆμα τοιοῦτον γενέσθαι, ᾧ καὶ πλήσας τούτων πάντα τὸν χάρτην ἔπεμψεν, ἐμφαίνων ὅτι πολλάκις καὶ μεγάλως ἀρνεῖται· ὅθεν ἐπὶ τῶν μεγάλως ἀρνουμένων παροιμία τὸ Φιλοξένου οὗ. Τὴν οὖν τοιαύτην προσαγόρευσιν Ἀριστείδης ἐμφαίνων φησιν, ἀλλ' οἰμώζειν ἐκεῖνος ἐλευθέρως γράφων αὐτῷ· ἡ γὰρ τοιαύτη προσαγόρευσις ὁμοίος ἐστιν, ὥσπερ ἂν εἰ οἴμωζε πρὸς αὐτὸν ἔλεγε.*

388, B. *Γράφων*[1]] Ap. Mon. *Μετὰ γὰρ τὴν φυγὴν ἀπέστειλεν αὐτῷ Διονύσιος, προτρεπόμενος αὐτὸν*[2] *καὶ ἐπαγγελλόμενος, ὡς τεύξοιτό τινος τῶν φιλανθρώπων· ὁ δὲ ἀντεπέστειλεν*[3] *αὐτῷ γράψας ἐπιστολὴν οὕτως· ἄλλοι*[4] *δὲ ἔχουσαν οὐδέν· δὲ πολλά· τοῦτο δ' ἐσήμαινεν ἡ γραφὴ μόνον· οὐ μέλει*[5] *μοι τῶν σῶν· οὐ φροντίζω· σὺ θέλω ἐλθεῖν παράσε· οἴμωζε, ὀλόλυζε, γόγγυζε.*

388, C. *Ὑπὲρ τῆς ἑστίας*] Sch. ed. *Ἑστίας νόει ἀντὶ συστάσεως καὶ συνοχῆς, ἐπειδὴ καὶ τὴν Ἑστίαν θεὰν*[6] *διὰ τοῦτο ἐν τοῖς οἴκοις ἔγραφον, ἵνα συνίστῃ καὶ συνέχῃ αὐτούς, ἅτε καὶ πρώτη τοὺς οἴκους δείξασα· ἦν δὲ τοῦ Κρόνου θυγάτηρ.*

388, D. *Ὑπὲρ τῆς πόλεως*] Sch. ed. *Ἐπειδὴ ὑπὲρ τῆς πόλεως εἶπεν καὶ ὑπὲρ τῶν Ἑλλήνων ἐπήγαγεν, αἰσχυνθέντας μὲν τὰς Διὸς ἐπωνυμίας καὶ τὰς τῶν ἄλλων θεῶν, καὶ γὰρ πολιούχους φαμὲν τοὺς θεοὺς καὶ φιλίους, ἵν' ᾖ ἡ μὲν τοῦ πολιούχου ἐπωνυμία πρὸς τὸ ὑπὲρ*

1) *γράφων*, subl. Valken. — 2) *αὐτὸν*, Mon. *αὐτῷ*. — 3) *ἀντεπέστειλεν*, sic Mon., f. *ἀνταπέστειλεν*. — 4) *ἄλλοι δὲ κ. τ. λ.* suspicor sic legi oportere: *ἄλλο μὲν ἔχουσαν οὐδέν, οὐ δὲ πολλά.* 5) *μέλει*, Mon. *μέλλει*. — 6) *Θεὰν διὰ τοῦτο*, ed. *Θεὰν· διὰ τοῦτο*,

Digitized by Google

τῆς πόλεως, ἡ δὲ τοῦ φιλίου πρὸς τὸ ὑπὲρ τῶν Ἑλλήνων.

Τί τὰ μὴ σὰ κατηγορεῖς] Id. Ἢ τὰ ἀναξιά σφυ, τὸ γὰρ κατηγορεῖν οὐ φιλοσόφων, ἢ τὰ μὲ σὰ λέγει ἀντὶ ἅπερ οὐχ ἁρμόζει σοι· ἃ γὰρ ἂν καθ' ἡμῶν[1] εἴποις, καὶ κατά σου λέξεις, ὥσπερ γὰρ αὐτὸς Διονυσίῳ, οὕτω καὶ ἡμεῖς τῷ δήμῳ προσεκρούσαμεν. 389, B.

Καὶ ταῦτα καὶ τούτου] Id. Πλείω γὰρ ἐκ τύχης ἡμεῖς ηὐτυχήσαμεν. 390, B.

Τοῦ Κόδρου τοσοῦτον] Id. Ἀθηναίων καὶ Λακεδαιμονίων πολεμούντων, ἔχρησεν ὁ θεὸς τοὺς καταρχομένους τῆς μάχης ἡττᾶσθαι· προσποιησάμενος οὖν προσελθεῖν ὁ Κόδρος ἀπῆλθε πρὸς Λακεδαιμονίους παροξύνων αὐτοὺς εἰς πόλεμον, εἶτα ἐκεῖνοι ἀγνοήσαντες ἀνεῖλον αὐτὸν καὶ οὕτως ἡττήθησαν. 390, C.

Ἕτεροι καὶ εἰς ἡμᾶς] Id. Τὸ ἕτεροι ἀντὶ τοῦ πολέμιοι νόει, μὴ γὰρ τῶν στρατηγῶν τούτων ἀντιστάντων τότε τῷ Πέρσῃ, ἀλλ' ἡσυχίαν ἀγόντων, ἅπαντ' ἂν εἶχοντο κατὰ πολλὴν τοῦ κωλύσαντος ἐρημίαν· ἔθηκε δὲ τοῦτο διὰ μέσου, διότι ἀναγκαῖον ὂν λεχθῆναι, εἰ μὴ οὕτως ἐτέθετο, οὐκ ἂν ἀλλαχοῦ χώραν ἔσχεν. 390, D.

Ἔμελλον] Supra in Schell. Ἐξαμαρτεῖν μηδίσαντες δῆλον. In marg. Εἴπερ διεχείρισαν, ἅπερ ἡμεῖς, οὐ γὰρ ὡς ἡμεῖς διεχείρισαν ἀν· διὰ μέσου τέθεικε τὸ οὐκοῦν ἕτεροι. ib.

Μειζόνως] In m. Sch. Ἐπὶ τὸ μεῖζον, ὑπέρτερα τὰ ἀφορῶντα πρὸς εὐδοξίαν. 391, A.

Ταῦτα] Ibid. Ἃ περὶ πλείονός ἐστιν αὐτοῖς. 391, B.

Παρείη] Supra in Sch. Ἐνδιδοίη. ib.

Καταλυώμεθα (Coll. N. et Bar. 7. καταλυόμεθα, Sch. καταλυώμεθα] In m. Schell. Καταλύσαντες τὴν ἐχθρὰν συνθώμεθα. 391, D.

Ἀποχρῆν] Ibid. Ἱκανῶς ἔχειν δεῖ. 392, A.

Ἀποψηφιζοίμην] Ibid. Ἀπὸ ψήφου καὶ καταδίκης τιθείην, Πλάτωνά τε καὶ ὧν Πλάτων κατηγορεῖ. 392, B.

1) καθ' ἡμῶν, ed. κάθ' ἡμᾶς.

Digitized by Google

392, B. Σκευῶν] Sic Bar. 7., in marg. γρ ζευγῶν. In marg. Schell. Τῶν τῆς ἡνιοχείας ὀργάνων.

392, C. Ἄνω ποῦ] Sch. ed. Τὸ ἄνω εἶπεν, ἐπειδὴ πρώτου τοῦ Περικλέους κατηγορεῖ.[1] In marg. Schell. Σκεψώμεθα ἀπὸ τῶν εἰς τὸν Περικλέα.

393, B. Ἔτους ἰσχύς] In marg. Schell. Ἡ διὰ τοῦ ἔτους τῶν ὡρῶν κράσις.

394, A. Τοὺς Μολιονίδας[2]] Sch. ed. Τούτους ἀρίστους ἡνιόχους ἡ ποίησις[3] λέγει, ἤτοι πρῶτοι μὴ λιπεῖν τὰς τάξεις τοὺς παρατατομένους παρεσκεύασαν, ἔνθεν Λυκοῦργος τὰς ἐν τοῖς πολέμοις ἐνωμοσίας παρὰ Λακεδαιμονίοις[4] κατέστησεν. Ap. Mon. Τούτους ὁ ποιητὴς ἀρίστους ἡνιόχους λέγει· οὗτοι πρῶτοι μὴ λιπεῖν τὰς τάξεις ὀμτύειν τοὺς ταττομένους παρεσκεύασαν· ἔνθεν Λυκοῦργος τὰς ἐνωμοτίας παρὰ Λακεδαιμονίοις κατέστησε.

ib. Καὶ τῶν Διομήδους] Sch. ed. Ἵππων δηλονότι, οὓς Ἡρακλῆς παρ' Εὐρυσθέως πεμφθεὶς ἔλαβε Διομήδην ἀποκτείνας καὶ τοὺς σὺν αὐτῷ καὶ τοῦτο ὀγδόον ἆθλον εἴργαστο.

395, C. Ὅτι βασιλευόντων τῶν φιλοσόφων] Id. Ἐπεὶ Πλάτων ἔφη, ὅταν βασιλεύωσιν οἱ φιλόσοφοι, ἢ βασιλεῖς φιλοσοφήσωσι, τότ' εὐδαιμονήσειν τὰς πόλεις· ταὐτὸ δὲ τοῦτο συνέβη καὶ τῶν τεσσάρων τούτων τῆς τῶν Ἀθηναίων πολιτείας προεστηκότων. Διὰ τοῦτό φησιν ὁ ῥήτωρ, βασιλευόντων τῶν φιλοσόφων· ὃ γὰρ ἂν ὑπ' ἐκείνων ὑπῆρξε τῇ πολιτείᾳ, τοῦτο καὶ οὗτοι τοῖς πράγμασιν ἐφεστηκότες εἰργάσαντο· φιλοσοφίαν δὲ νόει τὴν ἐκείνων μετ' ἐπιστήμης πολιτείαν.

396, A. Τί ταῦτα τοὺς Λάκωνας αἰτιώμεθα (Arist. Acharn. 514.)] Sch. ed. Ἐπειδὴ τοὺς Λάκωνας ἐπαινεῖ ὁ Πλάτων, ὡς πολιτευομένους ἄριστα, ἦσαν δὲ καὶ οὗτοι οἱ τέσσαρες

1) κατηγορεῖ, ed. κατηγορεῖν, lege vel illud vel κατηγόρει. — 2) Τοὺς Μολιονίδας, schol. ad haec sublin. Valk., plura fortasse in Leid. legi indicaturus. — 3) ἡ ποιήσις, immo ὁ ποιητής, quod legitur in Mon., cf. schol. ad Hom Iliad. XI, 708. et Intt. ad Hesych. II, p. 615. — 4) Λακεδαιμονίοις, sic ex edito rescripsi, Mon. Λακεδαιμονίων.

Digitized by Google

ὅμοιοι ἐκείνοις τὰ εἰς πολιτείαν, τούτου χάριν φησὶ, τί ταῦτα τοὺς Λάκωνας αἰτιώμεθα, ἀντὶ τοῦ[1] τί οὓς ἐπαινοῦμεν ψέγομεν; Διὸ ἐπιφέρει, προσπαίζειν γὰρ ἔξεστι δήπου σέ γε, παίζοντος γάρ ἐστιν οὗτος ὁ λόγος πρὸς Πλάτωνα τὸ λέγειν αὐτὸν τούτους ψέγειν, οὓς ἐπαινεῖ.

Καίτοι[2] *ὁ Θησεὺς*] Sch. ed. *Θησεὺς ὑπὸ Λύκου*[3] 396, B.
Ἀθήνησιν εἰς τυραννίδα συνκοφαντηθεὶς ἐξωστρακίσθη τῆς πόλεως καὶ ἦλθεν εἰς Σκύρον, ἧς Λυκομήδης ἦρχεν,[4] *ὃς Θησέα ζηλοτυπήσας, μὴ τῆς ἀρχῆς ὑπ' αὐτοῦ ἐκπέσῃ ἀναθεὶς ἐπὶ κρημνοῦ ὥσας*[5] *ἀνεῖλεν. Ὕστερον δὲ λοιμοῦ*[6] *κατασχόντος Ἀθήνας ἔχρησεν ὁ Ἀπόλλων, οὐκ ἂν ἄλλως παύσασθαι τὸν λοιμὸν, εἰ μὴ Ἀθήνησι μετενέγκειαν*[7] *τὰ Θησέως ὀστᾶ, οὗ γενομένου ὁ λοιμὸς ἐπαυσεν·*[8] *ἐξ ἐκείνου δὲ Ἀθηναῖοι ἦγον μεγίστην καὶ δημοτελῆ ἑορτὴν, ἣν ἐκάλουν Θήσεια.*

Ἀλλ' οἴχεται] In marg. Sch. *Ἀλλ' ὁ περὶ αὐτῶν λόγος οἰχέσθω διά σε.* 396, C.

Ἐκόλουον] Phot. *Ἐσμίκρυνον, συνέστελλον, ἐταπείνουν.* 398, C.

Περικλέα δὲ καὶ Μιλτιάδην] Sch. ed. *Ὁ Περικλῆς τῆς πολιτείας ἐπίτροπεύων ἐν τοῖς ὑπὲρ τῶν κοινῶν χρημάτων λογισμοῖς*[9] *πολλῶν ταλάντων ἐλλελοιπότων ταῖς ψήφοις, ἔλεγεν εἰς τὸ δέον ταῦτα ἀνηλωκέναι, τουτέστιν εἰς προσήκουσαν ὑπὲρ τῶν κοινῶν χρείαν, ἃ βιασθεὶς ὑπὸ τοῦ δήμου οἴκοθεν ἐξέτισε. Μιλτιάδης δὲ Νάξον ἢ Πάρον δυνάμενος ἑλεῖν, ἐπεὶ πρὸς τὸν μηρὸν ἐξ ἀφανοῦς ἐτρώθη ἐν πολιορκίᾳ, δείσας μὴ ἄρα ὑπὸ τῆς Δήμητρος τοῦτ' ἐπέμφθη, ἦν γὰρ πλησίον νεὼς τῆς θεοῦ, ἐκεῖθεν ἀνεχώρησεν· κατεψηφίσαντο δὲ αὐτοῦ Ἀθηναῖοι διὰ τὴν ἀναχώρησιν εἰς* 401, A.

1) *ἀντὶ τοῦ τί οὓς κ. τ. λ.*, ed. *ἀντὶ τοῦ τὸ οὓς ἐπαινοῦμεν ψέγομεν. διό κ. τ. λ.* Illa *τί ταῦτα τοὺς Λ. αἰτ.* subl. Valken. — 2) *καίτοι ὁ Θησεὺς*, Valken. ex Leid. varietatem excerpsit, Hemsterhus. ad Plut. p. 206 et 208 laudans. — 3) *Λύκου*, sic Leid., ed. *Λύνου.* — 4) *ἦρχεν*, ad hanc vocem Valken. in margine notavit, complura in mscr. Burmanni non legi. — 5) *ὥσας*, ed. *ὠσας.* — 6) *λοιμοῦ*, sic ex Leid. ubivis cum Valken. rescripsi, cum in edito esset *λιμοῦ*, solita fere confusione, cf. Intt. ad Thucyd. II, 54. ne plura. — 7) *μετενέγκειαν*, ed. *μετενέγκειεν.* — 8) *ἐπαυσεν*, immo *ἐπαύσατο.* — 9) *λογισμοῖς*, ed. *λογισμῶν.*

Digitized by Google

δεσμωτήριον εἰσελθεῖν, ζητοῦντες [1] αὐτὸν τάλαντα ν' [2] ὁ Κίμων μὲν ὑπὲρ αὐτοῦ ἐξέτισεν, αὐτὸς δὲ πρὶν ἐκεῖθεν ἐξελθεῖν ἡττηθεὶς [3] τοῦ τραύματος ἐτελεύτησεν.

401, C. Σφακελίσαντος [4]] Apogr. Mon. Φλεγμάναντος ἀμέτρως. Ὡς σὺ φῄς, ὁ γὰρ Θουκυδίδης λέγει ὅτι λυπούμενοι διὰ τὴν δίωσιν της γῆς. Schol. ed. Ἀμέτρως φλεγμάναντος, [5] ἔστι δὲ ὁ σφάκελος πάθος περὶ τὸν ἐγκέφαλον. Cod. Schell. Εἰς σφάκελον μεταπεσόντος, ὃς σῆψις τοῦ ἐγκεφάλου ἐστὶ, ἢ διὰ σφακέλου φθείραντος.

402, B. Ἠναγκάζοντο] Sch. ed. Ὑπὸ τῶν περιστάντων Λακεδαιμονίων καὶ πολιορκούντων τὰ κύκλῳ τῆς Ἀττικῆς.

ib. Τοῖς ἅρμασι [6] κ. τ. λ.] Ap. Mon. Παρῴδησε [7] τὴν παροιμίαν ἅρμασιν εἰπὼν καὶ οὐ τοῖς πτεροῖς· ἔστι δὲ πρὸς τὸ παράδειγμα τοῦ Πλάτωνος. Ἡ δὲ παροιμία αὕτη· ἀετὸς τοξευθεὶς εἶδεν [8] ἐπτερωμένην καὶ [9] ἄγνω [10] ὅτι τοῖς ἰδίοις πτεροῖς ἑάλωκε· κατέσχεν οὖν ἐπὶ τῶν ἐπὶ τοῖς ἰδίοις ἐγκλήμασιν ἁλισκομένων. Schell. cod. Ἤγουν ἐπὶ τὸν ἀγῶνα τῶν ἁρμάτων.

ib. Ὁ γοῦν Νέστωρ [11]] Ap. Mon. Ἔνδοξον τὸ παραδειγμα.

403, A. Τὸ ἅρμα] Schell. in marg. Ἤγουν ἐπὶ τὸν ἀγῶνα τῶν ἁρμάτων.

404, A. Ὅσα μὴ ἀπῆν] In m. Schell. Παρὰ τοσοῦτον ἐπὶ τοῦ χαλκοῦ ζεύγους ἵστατο, παρόσον τὸ ἡρεμεῖν αὐτοῖς οὐκ ἐνῆν, ὅπερ ἔνεστι ζεύγει τῷ χαλκῷ.

ib. Τάγε] Supra in Schell. Κατὰ τὰ ἴδια.

1) ζητοῦντες, sic ed., f. ζημιοῦντες, ut infra, vel ἐξαιτοῦντες. 2) τάλαντα ν', ed. μ., sed πεντήκοντα supra ad calcem Miltiadis talenta fuisse dicuntur, totidemque Miltiadem mulctatum refert Nepos. — 3) ἡττηθεὶς, ed. ἡτηθείς. — 4) Σφακελίσαντος, subl. Valken. — 5) φλεγμάναντος, ita ex Mon., ed. φλεγμήναντος, unde noli refingere φλεγμαίνοντος. De ipso σφακελισμῷ inedita nonnulla vulgavit Creuz. Melet. I, 118. — 6) Τοῖς ἅρμασι, subl. Valken. 7) Παρῴδησε τὴν παροιμίαν ἅρμασιν εἰπὼν leguntur item in Phot. Refert schol. ad Av. 808 ex Aeschylo sumta haec in proverbium abiisse, cf. Abresch. l. Ariet. p. 144. — 8) δὲ ex meo inserui ad orationem fulciendam. — 9) ἐπτερωμένην, f. ἐπτερωμένον, sc. τὸ βέλος, nil in schol. ad Av. l. l. — 10) ἄγνω, leg. ἔγνω vel ἀνέγνω. — 11) ὁ γοῦν Νέστωρ, haec una cum schol. praecedentibus in Mon. erant addita.

Digitized by Google

Ἐπεὶ δ' ὅτε χιλὸς] Sch. ed. Ἐπειδὴ Ἀθηναίους ἵπποις παρείκασε, διὰ τοῦτο καὶ χιλὸς εἶπε· χιλὸς γὰρ κυρίως ἡ τῶν ἵππων τροφή. 404, B.

Πονήρως] Phot. Ἀντὶ τοῦ ἀτυχῶς. ib.

Τοῦ Περικλέους] Schell. marg. Ἡ τῆς αἰτίας ἄφεσις. 405, B.

Καὶ πρός γε] Ibid. Καὶ γὰρ φαίνονται ἐν τῇ τελευτῇ τετιμηκότες αὐτόν. ib.

Παρεγράψατο [1]] Bar. 7. συνεκρύψατο, in m. διεγράψατο. 405, C.

Τὸ μὲν γὰρ ἡμέρας] Schol. ed. Τὸ ἡμέρας εἶπε συγκρίνων τὸν τῆς συμφορᾶς καιρὸν πρὸς πάντα τὸν τῆς τύχης χρόνον.

Λαχόντας] Sch. ed. Τὸ λαχόντας πρὸς τὸ γραφὴν αὐτοῦ σύναπτε. Supra in Schell. Δικασίας. Phot. Τοῦτο πρὸς τὸ γρ. αὐτ. σύναπτε. ib.

Καταγνῶναι] Supra in Sch. καταψηφίζεσθαι. 406, A.

Ἔθεντο] Phot. Ἐψηφίσαντο. 406, C.

Τοὺς πολλοὺς ὡς ἔοικε] Sch. ed. Τὸ πολλοὺς νόει, ἐπειδὴ, ὡς ἔφη, οὐ πάντες Ἀθηναῖοι κατέγνωσαν αὐτοῦ, ἀλλὰ ib.

Ἐν συνοικίᾳ] Paris. A. et D. [1] consentiunt cum ed. que ad *ξένων οἰκουμένην, ὡς Αἰσχίνης συνοικίαν εἶπεν, θα πολλοὶ διελόμενοι μένουσι* (vid. Ap.)· *φησὶ τοίνυν, ι ὥσπερ ἐν μεγάλῃ κ. τ. λ.* (vid. ed.) — *ἀπὸ τοῦ οἰκή- ιτος τούτου εἰς κ. τ. λ.* 178, B.

Καὶ μόνη πόλεων] Paris. A. *Τοῦτό φησιν, ἐπεὶ καὶ ρκάδες αὐτόχθονες· ζητειτέον δὲ, πῶς ἄνω εἰπὼν, ὅτι ρώτη αὕτη ἄνθρωπον ἤνεγκεν, ἐνταῦθα λέγει, ὅτι Ἀρκά- ες αὐτόχθονες; φαμὲν, ὅτι μὲν Ἀρκάδας εἶναι αὐτόχθονας υγχωρεῖ, πρώτους ἄλλους ἄνωθεν Ἀθηναίων γενέσθαι οὐ υγχωρεῖ* (sic). 178, C.

Ἑστίαν ἀπύρητον] Paris. A. ab initio cum ed. facit, pergit verum post *πρῶτοι φανέντες καὶ πρῶτοι ἀπὸ τοῦ Γίγαντος ἐδέξαντο τὸ πῦρ· ἐνθέντοι* (sic) *καὶ ἔχειν αὐτὸ λέγονται, ὡς οὐ παραδεξάμενοι τῶν ἀνθρώπων, ἀλλὰ παρ' αὐτοῦ ἀμέσως τοῦ κρείττονος καὶ τοῖς ἀποίκοις αὐτῶν ἐκ τούτου παρέχοντες. Τὸ δὲ πρυτανεῖον τόπον κ. τ. λ.* sequuntur jam, quae edidit Jebbius, quorum in clausula Paris. A. exhibet *τῶν σίτων* pro *τοῦ σίτου.* ib.

Πολλῶν δ' ἐπιῤῥεόντων] Paris. A. et D. *Μετὰ τὴν γένεσιν τοῦ ἀνθρώπου ἀκολούθως συνάπτει τὸν περὶ τῆς τροφῆς τόπον, ἔδει γὰρ γεννηθέντα δεηθῆναι τροφῆς. Ἐπεὶ γοῦν θάτερον τοῦ ἑτέρου ἐστὶ δεόμενον, ἀκολούθως διέξεισι καὶ τὰ περὶ τῆς τροφῆς προπαρασκευαστικῶς λέγων, αἱροῦ- μαι τὸ τῆς φύσεως* (sic) *δεύτερον, ἢ γουν τὸ περὶ τῶν τροφῶν τὸ βεβαιοῦν τὸ πρῶτον ἡγοῦντο γενέσθαι πρώτερον ἐν τῇ Ἀττικῇ ἄνθρωπον· ἐπεὶ γὰρ πρότερον ἐκεὶ ἄν- θρωπος καὶ τροφαὶ δηλονότι ἐξ ὧν τρέφοιτο πρῶται παρ' Ἀθηναίοις.* In toto hoc schol. Codicum vestigia expressi. Lege: *ἤγουν τὸ π. τ. τροφῶν. Τὸ βεβαιοῦν κ. τ. λ.*, sed reliqua procul a sano absunt. ib.

1) Similia in B.

Digitized by Google

ib. Ἄλλης ἀντὶ ταύτης] Paris. A. Ὅτι καὶ ἡ χώρα ἀξία τῶν ἀνδρῶν καὶ οἱ ἄνδρες τῆς χώρας, καὶ ὅτι οἱ αὐτοὶ ᾤκησαν αὐτὴν ἀεί.

ib. Οἵ τε γὰρ] Paris. A. Προέταξεν τὴν φιλανθρωπίαν τῶν Ἀθηναίων, ἣν γὰρ καὶ ἀκόλουθον· διπλῆν δὲ ταύτην ἀποφαίνει· τὴν μὲν τῇ πραότητι τῶν τρόπων, τὴν δὲ ἐν τοῖς κινδύνοις γενομένην.

166, C. Τῷ παρασχόντι] Paris. A. Ἐν παντὶ χρόνῳ, ἐν ᾧ ἐδέησεν, ἐπιδείξασθαι τοὺς Ἀθηναίους τὴν ἑαυτῶν καλοκαγαθίαν ἤτοι φιλανθρωπίαν· τοῦτο γὰρ βούλεται αὐτῷ ἡ ἐπιείκεια σημαίνειν.

ib. Ἐν προβόλου] Paris. A. Ἀντὶ ἄλλης πόλεως ἢ στρατιᾶς [1] ἤ τινος τοιούτου ἀναπληροῦσα τὴν φυλακὴν ἢ ἐν παντὶ χρόνῳ κ. τ. λ. vide, quae proxime praecedunt. In altero marg. Ἐπεὶ δὲ ἐστὶν εὑρεῖν καὶ ἄνευ ἔργων φιλανθρωπίαν, ἐξηγεῖται καὶ οὕτωσὶ τὸ πρᾶον τῶν τρόπων, ὑποτιθέμενος ἀντὶ τούτου τὴν μέχρι λόγων φιλανθρωπίαν· διττὴ δὲ ἡ δι' ἔργων φιλανθρωπία, ἡ μὲν γὰρ πρὸς τὰς ἐπιτυχίας ἐπιτηδεία, ἡ δὲ πρὸς τὰς ἐπικουρίας τῶν ἀτυχησάντων ἁρμοδία.

167, A. Πρώτη] Paris. A. Καὶ τοῦτο ἐγκώμιον τῆς πόλεως· πρώτη δὲ κ. τ. λ. vide ed.

167, B. Νοτιωτέρα] Paris. D. ut Ap. Mon. et παρὰ pro γάρ. Sed Paris. A. consentit cum ed., nisi quod οὐκ ἔστιν αὐτόπου (sic) — ἀντέπιπτε γὰρ — ἐπάγει pro ἐπείγε — Θουκυδίδῃ — ἔνθα λέγει, χειμὼν ἦν νοτιώτερον (sic). Καὶ Ὅμηρος κ. τ. λ. cf. Ap. Monac.

ib. Πρώτη μὲν] Paris. A. Ἀντὶ τοῦ τῶν ἄλλων προκεκλιμένη cf. ed. — in clausula προτείνου ὑπέφηνεν.

ib. Παντοδαπούς] Paris. A. [2] Τινὲς ὅρμον καὶ λιμένα τὸν αὐτὸν ἐκ παραλλήλων τιθέασιν, ἄλλοι δὲ ὅρμον τὸν ᾠκοδομηθέντα εἰς λιμένα, μὴ ὄντα πρότερον, λέγουσι, λιμένα δέ φασι τὸν αὐτοφυῆ· ἕτεροι δὲ οὐδὲ τοῦτο, ἀλλ' ὅρμον [3] μὲν, ἔνθα τὸ πλοῖον μέχρι καὶ τῆς χέρσου προσ-

1) Cod. στρατίας. — 2) Ead. ferme in D. — 3) Cod. ὅμον.

Digitized by Google

οκέλλει, λιμένα δὲ, ἔνθα μετέωρον φαίνεται ἐπὶ τῶν ὑδάτων· καλῶς δὲ ποιεῖν τὴν Ἀττικὴν ἐξ ἑαυτῆς καὶ τῆς θαλάττης τοὺς ὅρμους καὶ τοὺς λιμένας ἔφησεν, οὔτε γὰρ μόνη θαλάττη οὔτε μὲν χέρσος μόνη κατασκευάζει τοὺς τοιούτους, ἀλλ' ἑτέρα συνελθοῦσα τῇ λοιπῇ καὶ οὐ παντότε, ἀλλ' ὅπου γε ὁ τόπος πρὸς τὰ τοιαῦτα ἐπιτηδείως ἔχει.

Οὐ πλέον διαλείποντας] Paris. A. Γραμμικόν[1] ἐστι τὸ σχῆμα· ὃ[2] δὲ λέγει, τοιοῦτόν ἐστι, οὐκ ἀπέχουσιν κ. τ. λ. vid ed., pergit Paris. A. post διεσήτκασιν· τὸ πυκνὸν γὰρ καὶ συνεχὲς βουλόμενος δηλῶσαι τοῦτο εἶπεν· πορθμὸς λέγεται ἡ ἀμφίγειος θάλασσα, ὥσπερ καὶ ἰσθμὸς ἡ ἀμφιθαλάσσιος γῆ. 167, C.

Ὥσπερ τῆς θαλάττης ἐξεπίτηδες ἀνείσης] Paris. A. Ἀντὶ.... τῆς πόλεως, ἔνθα ἐστὶν ἡ θάλασσα τὰς γείτονας κυκλοτ.... ἐθέλει δὲ δεῖξαι τὴν Ἀττικὴν εἰκόνα τῆς οἰκουμένης ὧν τῷ σχήματι ἔχουσαν, ὡς δηλοῖ προϊών. 163, A.

Ὅπερ τοῖς βασιλείοις] Paris. A. Ἀντὶ τοῦ τάξιν ἐπέχουσιν αἱ νῆσοι πρὸς τὴν Ἀττικὴν, ἣν καὶ τὰ προπύλαια τῶν βασιλείων πρὸς τὰ βασίλεια. Τεχνικῶς δὲ τὸ μεῖζον ἀποφέρουσαι (sic) κέρδος· τὸ φέρουσαι ἐνταῦθα ἀντὶ τοῦ λαμβάνουσαι, μεῖζον κέρδος ἐκ τοῦ προσοικεῖν ἢ ὅσον αὐταὶ[3] παρέχουσιν. ib.

Σελήνην] Paris. A. ut in ed sine variet. ib.

Ἐπὶ τῶν Ἑλληνικῶν Paris. A.[4] ut in ed., nisi quod διὰ τοῦτο pro διὰ τούτου, Λακεδαίμονες pro Λακεδαιμόνιοι, τινὲς δὲ τὸ φερ. et τῷ προσοικεῖν περὶ πλείονας παρέχουσι φόρους. ib.

Ἐπιμαρτύραιτο] Paris. A. Πλὴν ὅσον αὐτούς τις ἐπεμαρτύρετο, ὡς μὴ δυνάμενος λόγῳ δεῖξαι τὸ τερπνὸν τοὺς θεασαμένους μάρτυρας ἄγοι τῆς ἡδονῆς. 168, B.

Προκαθαίρεται] Paris. A. Καθαρὰ λύπης γίνεται. 168, D.

Τὸ φῶς] Paris. A. Ὥσπερ ἕτερον ἥλιον ὑπογράφει τῶν Ἀθηνῶν τὸ φῶς, ὅτι καὶ ὑψηλοτέρα ἐστὶν ἡ πόλις. ib.

1) Lege γραμμικὸν in editis, non γραμματικὸν, quod propere mihi scribenti excedere passus sum. — 2) Cod. ἃ δὲ λ. — 3) Cod. αὗται. — 4) Similia brevius leguntur in B.

Digitized by Google

ib. Ἀφαιρούσης] Paris. A. uti ed. sine variet.

ib. Ὀνείρατος εὐφροσύνη] Paris. A. et D. Τὸ σφόδρα τερπνὸν δηλοῖ, πολλὴ γὰρ ἐν τοῖς ὀνείροις προσγίνεται ἡμῖν δοκοῦσιν ἐν τούτοις κεκτῆσθαι πλεῖστα κτημάτων, ἅπερ μεθ' ἡμέραν οὐκ εἰσί, πλὴν οὐ πρὸς ἀνυπόστατον εὐφροσύνην τὴν τῆς εὐφροσύνης τοῦτο ποιεῖ, ἀκολούθως δὲ καὶ τὸ χορείαν ἐξελίσσειν [1] ἐπήνεγκεν.

169, B. Τοῖς δ' ὁρωμένοις] Paris. A. et D. ut ed., quibus adduntur: διὸ καὶ Μένανδρος κ. τ. λ. vid. Apogr. Mon.

169, C. Λυσαμένη] Paris. A. post edita addit: εἰ μὴ γὰρ ἀπεζώσθη, οὐκ ἂν ὁ τόπος ζωστὴρ ὠνομάσθη, et paullo supra cum Leid. habet τούτων, pro προσγινομένης — προσγινομένου.

ib. Προνοίας] Paris. A. pro ἡ Ἀθ., ut est in ed., habet Ἀθ., pro προνοησαμένη — βουλομένη. Paris. B. cum bomb. consentit, nisi quod ἡ Λητὼ ἐπέβη τῆς νήσου.

ib. Ἀπ' ἄκρας] Paris. A. ut ed., hac variet. πλησίον εἰσὶ τῆς Ἀττικῆς τοῦτο τέθεικε.

ib. Εἰς Δῆλον καταίρει] Paris. B. Λέγουσι δὲ, ὅτι ἡ Δῆλος ἐν βυθῷ τῆς θαλάττης οὖσα ὑπὸ Διὸς ἀναδοθεῖσα διὰ τὴν [2] Λητὼ ἐπάγη, ἵνα ἐκεῖ τέξῃ· ἔτεκε δὲ τὴν Ἄρτεμιν κ. τ. λ. vide bomb.

169, D. Τὸν πατρῷον Ἀπ.] Paris. A. et D. Πατρῷον [3] ἐκάλουν Ἀθηναῖοι τὸν Ἀπόλλω, ὅτι ἠράσθη Κρεούσης τῆς Ἐρεχθέως θυγατρὸς καὶ τέτοκε τὸν Ἴωνα, ἀφ οὗ καὶ Ἴωνες οἱ Ἀθηναῖοι. Ἐμφαίνει δὲ, ὅτι διὰ τοῦτο ἐλέχθη Ἀπόλλων, ἵνα πρῶτος γένηται θεός· οἱ ἄλλοι φασὶν, ὅτι πρῶτοι τῶν ἀλλων ἁπάντων ἀνθρώπων εἶδον τὸν ἥλιον, ὡς αὐτόχθονες ὄντες, πατρῷον οὖν ἑαυτοῖς ἡγοῦντο τὸν Ἀπόλλω, ὅ ἐστι τὸν ἥλιον.

ib. Ἧτ' ἀπὸ τῆς Ἀσίας] Paris. A. Τὴν ἐπὶ Λαρείου φησὶ, διὰ τοῦτο καὶ πρώτη λέγει (cf. ed. ad Πρώτη).

170, A. Ἀχθεῖσα] Paris. A. Ἐμψύχως εἶπεν, αὐτοῦ τοῦ τόπου

1) A. χωρίον ἐξελίσσειν. — 2) Cod. τὸ Λ. — 3) A. leg. πρῶτον. — 3) Cod. ἡ.

Digitized by Google

ἐλκύσαντος αὐτοὺς εἰς ἑαυτὸν ἵνα δίκην δοίεν· ἦν[1] δὲ στενὸς ὁ ἐν Σαλαμῖνι τόπος.

Πέφευγε] Paris. A. *Πάλιν ἐμψύχως τὸ πέφευγε· ἑτέραν δὲ Ἑλλάδα τὴν Ἰωνίαν λέγει.* 170, D.

Παράδειγμα] Paris. A.[2] *Αἱ γὰρ ἄλλαι διάλεκτοι εἰσιν ἀχώριτοι· παράδειγμα δὲ πάσης Ἑλλάδος τὴν Ἀττικὴν λέγει διάλεκτον, ἐπειδὴ ἐν αὐτῇ κ. τ. λ.* vide ed. Pergit Cod. A. *Αἱ ἄλλαι, ὡς ἐστιν ἐκ τῶν γραμματικῶν βιβλίων, καὶ ἅμα δείκνυσιν ὁ ῥήτωρ, ὅτι καὶ πρεσβυτέρα αὕτη ἡ διάλεκτος τῶν ἁπασῶν, εἴ γε εἰς παράδειγμα ταῖς ἄλλαις καθέστηκε, τὸ γὰρ παράδειγμα πρεσβύτερον εἶναι δοκεῖ τοῦ, οὗ ἐστι παράδειγμα.* 171, B.

Τρίτη δὲ] Paris. A. consent. cum ed., pro *λέγει τὸ ἔσχατον* legitur *λέγω τὸ ὕστατον.* ib.

Ἄκρου] Paris. A. *Ἄκρου λέγει διὰ τὸ ὕψος, μέσον δέ ἐστι διὰ τὸ ἐπὶ μέσου κεῖσθαι· τὸ δὲ διὰ πάντων κάλλος ἀντὶ τοῦ τὸ δὲ διὰ πάντων κεκαλλωπισμένον.* 171, C.

Τελευταῖος ὅρος] Paris. A. et D. *Ἐπειδὴ αἱ ἀσπίδες κύκλους ἔχουσι πέντε, ὡς αὐτὸς δείκνυσιν, οὕτως ἔχουσαν καὶ τὴν Ἀττικὴν βούλεται δεῖξαι καὶ πρῶτον μὲν κύκλον τὴν οἰκουμένην φησὶ, δεύτερον δὲ τὴν Ἑλλάδα, τρίτην τὴν Ἀττικήν, τετάρτην τὴν πόλιν, πέμπτην τὴν ἀκρόπολιν, ὃν καὶ κανόνα λέγει τῆς εὐκρασίας· τοῦτο γὰρ βούλεται ἡμῖν δηλῶσαι διὰ τοῦ λέγειν ὁ τελευταῖος ὅρος τῆς περὶ γῆν εὐκαιρίας.* ib.

Ὥσπερ γὰρ ἐπ' ἀσπίδος] Paris. A. *Κυκλοτέρης γὰρ ἡ ἀσπίς· κύκλους δὲ λέγει τὰ Ἑλληνικὰ γένη, ἐπειδήπερ ἑκάστη πόλις κυκλοῦται ὑπὸ τῶν ἰδίων τειχῶν, ὥσπερ καὶ αὕτη ὑπὸ τῶν Ἑλληνικῶν γενῶν.* ib.

Ἐπιστρεπτέον] Paris. A. ab ed. in eo differt, quod *εἰπεῖν* om., et inde ab *λέγων* quae sequuntur, sic fere habent: *τὴν θέσιν ἐμνήσθη τῆς ἀκροπόλεως*, tum pro *καὶ περὶ τῶν — καὶ τοὺς τῶν*, pro *ὅπερ ὥσπερ.* 172, A.

Παρελθεῖν] Paris. A. *Κατὰ κοινὸν τὸ φεύγοντες.* 172, B.

1) Cod. ἡ. — 2) Similia in B, uberiora in D.

Digitized by Google

ib. Ὥστε εἴ τῳ] Paris. A. Οὕτω τὸ ἔξῆς, εἴθε ὥσπερ σύμμετρός ἐστιν ὁ ἀὴρ καὶ ὁ καιρὸς τῆς πόλεως, οὕτω· σύμμετρος ἦν καὶ ὁ ἐγκωμιαστικὸς λόγος.

ib. Δυσχερῶν] Paris. A. et D. Δυσχερῆ τὰ λυπηρά φησι, δῆλον ὅτι ἑκάστη χώρα ἔχει τὰ [1] τῶν τεττάρων ἴδιον, ἡ μὲν θερμότητα, ἡ δὲ κρύος, ἄλλη ξήραν, ἑτέρα δὲ ὑγρότητα, τούτων δὲ τὰ ὑπερβάλλοντα ἀεὶ λυπηρά· τούτων δὲ τῶν ἀκροτήτων φησὶν ἀπέχειν τὴν Ἀττικήν, τῆς δὲ ἀρίστης συμμετρίας καὶ πλεῖστον μετέχειν, δι' ἃ καὶ εὐκραῆ εἰς ἄγαν αὐτὴν δείκνυσι καὶ τῆς εὐκρασίας [2] τεκμήρια εἶναι λέγει τὰ ὡραῖα ἢ τοὺς καρπούς, τῷ γὰρ ἐν τῇ καλλίστῃ ὥρᾳ τοῦ ἔτους γίνεσθαι οὕτω ὀνομάζονται· οὐ μόνον φησὶ γνωρίσαι κ. τ. λ. sequuntur ed., quibus haec adduntur: τοῦτο γὰρ βούλεται δηλοῦν διὰ τοῦ παρὰ τὴν ἐπωνυμίαν νικῶσι· οἱ οὖν ταῦτα καὶ μετὰ τὴν ὥραν εὑρισκομένην [3] τὴν ἐπωνυμίαν ἤτοι τὴν τοῦ ἔτους ὥραν.

172, C. Ἀλλὰ καὶ τῇ ἀποστάσει] Paris. A. et D. Ἀποστάσει λέγει τὸν χωρισμόν, ὅταν γὰρ θελήσωμεν ἰδεῖν τι διεστηκότες αὐτοὺς (sic) ὡς ἐπὶ γραφῆς [4] ἀκριβῶς θεώμεθα· ἐὰν οὖν, φησι, χωρισθῆς τῆς πόλεως, γνώσῃ τὸ διάφορον ψύχους ἢ θερμῆς, τῇ γὰρ ἐπαναχωρήσει τινὸς πράγματος μανθάνομεν τὴν φύσιν τοῦ πράγματος, ἐν ᾧ τέως ἦμεν, ὁποία [5] τίς ἐστιν· τὴν δὲ στάθμην εἶπε διὰ τὴν ῥοπήν.

172, D. Δεῦρο ἢ ἐκεῖσε] Paris. A. Πρὸς νότον ἢ πρὸς βορρᾶν ἢ ἄλλο τι τῆς οἰκουμένης.

173, A. Ὥστε καὶ τῶν ἄλλων] Paris. A. et D. consentiunt cum Leid. et Ap. M. Uterque Paris. ὠφέληται· ὥσπερ γὰρ καὶ, — ὁ καί τινες κ. τ. λ.

173, B. Ἄνευ τῆς προσθήκης] Paris. A. [6] Ἄνευ τῆς προσθήκης ἢ τῆς προθέσεως· τὸ [7] γὰρ εἰπεῖν πρὸς ἄρκτον σημαίνει τὸ πᾶν τῆς χώρας εἶναι ἀρκτῷον, ἡ γὰρ πρόθεσις ἐπίτασιν δηλοῖ.

ib. Ὅσον τὸ (Paris. A. τῷ) ἄνω καὶ κάτω] Paris. A. Διὰ τούτων δείκνυσιν αὐτὴν τὸ μέσον ἐπέχειν τοῦ παντὸς, αἱ

1) f. τι. — 2) A. ἀκρασίας. — 3) A. εὑρησκομένην. — 4) A. ὡς ἐπιγραφῆς. — 5) Cod. A. ἐπία. — 6) Similia in B. — 7) f. τῷ γάρ.

Digitized by Google

γὰρ ἐξ ἴσου ἀποτάσεις τὸ μέσον ἀφορίζουσι· τμήματα δὲ λέγει τὰς δ' ὥρας.

Ὑπ' αὐτὴν] Paris. A. ut ed., pro ἐκάλεσε — ἐκόλασε, τίμιον — τὸ τίμιον, ὅτι εἰ ἦν, ἡ ἀκρ. τ. τ. ἀνάκειται — αἱ ἀκροπόλεις ἀνάκεινται. 173, C.

Λῆξιν] Paris. A. ut ed., sed ἔσχεν pro ἔχει. ib.

Ἔργων] Paris. A. ut ed., nisi quod ἔργων λέγει τῆς συνέσεως Ἀθηνᾶς γὰρ ἔργον ἡ φρόνησις· θρεμμάτων δὲ τῶν ἀνθρώπων διὰ τὸν Ἐριχθόνιον. ib.

Πεδίων δὲ κάλλη] Paris. A. et D. Τοὺς ἀγροὺς φησιν, ὡς ἐν ἐγκωμίῳ γὰρ τὸ εὔφορον οὐκ ἔχων παριστᾶν, λεπτόγεων γὰρ αὐτὴν πάντες φασὶ, τὰ κάλλη καὶ τὰς χάριτας παρήγαγεν· ἐπειδὴ δὲ ἐντός εἰσι τῆς πόλεως πεδία, διὰ τοῦτο ἐπανορθούμενός φησι, μᾶλλον δὲ ἀπὸ τῆς ἀκροπόλεως. 174, A.

Τῶν δὲ ἐφ' ἑκάστῃ] Paris. A. ut Leid., praeterquam quod ἀργυρῖτις. ib.

Ἐν τοῖς πρώτοις] Paris. A. [1] Πρώτη γὰρ αὕτη τὸ δωρηθὲν αὐτῇ παρὰ τῶν θεῶν ἐνταπέδωκε, ταῖς λατομίαις τοῦ ὄρους εἰς ναῶν καὶ ἀγαλμάτων ἀποχρησαμένη κατασκευάς· καὶ πρώτους φησὶν Ἀθηναίους τούτων κατάρξαι ἀνθρώπους. 174, C.

Ἐπιτηδειοτάτη] Paris. A. ut Leid., quocum conspirat in λευκόν. ib.

Τὸ μήτε ὑπτίαν εἶναι] Paris. A. [2] Ὕπτιον γὰρ ἀναπεπταμένον φησι· βούλεται δὲ αὐτὴν πάλιν δεῖξαι σώζουσαν κ. τ. λ. vide ed. ad Πάσης, ubi pro τελείας noster τελέας. 175, A.

Τελέας] Paris. A. Ἀντὶ τοῦ τελείας, οὕτω γὰρ οἱ Ἀττικοί φασιν. ib.

Ἄσπορος νικοῴη] Paris. A. et D. Ἄσπορον λέγει τὴν ἀνήροτόν τε καὶ ὄρειον· κρείττων γοῦν αὕτη τῆς παῤ ἑτέροις ἀροσίμου, ἐπεὶ ἀργυρῖτις. 175, C.

Ἐλευθερίας] Paris. A. [3] Ἐλεύθερον ἐκάλουν οἱ παλαιοὶ ib.

1) Similia leguntur in B. — 2) Uberiora servantur in B. — 3) Similia in B.

Digitized by Google

τὸν μεγαλύψυχον, τὸν δὲ φειδωλὸν ἀνελεύθερον· ἐπεὶ καὶ Ἀθηναῖοι τὰ πολλὰ φιλάνθρωποι καὶ μεγαλόψυχοι καὶ πρὸς εὐεργεσίας ἕτοιμοι, διὰ τοῦτο εἶπεν, αὐτοὺς ἐχρῆν τῆς τοιᾶσδε εὐφόρου τυγχεῖν, ἀλλὰ καὶ τῶν μεταλλικῶν φλεβῶν οὐκ ἀμοίρου.

ib. Ἄλυπα ῥεύματα (Paris. A. in marg. ἀλύπῳ ῥεύματι)] Paris. A. Ἀντὶ τοῦ ἀβλαβῆ καὶ μὴ λυποῦντα ἀκαίρως φορεῖν χειμῶνός τε παρακειμένας χώρας, ὥσπερ τοὺς χειμάῤῥους ἀλλαχοῦ ἢ καὶ τοὺς ποταμοὺς τῇ τῶν ὑετίων ὑδάτων καταφορᾷ ἐλλιμεναζομένους καὶ ἐξοιδοῦντας καὶ τοῦ οἰκείου ὑπερχομένους ἐδάφους καὶ οὐχὶ τῳ τυχόντι τῶν παρακειμένων χωρίων ἀπεργαζομένους φορὰν ἤ τινα βλαβήν.

ib. Ὁ πάντων ἡμερώτατος] Paris. A. Τὸν σῖτον φασί τινες λέγειν αὐτὸν, οἷον τὸν ἄνθρωπον, ἐπεὶ καὶ ὥσπερ βοτάνην λέγουσιν ἄνω δοθῆναι αὐτὸν τῆς Ἀττικῆς . . . . . καὶ αὐτόχθονες Ἀθηναῖοι.

175, D. Ἀλλὰ ταῦτα μέν ἐστι] Paris. A. Ἐπειδὴ μέλλει ἐπὶ τὸν ἄνθρωπον μεταβαίνειν καρπῶν μνημονεύσας, οὕτω πρὸς σύγκρισιν αὐτοῦ αὐτοχθονος εἶπε (sic). Τραγήματα δὲ τοὺς ἄλλους καρποὺς ὀνόμαζει· παροιμία[3] δὲ ἐκράτησεν αὕτη ἐπὶ τῶν τὰ μικρὰ καὶ εὐτελῆ ἐγκωμιαζόντων.

176, A. Ἐλέφαντες] Paris. A. ad verbum cum Leid. consentit.

ib. Ἃ τοὺς παῖδας] Paris. A.[4] ut in Ap. Mon., a quo in his discrepat: Ap. M. ἐπιβοῶσι Μορμὼ — ἐπιβοῶνται τὴν Μορμὼ, φασὶ δὲ νῦν τὴν — φασὶ δὲ οὕτω τὴν, Ὀνοσκελίδα — Ὀνοσκελῆ, ταύτῃ Ζεὺς ἐμίγη — ταύτῃ ἐμίγει Ζ., λύπης αὐτὴ μὲν δυσμ. — λύπης δυσμ., παιδία αὕτη — αὕτη παιδία. Eadem leguntur in Paris. B., in quo haec addita sunt: ἣν νῦν φαμὲν ἰδιωτικῶς Στρίγλαν.

176, B. Οὐ κατὰ τοὺς] Paris. A. Ἱστορία τούτους ἐπαινεῖ, καὶ ὅτι χρυσὸν ὀρύσσουσι, καὶ ὅτι κατ' ἀλώπεκα τὸ μέγεθος τυγχάνουσιν, ὡς Ἡρόδοτος ἐν τῇ τρίτῃ φησίν· οὐ κατὰ

1) f. γῆς. — 2) f. τῷ ἀκαίρως φ. — 3) Cod. παροικίας. — 4) Similia in B.

Digitized by Google

τούτους οὖν φησὶν ἀξιῶ παγῶ κ. τ. λ. vide ed., ubi A. in fine δηλονότι.

Οὐ γὰρ πλάνην] Paris. A. [1] *Αἰνίττεται τοὺς Ἡρακλείδας, τοὺς προγόνους τῶν Λακεδαιμονίων· πλανώμενοι γὰρ* κ. τ. λ. vid. ed. Addit Paris. A. *Σκότος δὲ λέγει τὴν ἄγνοιαν τοῦ πῶς δεῖ οἰκίσαι.* [2] Paris. B. *Ἴσως εἰς Ἡρακλείδας αἰνίττεται, τούς προγόνους Λακεδαιμονίων· πλανώμενοι γὰρ μόλις εὗρον ὁδὸν, πῶς εἰσέλθωσιν εἰς Πελοπόννησον, ἢ δὲ ἄλλους τινὰς τοῦτο λέγει· καὶ γὰρ καὶ Θουκυδίδης ἐν τοῖς τῆς συγγραφῆς προοιμίοις φησὶν ἄλλους ὑπ' ἄλλων ἀναστάτους γίνεσθαι.* 176, C.

Δυοῖν δυστυχίαιν] Paris. A. et D. [3] *Τὸ ἐκβλ.* vide ed. — *ἐκβαλεῖν· καὶ Θουκυδίδης, βιαζόμενοι* κ. τ. λ. cf. Ap. 176, D.

Βιασάμενοι] Paris. A. *Ὥσπερ ἀπὸ* κ. τ. λ. vid. ed. — *ἀλλ' οἱ μὲν Χῖοι, ἕτεροι δὲ Μιλήσιοι,* [4] *ἄλλοι δὲ Ἐδέσιοι* (sic)· *μετεβάλλοντο γὰρ τῶν τόπων τὴν ἐπωνυμίαν.* ib.

Ὥσπερ τὸ ἐκ τῶν πηγῶν] Paris. A. et D. *Σκοπῶν ᾧ ῥήτωρ ἄγαν ποιῶν* (sic) *τεχνικῶς τὸν μῦθον διὰ τὸ αἰσχρὸν εἶναι τὸν ὅπως ἐκ τῆς τοῦ Ἡφαίστου ἀποσπερματίσεως ληροῦται γενέσθαι τοὺς Ἀθηναίους· διὸ καὶ λέγει αὐτὸ γένος τῶν ἀνθρώπων.* [5] *ἐξ αὐτοῦ λαβεῖν τὴν ἀρχήν.* 177, A.

Καθάπερ θέαν καταλαβόντες] Paris. A. *Θέαν τὴν κάθεδραν λέγει· μισθοῦ γὰρ ἐκαθέζοντο παρ' Ἀθηναίοις οἱ ξένοι, ὡς ἔγνωμεν ἐν τῷ περὶ τοῦ στεφάνου, ἐντεῦθεν λέγει· ἀλλ' ἐν τοῖν δυοῖν ὀβολοῖν ἐθεώρουν ἄν.* Paris. B. *Ἐν ταῖς Ἀθηναίων ἑορταῖς εἴ τις προὔλαβεν ἕτερον, ἐκάθητο ἐν τῷ θεάτρῳ ἀπὸ λίθων κατεσκευασμένῳ· λέγει οὖν θέαν τὸν τόπον, ἀφ' οὗ τις καθήμενος ἐθεᾶτο τὰ γιγνόμενα.* ib.

Μᾶλλον δὲ αὐτοὶ πρῶτοι] Paris. A. et D. [6] *Τοὺς δευτέρους ἔδειξε μείζους τῶν πρώτων, ὅτι οἱ μὲν πρῶτοι* 177, B.

1) Uberius exponuntur in D. — 2) Cod. *οἰκεῖσαι.* — 3) Similia in B., omisso Thucydidis testimonio. — 4) Cod. *Μιλήδιοι.* 5) *τῶν Ἀθηναίων.* — 6 Praefixum est huic scholio *ἀῤῥε*, quod sacpiuscule super scholia pictum in Cod. D. conspicitur.

Digitized by Google

βιασάμενοι καὶ ἴσως ἀνάξιοι ὄντες τὴν πολιτείαν κατέσχον, οἱ δὲ μὴ βιασάμενοι, ἀλλ' ἄξιοι κριθέντες ταύτης ἐδημοποιήθησαν, δι' ἃ καὶ μειζόνως ἂν οἱ πρῶτοι κατακριθεῖεν τῶν δευτέρων. Παίζεις, εἶπον' ἂν ἐγὼ, Σώπατρε,[1] οἱ γὰρ πρῶτοι κατασχόντες κακοί· σχολῇ γ' ἂν οἱ ἀπ' ἐκείνων λαβόντες ἀμείνους, εἰ μὴ ὅτι καὶ χείρους, τῷ τε συναδικεῖν αἱρήσασθαι τοῖς προηδικηκόσι καὶ τῷ ἐξὸν ἑτέροις προσγενέσθαι, αὐτοὶ δὲ τοῖς ἀδίκοις προσέδραμον καὶ τὴν αὐτὴν αὐτοῖς ἠσπάσαντο πολιτείαν· ἀνάγκη γὰρ κακῶν σπορέων πονηρὰν καὶ τὴν ἐπικαρπίαν γενέσθαι.

177, C. Τῷ φανέντι] Paris. A. et D. Πολλάκις ἐν ἀνάγκῃ ἀμυντηρίων ἀποροῦντες τῷ εὑρεθέντι χρώμεθα λίθῳ ἢ ξύλῳ.

177, D. Βεβαιοῦσι τὴν ἐπωνυμίαν] Paris. A. Τὸ πρῶτον Ἀπία ἐκαλεῖτο ἡ Πελοπόννησος.

178, A. Ἐξούλης] Paris. A. Ἐξούλη ἐστὶν ὄνομα δίκης κατὰ τῶν ἐκβαλλόντων τοὺς πολεμίους ἐπὶ νομῆς μόνης τῶν δημοσίων καὶ κατὰ τῶν μὴ ἀποδιδόντων τὰς καταδίκας· μητρὶ δὲ παραβάλλει τῶν Ἀθηναίων τὴν γῆν· τὸ δὲ οὐ μᾶλλόν γε ἢ τῆς μητρός τινι ἀντὶ τοῦ ὥσπερ οὐδὲ δικάζεταί τις οἱονεὶ περὶ ἐξελάσεως.

ib. Καὶ τοίνυν μόνοις τοῖς τῇδε γεν.] Paris. A. et D. Τοῦτό φησιν, ὅτι σύμβολον Ἀθηναῖοι τῆς ἀρχαιολογίας ἔσωζον τὸ πῦρ καὶ τοῖς αὐτῶν ἀποίκοις ἐδίδοσαν ἐξ αὐτοῦ, οὐ παρ' ἄλλων λαβόντες. Ἀκίνητον δὲ ἑστίαν ὥσπερ τὴν κοινὴν εἶπε καὶ πρὸς τοῦτο ἀπέδωκε τὴν λέξιν, ἔχει γὰρ καὶ τὸ ἴδιον, ἔχει δὲ καὶ τὸ βέβαιον τοῦτο τὸ ἀκίνητον· λέγει δὲ, ὅτι τὸ πρυτανεῖον σύμβολόν ἐστι τῆς πόλεως, οὐδὲ γὰρ αἱ κῶμαι τοῦτο ἔχουσι· ἀκίνητον οὖν αὐτὸ ἔχουσιν Ἀθῆναι, οὐ παρ' ἄλλου λαβοῦσαι, τουτέστιν οὐ δεξαμέναι παρ' ἄλλης πόλεως· πῦρ δὲ ἦν ἄσβεστον καὶ ἀδιαλείπτως καιόμενον ἐν Ἀθήναις ἐν τῷ ἱερῷ τῆς Ἀθηνᾶς, καθ' ἱστορίαν τοιαύτην κ. τ. λ. vide Ap. Mon. Habet autem A. pro εἶτα διὰ τοῦτο μετ' ὀργῆς ἔχοντα — εἶτα δι' ὀργῆς ἔχοντα — εἶτα δι' ὀργῆς ἔχοντα, uterque et A. et

1) Rec. m. in D. Σώπατρος dedit.

Digitized by Google

D. expressus verbis νέμοντες αὐτῳ μετασχεῖν, A. in fine ταύτη ἐξιλ.

Ἐν συνοικίᾳ] Paris. A. et D. [1] consentiunt cum ed. usque ad ξένων οἰκουμένην, ὡς Αἰσχίνης συνοικίαν εἶπεν, ἔνθα πολλοὶ διελόμενοι μένουσι (vid. Ap.)· φησὶ τοίνυν, ὅτι ὥσπερ ἐν μεγάλῃ κ. τ. λ. (vid. ed.) — ἀπὸ τοῦ οἰκήματος τούτου εἰς κ. τ. λ. 178, B.

Καὶ μόνη πόλεων] Paris. A. Τοῦτό φησιν, ἐπεὶ καὶ Ἀρκάδες αὐτόχθονες· ζητειτέον δὲ, πῶς ἄνω εἰπὼν, ὅτι πρώτη αὕτη ἄνθρωπον ἤνεγκεν, ἐνταῦθα λέγει, ὅτι Ἀρκάδες αὐτόχθονες; φαμὲν, ὅτι μὲν Ἀρκάδας εἶναι αὐτόχθονας συγχωρεῖ, πρώτους ἄλλους ἄνωθεν Ἀθηναίων γενέσθαι οὐ συγχωρεῖ (sic). 178, C.

Ἑστίαν ἀκίνητον] Paris. A. ab initio cum ed. facit, pergit verum post πρῶτοι φανέντες καὶ πρῶτοι ἀπὸ τοῦ Γίγαντος ἐδέξαντο τὸ πῦρ· ἐνθέντοι (sic) καὶ ἔχειν αὐτὸ λέγονται, ὡς οὐ παραδεξάμενοι τῶν ἀνθρώπων, ἀλλὰ παρ' αὐτοῦ ἀμέσως τοῦ κρείττονος καὶ τοῖς ἀποίκοις αὐτῶν ἐκ τούτου παρέχοντες. Τὸ δὲ πρυτανεῖον τόπον κ. τ. λ. sequuntur jam, quae edidit Jebbius, quorum in clausula Paris. A. exhibet τῶν σίτων pro τοῦ σίτου. ib.

Πολλῶν δ' ἐπιῤῥεόντων] Paris. A. et D. Μετὰ τὴν γένεσιν τοῦ ἀνθρώπου ἀκολούθως συνάπτει τὸν περὶ τῆς τροφῆς τόπον, ἔδει γὰρ γεννηθέντα δεηθῆναι τροφῆς. Ἐπεὶ γοῦν θάτερον τοῦ ἑτέρου ἐστὶ δεόμενον, ἀκολούθως διέξεισι καὶ τὰ περὶ τῆς τροφῆς προπαρασκευαστικῶς λέγων, αἱροῦμαι τὸ τῆς φύσεως (sic) δεύτερον, ἢ γουν τὸ περὶ τῶν τροφῶν τὸ βεβαιοῦν τὸ πρῶτον ἤγουντο γενέσθαι πρώτερον ἐν τῇ Ἀττικῇ ἄνθρωπον· ἐπεὶ γὰρ πρότερον ἐκεῖ ἄνθρωπος καὶ τροφαὶ δηλονότι ἐξ ὧν τρέφοιτο πρῶται παρ' Ἀθηναίοις. In toto hoc schol. Codicum vestigia expressi. Lege: ἤγουν τὸ π. τ. τροφῶν. Τὸ βεβαιοῦν κ. τ. λ., sed reliqua procul a sano absunt. ib.

1) Similia in B.

Digitized by Google

179, A. Ἃ μητρὸς ἦν ἔργα] Paris. A. et D. Μητρὸς ἔργα τὸ μὴ μόνον γεννῆσαι, ἀλλὰ καὶ τροφὴν τῷ τόκῳ παρασχεῖν.

ib. Καὶ γίνεται δὴ πανήγυρις] Paris. A. Πανήγυριν καλεῖ τὸν ἀγῶνα ἱερὸν ἀντὶ τοῦ θεῖον (sic), ἐπειδὴ θεοὶ ἦσαν οἱ περὶ τῶν δωρεῶν τῆς πόλεως ἀμιλλώμενοι· καλῶς δὲ εἶπεν ὑπὲρ πάσης οἰκουμένης, παρὰ γὰρ Ἀθηναίων οἱ ἄλλοι τὰς δωρεὰς ἐδέξαντο καὶ μάλιστα τοῦ σίτου· ἢ καὶ τὴν τῶν θεῶν ἐκκλησίαν πανήγυριν καλεῖ.

179, B. Ὧν ἔμελλεν ἡ φορὰ] Paris. A. Τοῦτό φησιν, ἐπειδὴ ἐξ ἐρίων ὁ ἄνθρωπος ἔνδυμα ποιεῖ, ἐπέτειον δὲ λέγει, ἐπειδὴ καὶ κατ' ἐνιαυτὸν κείρεται.

179, C. Τὰς μὲν πυρὶ] Paris. A. Ὡς οἱ χαλκευτικὴ δι' Ἡφαίστου (sic).

179, A. Καὶ μὴν τοῦτό γε ἀμήχανον] Paris. A. et D. Τὸ σχῆμα ἀντὶ στροφῆ (sic, D. ἀντίστροφον), ὅπερ πιστοῦται τὴν ἀλήθειαν. ὅτ' ἐξ ἀμφοτέρων μερῶν συντρέχει.

ib. Καὶ μὴν τούς γε θεούς] Paris. A. et D. Ὁ νοῦς τοιοῦτος, δυοῖν ἕνεκα ἀνάγκη ἦν τοὺς θεοὺς ταῖς δωρεαῖς ταύτην πληρῶσαι, πρῶτον μὲν ὅτι τοὺς ἐν αὐτῇ φύντας πρώτους ὄντας πρώτους ἔδει καὶ δεηθῆναι, δεύτερον δὲ, ὅτι τοὺς πρώτους τεχθέντας ἔδει καὶ τῆς προσηκούσης ἀξιοῦσθαι τιμῆς.

180, B. Τοῦτο μὲν τῆς χρείας] Paris. A. Προσληπτέον τὸ ἕνεκεν ἔξωθεν, τὸ δὲ σχῆμα ἀριθμητικόν.

180, C. Κρύψαντες] Paris. A. B. et D. Παροιμία τοῦτο ἐπὶ τῶν φθονερῶν λεγομένη τὸ γῇ κρύψαν ἔχει (sic, forte γῇ κρύψαντ' ἔχειν, vel γῇ κρύψας ἔχεις, cf. Erasmi Adag. III, 4, p. 721.)

ib. Ἀλλὰ τοσοῦτον ἀπέσχον τοῦ φοβ.] Paris. A. et D. Ἀντιπίπτον λύει, ὡς τινος ἀντιλέγοντος, εἶτα οὐκ ἐφοβήθησαν, μὴ γένοιντο αὐτοῖς ἴσοι ἐν τούτῳ; φησὶν οὖν, ὅτι τῷ μεταδοῦναι τῶν ἄλλων καλλίους αὐτοὺς ἀπέδειξαν, ἃ μὲν γὰρ μὴ κατ' ἀρετὴν διαφέροντες φοβοῦνταί τινας εὖ ποιεῖν, ἵνα μή πως ἐκεῖνοι παραπλήσιοι τούτοις φανῶσι· οἱ δὲ ταῖς ἀρεταῖς ἐνειλλήμενοι (sic) τοσοῦτον εὖ ποιοῦσι τοὺς ἄλλους, ὅσων ἔκ τε τῶν ἐξίσου μετεχόντων αὐτοῖς τῶν ἀγαθῶν προέ-

Digitized by Google

χοντας δείκνυσθαι κατ' ἀρετὴν, τότε γὰρ τὸ διάφορον φαίνεται, ὅτε τῶν αὐτῶν εὐποροῦσιν ἑκάτεροι.

Οὐ μόνον τῶν] Paris. A. et D. *Τοῦτο βούλεται παρ-* 181, A.
ιστᾶν, ὅτι οὐδεμίαν φιλίαν ἔσχον πρὸς ἄλλους Ἡρακλῆς καὶ Θησεὺς, οἵαν πρὸς ἑαυτούς, οὐδὲ ἄλλοι πρὸς ἀλλήλους μεγάλην, οἵαν οὗτοι· αἰνίττεται δὲ εἰς Πάτροκλον καὶ Ἀχιλλέα, καὶ Ἁρμόδιον καὶ Ἀριστογείτονα. Τὸ δὲ ἑξῆς οὕτω, σημεῖον τοῦ τὸν Ἡρακλέα τὴν πόλιν ἐζηλωκέναι ἢ πρὸς Θησέα φιλία· κατακοινοῦ δὲ τὸ πάμπληθες ὑπερέσχεν. In altero marg. Cod. A. *Τὸ πάμπληθες ὑπερέχουσα κατακοινοῦ συντάξαις.*

Πέμπουσι δὴ θεία πομπῇ] Paris. A. *Ἡ Δημήτηρ* 181, B.
τὴν οἰκείαν θυγατέραν τὴν Περσεφόνην ἀπολέσασα ἀπήντησεν ἀπὸ Σικελίας ταύτην ζητοῦσα μέχρι καὶ τῆς Ἀττικῆς· ἐκεῖσε γοῦν ὑπεδέξατο αὐτὴν ὁ Τριπτόλεμος, ἡ δὲ τῆς ξενίας χάριν δίδωσιν αὐτῷ τὸν σῖτον· πομπὴν δὲ λέγει τὴν πέμψιν τὴν ἐπὶ διαδόσει τοῦ σίτου· καλῶς καθάπερ θεωρικοῦ, ἐπείπερ ἐπ' ἴσης καὶ πένησι καὶ πλουσίοις ὁ σῖτος ἐδίδοτο, καὶ πολίταις καὶ ξένοις· τρόφιμον δὲ τὸν Τριπτόλεμόν φησι, ὃς Κελεοῦ ἦν, οὗτος ὑπὸ Δήμητρος τραφείς. Σημειωτέον δὲ, ὅτι τρόφιμος οὐ μόνον δεσπότης, ὡς παρὰ Μενάνδρῳ λέγεται, ἀλλὰ καὶ ὑπό τινος τραφείς, ὡς ἐνταῦθα· δύο οὖν ἡ λέξις σημαίνει καὶ τὸν θρέψαντα καὶ τὸν τραφέντα. Cod. Paris. D., in cujus marg. est ἀρ. θ. *Ἰστέον, ὅτι οὐχ ἁπλῶς τρόφιμος ὁ δεσπότης λέγεται, ἀλλὰ τρόφιμον τὸν τοῦ δεσπότου υἱόν φασι οἱ προήκοντες ἡλικίᾳ τούτου δοῦλοι, οἱ, ὡς ἂν εἴποι τις, προδόκιμοι, τοῦτο γὰρ αἰχοῦντες οἱ γηραίτεροι τῶν δούλων τοὺς τῶν δεσποτῶν παῖδας καλοῦσι, οὓς ἔνιοι καὶ δεσποσύνους φασὶ, τοὺς ὡς ἂν νῦν ἡ γν (sic, f. κοινὴ) διάλεκτος, αὐθέ-το (sic) πώλους καλέσῃ.* Paris. B. c. bomb.

Τὸ ἅρμα πτερωτὸν] Paris. A. *Τὸ μυθικὸν ἡρμήνευσε·* 181, C.
φασὶ γὰρ δοῦναι Τριπτολέμῳ τὴν Δήμητραν πτερωτὸν,[1] *ἵνα ταχέως διδῷ τοῖς ἄλλοις ἀνθρώποις τὸν σῖτον. Φιλό-*

1) Cod. πτερῶτων.

Digitized by Google

χορος δὲ ἱστορεῖ, ναῦν εἶναι, ἐφ' ἧ ἐφέρετο Τριπτόλεμος· διὰ δὲ γὲ τὸ πλεῖν ἐξ οὐρίας ἐπλάσθη Τριπτόλεμον πτερωτῷ ἐποχεῖσθαι ἅρματι καὶ τὴν διάδοσιν ποιεῖσθαι.

ib. Πρόσαντες] Paris. B. Οὐ μόνον ἡ ἄρνησις ἐν ἀρχῇ τιθεμένη ἰσχὺν ἔχει κἂν τοῖς εἰσέπειτα, ἀλλὰ καὶ ὕστερον τιθεμένη ἰσχὺν ἔχει ἐν τῇ ἀρχῇ, ὥσπερ κἀνταῦθα· οὐ γὰρ εἶπε, καὶ οὐ πρόσαντες, οὐδ' ἄβατον ἦν αὐτῷ, ἀλλὰ καὶ πρόσαντες, οὐδ' ἄβατον ἦν αὐτῷ· φησὶ δὲ καὶ Πίνδαρος, (Pyth. VI, 47).

. . . . . ἄδικον οὔθ' ὑπέρ-
οπλον ἧβαν δρέπων.

ib. Δοκοῦσι δέ μοι] Paris. A. Οἱ γραφεῖς τὰς Χάριτας γυμνὰς γράφουσιν, αἰνιττόμενοι, ὅτι δεῖ τὴν χάριν ἄδολον εἶναι, τὸ γὰρ γυμνὸν καὶ φανερὸν ἄδολον· ὁ δὲ ῥήτωρ ἔφη, ὅτι διὰ τὸ τοὺς Ἀθηναίους τοῖς ἄλλοις τὴν εὐεργεσίαν θᾶττον ἐπιφέρειν ἔδοξαν ἔργα αἱ Χάριτες (sic). B. consentit ad verbum cum bomb., nisi quod ταχέως αὐτὰς γ.

Αἱ παρὰ τῶν Ἑλλήνων ἀπαρχαὶ] Paris. A. Αἱ κατ' ἔτος ἀπαρχαὶ Ἀθήναζε παρὰ τῶν ἄλλων Ἑλλήνων κομιζόμεναι στάχυς ἦσαν. Paris. B. consentit cum bomb.

Αἱ τοῦ θεοῦ μαντεῖαι] Paris. A. Ποτὲ γεγονότος ἀνεῖλεν Ἀπόλλων, μὴ ἂν πρῶτον στῆναι τὴν νόσον, εἰ μὴ πρὸ πάντων θύσωσιν κ. τ. λ. vid. Apogr. Mon. ad αἱ παρὰ τῶν Ἑλλήνων ἀπαρχαί.

182, C. Τοιοῦτοι μὲν πρὸς] Paris A. Ἐπεὶ καὶ τοὺς θεοὺς ἐτίμησαν ἀγάλμασι καὶ θυσίαις, καὶ τοῖς ἄλλοις ἀνθρώποις ὡς προσηνήχθησαν, καὶ ὡς οἱ θεοὶ αὐτοῖς καὶ αὐτοὶ τοῖς ἄλλοις ἀνθρώποις ἐγένοντο.

ib. Καὶ τοῦτο μὲν ἐνταῦθα] Paris. A. Τὸν τοῦ γένους τόπον ἐνταῦθα ἀναπαύσας, ὃν διὰ τῆς θέσεως τοῦ τόπου δηνύσατο, ἐντεῦθεν ἐπὶ τὸν τῆς ἀνατροφῆς πρόεισι, πλὴν ἔοικε καὶ τοῦτο τοῦ γένους εἶναι κοινὸν καὶ τῆς ἀνατροφῆς τὸ ἐπιφερόμενον· πλείω δὲ τ*μήματα λέγει, ἐπειδὴ καὶ αὐτὰ μερίζεται τὰ τῆς ἀνατροφῆς· εἰσὶ δὲ αἱ πράξεις ἀκόλουθοι, ὃ διὰ τοῦ ἑφεξῆς σημαίνει.

182, D. Ἐν μέρει] Paris. A. Τοῦτο σαφῶς πέφρασται· ὁ δὲ

νοῦς τοιοῦτος, ὅτι μετὰ τὰ ῥηθέντα πάλιν εἰσὶν ἀκόλουθα ἐκείνοις εἰς τὸ λεχθῆναι, οἷον τὴν ὑπὲρ τῶν κινδυνευόντων ἀντίληψιν· βουλόμενοι γὰρ Ἀθηναῖοι εὐσεβεῖς ὄντες τοὺς ἄλλους εὐεργετῆσαι τοὺς καρποὺς διέδοσαν, ἀλλὰ καὶ βουλόμενοι πάντας σώζεσθαι ὑπὲρ τῶν κινδυνευόντων ἐπολέμησαν· ἀλλ' οὔκ ἐστί μοι, φησὶ, τοῦτο δῆλον, εἰ ἁρμόττει καὶ τοῖς λόγοις ταύτην σῶσαι τὴν ἀκολουθίαν· καὶ γὰρ ἀνωτέρω Ἡρακλέους μνησθέντι καὶ τῶν ἀπογόνων τῶν ἐκείνου ἥρμοττεν εἰπεῖν καὶ ὅπως αὐτοὺς Ἀθηναῖοι κατήγαγον, ἀλλ' ἐπειδὴ οὐχ ἥρμοττε καὶ τῷ λόγῳ, παρέλιπε, ὑποκατιὼν δὲ τῶν Ἡρακλειδῶν ἐμνήσθη, μνησθεὶς δὲ κἀνταῦθα, πότερον θέσεως καὶ χώρας, ἔμελλε καὶ περὶ τῶν οἰκοδομημάτων διεξιέναι, ἀλλ' ἐπειδὴ τοῖς ἐπιλόγοις ἥρμοττε τὸ κεφάλαιον, παρέλειψεν αὐτό· διὸ καὶ τἄλλα πάντα ἐάσας περὶ τῶν θείων διεξέρχεται.

Καταλαμβάνουσι] Paris. A. Ὡς ἐπὶ πολέμου εἶπε, τὸ περιμάχητον [1] ταύτης παραστῆναι βουλόμενος· καταλαμβάνουσι δὲ εἶπεν, οἱ γὰρ θέλοντες τυραννεῖν τῆς ἀκροπόλεως, καταλαμβάνουσι, ὡς βέβαιον φυλακτήριον, ἐπειδὴ δὲ τὸ ὄνομα τῆς τυραννίδος διεβέβλητο, εἶπε τὸ ὥσπερ. 183, B.

Ἐπιτρέψαντες] Paris. A. Λέγει τὸ τοῖς Ἀθηναίοις ἐπιτρέψαι τὴν κρίσιν, ἔλαβον δὲ κριτὰς τοὺς Κέκροπος παῖδας. ib.

Ἐν τοῖς παιδικοῖς] Paris. A. ut Ap. Mon., a quo in his fere recedit: ἔρως — ἢ ὑπὲρ τῶν ἐρωμένων — ἐπέτρεψαν. 183, C.

Τοῦ τε ῥοθίου] Paris. A. Τιμῆσαι τὸν τούτου δοτῆρα βουλόμενος, τοῦτο γὰρ ἔδειξεν ὁ Ποσειδῶν, θαλλὸν δὲ ἡ Ἀθηνᾶ, ὅ ἐστι κλάδον ἐλαίας. Ἄλλοι μέν φασι ἐπιτρέψαι τὸν Δία ἐν μέρει τοὺς ἄνδρας καὶ τὰς γυναῖκας ψηφίσασθαι, καὶ ψηφισθέντων ἴσος ἦν ἑκατέρων ὁ ἀριθμός· ἀκηκόως δὲ ὁ Ζεὺς ἔφη, μὴ ἐψηφίσθαι τὸν βασιλέως οἶκον καὶ ψηφίσαντος δὴ καὶ τοῦτον ὑπερήλασαν τῷ ἀριθμῷ αἱ γυναῖκες τοὺς ἄνδρας, ἐπεὶ εὕρηται τρεῖς ἔχων θυγατέρας ὁ βα- ib.

1) Cod. περιμάχητον.

σιλεὺς, εἷς ὢν αὐτός· διαιρῖναι λέγεται τὸν Ζῆνα Ἀθηνᾶ παραλαβεῖν τὴν πόλιν.

184, A. Τὴν ἐπωνυμίαν] Paris. A. Ἐξ Ἀθηνῶν γὰρ Ἀθῆναι· πρότερον γὰρ οὐκ Ἀθῆναι, ἀλλ' ἀκτὴ, εἶτ' Ἀττικὴ λεγομένη.

184, B. Ἔτι δ' ἵππων] Paris. A. Σχήματι καλῶς τὸ σχῆμα, οὐ γὰρ βούλεται τῇ ἱστορίᾳ μάχεσθαι, ὅτι Βελλεροφόντης ἐφεῦρε τὸν Κέαντα, πάρεδρον δὲ τῆς θεοῦ τὸν Ἐρεχθέα φησίν, ἐπειδὴ ἐν τῇ κ. τ. λ. cf. Apogr. Mon. — ἔζευξεν σὺν τῇ θεῷ· εἶπεν, ὡς αὐτῆς Ἀθηνᾶς τὴν κατασκευὴν εἶπε ἁλούσης αὐτῷ (sic).

184, C. Ὁ τῆσδε τῆς θεοῦ πάρεδρος] Paris. B. cum bomb. consentit.

ib. Χορεῖαί καὶ τελεταὶ] Paris. A. Χορείας τοὺς ὕμνους λέγει τῶν θεῶν, ὡς καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου, τελετὰς δὲ τὰ μυστήρια· γνωστέον δὲ, ὅτι οὐ μόνον εἰς ἀμοιβὴν τῶν θεῶν, ἀλλὰ καὶ ἀπόδειξιν ἔχει τῆς παρὰ τῶν θεῶν εὐεργεσίας.

ib. Πανηγύρεις] Paris. A. Πανηγύρεις λέγει τὰ Διονύσια καὶ τὰ Ἐλευσίνια, τὰ Παναθήναια.

ib. Ἄλλαι δι' ἄλλων] Paris. B. convenit cum bomb., B. item servat ἔφημεν.

184, D. Οὐ μόνον] Paris. A. Τοῦτο τὸ νόημα πρόσθεν εἰπὼν, ἐπειδὴ ἀνάγκη ἦν προσθεῖναι ἕτερον, τότε δὲ ὁ καιρὸς οὐκ ἐδίδου, ἄλλα γὰρ κατήπειγε, διὰ τοῦτο πάλιν ἐχρήσατο, ἵνα ταῦτα, ἃ νῦν λέγει, προσθήσῃ· τοῦτο δὲ πολλαχῇ τῶν αὐτοῦ λόγων ποιεῖ.

185, B. Καὶ λαγχάνει] Paris. A. Ἁλιρρόθιος ὁ υἱὸς Ποσειδῶνος ἠράσθη Ἀλκίππης τῆς Ἄρεος (sic) θυγατρὸς κ. τ. λ. vide Ap. Mon. et Leid. Pergit Paris. A. ὁ δὲ ἀπιστῶν τῇ θυγατρὶ καὶ βουλόμενος θεατὴς γενέσθαι μετεσχημάτιζεν ἑαυτὸν εἰς τὴν θυγατέρα καὶ ἀπέρχεται ὑδρευσόμενος καὶ λαβὼν αὐτὸν ἐπιχειροῦντα ἀνεῖλεν· ἐγκαλεῖ γοῦν Ποσειδῶν Ἄρει περὶ τοῦ παιδὸς καὶ παραγίνονται ἀμφότεροι Ἀθηνάζε κριθησόμενοι, καὶ γίνεται ἡ κρίσις παρὰ τῷ Ἀρείῳ πάγῳ δικαζόντων θεῶν· ἐκλήθη δὲ καὶ ὁ τόπος ἄρειος πάγος διὰ τὸ τὸν Ἄρεα ἐκεῖ πῆξαι τὸ δορύ· ἄλλοι δὲ τὴν ἐπωνυμίαν ταύτην λαβεῖν

Digitized by Google

φασὶ τὸν τόπον διὰ τὸ τὸν Ἄρην ἐκεῖσε καθίσαι καὶ πολιορκεῖν τὴν πόλιν ἐπὰν κατ' αὐτῆς ἐστράτευσεν ἡττωμένων τῶν θυγατέρων αὐτοῦ Ἀμαζόνων ὑπὸ τῆς πόλεως· ἕτεροι δὲ τὸν Ἁλιρρόθιον οὕτω φασὶ κτανθῆναι ὑπὸ τοῦ πατρὸς Ποσειδῶνος· τῆς Ἀθηνᾶς ἐπεχείρει αὐτὸς κόπτειν τὴν ἐλαίαν, πλήττεται παρὰ τὸν τόπον ὑπὸ τοῦ Ἄρεος καὶ θνήσκει. Ἄριστα δὲ πάντων ἐμοίγε κριτῇ ὁ Χάραξ ἐν ᾧ φησὶν, ὅτι πάγος πᾶς ὑψηλὸς τόπος καλεῖται, Ἄρης δ' ὁ φόνος, ἀφ' οὗ καὶ ἔναρα τὰ ὅπλα καὶ ἔναροι οἱ πεφονευμένοι, ὡς ἄν τις μεταβαλὼν φόνιος τόπος, ὡς καὶ Χάρων (sic) ἡ τοῦ δεσμωτηρίου ἐλέγετο θύρα, ἀφ' ἧς οἱ κατάδικοι οἱ πρὸς Ἅιδην βαδίζοντες ἐξήεσαν. Paris. B. a bomb. in his discrepat: Ἁλκίπην — Ἁλκίππην, κατ' αὐτοῦ — κατ' αὐτῶν, θεοὶ ἐν αὐτῷ ἐκρ. — ἐν αὐτῷ θεοὶ ἐκρίθησαν, quod quae sequuntur, in Paris. B. desiderantur.

Ὑπὲρ τὸν Ἄρειον πάγον] Paris. B. eadem hab., quae bomb. 185, C.

Παρὰ τοῖς θεοῖς] Paris. A. Οὐ γὰρ τὸ ἀνθρώπινον δίκαιον ἴσον θεοῖς δυνατὸν εἶναι, παρὰ δὲ τοῖς θεοῖς ὑπερβολικῶς εἶπεν, ὡς καὶ αὐτῶν συνειδότων τοῦ δικαστηρίου τὸ δίκαιον. 185, D.

Συγκεχωρηκότι] Paris. A. Ἀντὶ τοῦ παρὰ πᾶσιν αἰδεσίμῳ, τῷ συγκεχωρημένῳ, καταδεδεγμένῳ, μὴ ἀντιλεγομένῳ. ib.

Καὶ οἷς ἐξ ἐκείνου καθήκει] Paris. A. Ἀντὶ τοῦ ἁρμόζει ἐξ ἐκείνου τοῦ γένους τῶν θεῶν δηλονότι, οὐ μόνον ἀνεῖται δικαστήριον θεοῖς οὗτος ὁ τόπος, ἀλλὰ καὶ τοῖς ἀπ' ἐκείνων. 186, A.

Ἕτερα δὲ] In Paris. B. eadem leguntur, quae in bomb. 186, B.

Μικτὴ τοῖς ἀγωνισταῖς] Paris. A. Μικτὴν λέγει δίκην τὴν τοῦ Ὀρέστου καὶ τῶν Ἐριννύων, καθ' ἣν καὶ δύο ψήφους ἐξήνεγκεν Ἀθηνᾶ μίαν μὲν ὡς θήλεια, ἄλλην δὲ ὡς πάρθενος· προσοίκους λέγει τὰς Ἐρίννυας, ἐπειδὴ λέγεται ἠττηθεῖσας τὰς δαίμονας καταδῦναι ἐν τῷ τόπῳ· ἄλλοι δέ φασιν, ὅτι ἐξιλεούμενος αὐτὰς Ὀρέστης ἱερὸν αὐτοῖς ἐκεῖ ἐποίησεν, τινὲς δὲ τοῦτο ἱδρύσασθαι αὐταῖς τοὺς Ἀθη- ib.

Digitized by Google

ναίους λέγουσι μετὰ τὴν δίκην· εὐφήμως δὲ αὐτὰς ἔφησε σεμνὰς, ὥσπερ ἕτεροι καὶ Εὐμενίδας.

ib. Ὥσπερ ἔφεσιν] Paris. A. Τὴν ἐξ Ἄργους φυγὴν ἔφεσιν ἐκάλεσε, τουτέστι ἔκκλητον· λέγεται γὰρ, ὅτι ἐκεῖ καταδικασθεὶς εἰς τὰς Ἀθήνας μετέστη· ἔφεσις δέ ἐστιν ἡ ἀπὸ μικροῦ δικαστηρίου ἐπὶ τὸ μεῖζον μετάστασις. Paris. B. [1]ad verbum cum bomb. convenit, nisi quod ὅτ' ἄν τις τὰ ἐλάττω κ. τ. λ.

186, C. Φιλανθρωπίαν οὖσαν] Paris. A. Ἀντὶ τοῦ τῆς δικαίας φιλανθρωπίας οὔσης, ἀντὶ γενικῆς [1] αἰτιατικὴν εἶπεν οὕτω σχηματίσας· τούτῳ πολλάκις καὶ Αἰσχίνης ἐχρήσατο. Cod. Paris. B. Δέον εἰπεῖν εἶναι, οὖσαν εἶπεν.... στρέψας (f. ἐπιστρέψας) τὴν σύνταξιν πρὸς..... τοχὴν (μετοχὴν), ὃ καὶ ἀγνοοῦντές τινες τὴν αἰτιατικὴν ἀντὶ γενικῆς φασίν.

ib. Καὶ τυχὼν τῆς θεοῦ] Paris. A. Δώδεκα ὄντων τῶν κρινόντων Ὀρέστην καὶ τὰς Ἐριννύων θεῶν, καὶ τῶν μὲν ὅτι ταῖς Ἐρίννυσι προστιθεμένων, τῶν δὲ ἓ τῷ Ὀρέστῃ, τῆς Ἀθηνᾶς ἔτι μετέωρον τὴν ψῆφον ἐχούσης μόλις κυρεῖ τῆς παρ' αὐτῆς ψήφου ὁ Ὀρέστης καὶ οὕτως τικᾷ· καί τινές φασι τυχεῖν τῆς Ἀθηνᾶς εὐμενοῦς, ἐπειδήπερ τὸ ἐν Ἀθήναις ἠγάπησε δικαστήριον, ἕτεροι, ὅτι ἐκ Διὸς ἦν Ὀρέστης, ἀφ' οὗ τῆς κεφαλῆς καὶ ἡ Ἀθηνᾶ, τινὲς δὲ, ὅτι ἠλεήθη παρ' αὐτῆς δυστυχών. Ἀπορεῖται δὲ, πῶς ἐγένετο κρατῆσαι τὸν Ὀρέστην τῆς δίκης, ἴσων δὴ γενομένων τῶν ψήφων; καί φασιν, ἐπειδὴ ἄνθρωπος ὢν τὰς ἴσας ταῖς δαίμοσι ψήφους ἐδέξατο, νενίκηκεν.

ib. Περὶ μὲν δὴ γένους] Paris. A. Δόξειε τοῦτο σύμπαν εἶναι τοῦ γένους καὶ τῆς ἀνατροφῆς, ἀλλὰ τοῦ μὲν γένους ἐστὶ σύμπαν, οὔπω δέ γε καὶ τῆς ἀνατροφῆς, ἐπιφέρει γὰρ καὶ ἕτερον μέρος αὐτῆς τῆς ἀνατροφῆς, τὴν φιλανθρωπίαν· ἰδοὺ δὲ καὶ ἐδήλωσεν, ὅτι γένος ἐστὶν ἐν τῷ λόγῳ διὰ τοὺς λέγοντας, τὴν πόλιν μὴ εἶναι γένος.

186, D. Ὧν μέρος ἓν γέγραπται] Paris. A. Περὶ φιλανθρω-

1) Cod. γενετικῆς.

Digitized by Google

πίας δηλονότι· τί δὲ τὸ ἓν μέρος, αὐτὸς δηλοῖ, τὴν εἰς ἅπαντας φιλανθρωπίαν, τὴν τοῦ σίτου πομπὴν καὶ ὅπως εἰς τὸ κοινὸν ἐπολιτεύσαντο.

Ὥσπερ οἱ τὰ σπέρματα] Paris. A. Ἢ Τριπτόλεμον αἰνίττεται, ἢ τοὺς βαλλομένους τὰ σπέρματα γεωργοὺς ἐπὶ τῷ πλείω συγκομίσασθαι. 187, B.

Κατ' ἄνδρα] Paris. A. Ἀντὶ τοῦ κατὰ ἕνα· ἐπειδὴ δὲ ἐπὶ τὸ ἧττον ἐλθὼν ἤσθετο, οὐδὲν μέγα τὸ εἰπεῖν κατὰ ἕνα, οὐδὲ σεμνὸν εἰς ἐγκώμιον προσέθηκε τὸ οἱ γνωριμώτατοι, καὶ ἐπειδὴ δυσχερὲς τῶν μετοστάντων πάντων κατ' ἄνδρα μνησθῆναι, εἶπε καὶ τὸ ἅπαντων καὶ κατὰ πόλεις μνησθῆναι δυσχερές, οὐχ ὅπως τῶν ἰδίᾳ καὶ τῆς τούτων συμφορᾶς. 187, C.

Ὥσπερ ἀρχὴ τοῖς πολλοῖς διηγεῖσθαι] Paris. B. Ἰσοκράτης γὰρ ἐν τῷ Πανηγυρικῷ καὶ Δημοσθένης καὶ Λυσίας ἐν ἐπιταφίοις καί τινες ἄλλοι ἀπὸ τῶν Ἡρακλειδῶν τὴν τῆς πόλεως ἄρχονται λέγειν φιλανθρωπίαν. ib.

Ἡρακλέους] Paris. A. Ἀντέπιπτε γὰρ αὐτῷ, ὅτι καὶ παρὰ τῶν ἄλλων ἐτιμήθη ὁ Ἡρακλῆς, οἷον παρ' Ἀργείων· διὰ τοῦτό φησιν, ὅτι κἀκεῖνοι Ἀθηναίους μιμούμενοι ἐτίμων, ὥστε τῆς Ἡρακλέους τιμῆς πᾶσιν αἴτιοι Ἀθηναῖοι. 187, D.

Τοῖς μυστηρίοις] Paris. B. Ἀθηναῖοι τὰ Ἐλευσίνια ἄγοντες, ἃ πρὸς τὴν Δήμητραν ἐποίουν, ἐπειδὴ παρ' αὐτῇ τῇ ἑορτῇ Ἡρακλῆς ἐδεῖτο καὶ αὐτὸς μυηθῆναι· νόμιμον δὲ ἦν μὴ ξένον τινὰ μύειν, αἰσχυνθέντες οὖν τὴν αὐτῶν ἑορτὴν ἐποίησαν τὰ λεγόμενα μικρὰ μυστήρια πρὸς τὴν Δήμητρος Περσεφόνην, ἐν οἷς πρῶτον αὐτὸν ἐμύησαν, ὕστερον δὲ καὶ τοὺς Διοσκούρους. ib.

Τοὺς πρεσβυτάτους] Paris. A. Τοὺς περὶ τὸν Κρόνον καὶ Ῥέαν καὶ Δία καὶ τοὺς λοιποὺς λέγει· τὸ δὲ ἦρξε τιμᾶν ἀντὶ τοῦ ἔγραψεν, ἐπηλύδας δὲ τοὺς νεωτέρους λέγει, Διόνυσον, Ἡρακλέα· ἵνα δὲ μὴ δόξῃ ἄτοπόν τι ποιεῖν καινοτομοῦσα θεούς, φησὶν, ὅτι ὥσπερ συμπολιτευομένη θεοῖς ἐγίνωσκε τούτων τὸ βούλημα, ἐκεῖνοι γὰρ, φησὶν, ἐδέχοντο καὶ ταύτην οὐκ ἐλάνθανον. 188, A.

Digitized by Google

188, B. Ἀλλ' ἐξηγεῖτο] Paris. A. Ἀντὶ τοῦ πρώτως ἐνεχείρει.

188, C. Εὐρυσθέως] Paris. A. [1] Ὁ Εὐρυσθεὺς ἐκπληρῶν τῆς Ἥρης τὸ βούλημα, οὐ μόνον ζῶντα ἐκ τόπου εἰς τόπον ἐδίωκεν Ἡρακλέα, ἀλλὰ καὶ μετὰ θάνατον τοὺς παῖδας αὐτοῦ ἀπὸ πάσης τῆς Ἑλλάδος ἐδίωκεν. Ἀθηναῖοι δὲ τῶν ἄλλων μόνοι καταφρονήσαντες Εὐρυσθέως ἐδέξαντο τοὺς Ἡρακλείδας καὶ σὺν αὐτοῖς κατὰ Εὐρυσθέως στρατεύσαντες νενικήκασι καὶ κατήγαγον αὐτούς· καθὸ καὶ ὁ συγγραφεύς φησι, Δωριεῖς τὸ ὀγδοηκοστῷ ἔτει σὺν Ἡρακλείδαις Πελοπόννησον ἔσχον (vid. Apogr. Mon.)

188, D. Μόνη] Paris. A. Οὐκ ἀπανθρωπίας κατηγορεῖ τῶν ἄλλων Ἑλλήνων διὰ τούτων, ἀλλὰ δέος ἐμφαίνει καὶ ἀσθένειαν, ὡς εἰ ἔλεγεν, τὸ δέος τὴν φιλανθρωπίαν ἐνίκησεν.

189, A. Εἰκότως] Paris. A. Ἐπίκρισις τὸ σχῆμα.

ib. Ἀφ' οὗ] Paris. A. Ἀφ' οὗ ταὐτὰ τοῦτ' ἔστι ἀφ' οὗ ἐώρα τὰ ὅμοια αὐτῇ μεταδιώκοντα καὶ φιλανθρωπευόμενον.

189, B. Ἐν ἑτέρᾳ] Paris. A. Ἀντὶ τοῦ ἐν ταῖς πράξεσιν, ὅτε διηγήσεται τοὺς πολέμους, νῦν γὰρ τὴν φιλανθρωπίαν θέλει εἰπεῖν· ἐπιτροπὴν δὲ τὴν πρόνοιάν φησι τὴν κηδεμονίαν.

189, C. Τέτταρας δοῦσα] In Pariss. A. et B. ead. leguntur, quae in bomb., praeterquam quod A. Προβάλινθον habet.

ib. Δημοσίᾳ] Paris. A. Παρὰ τοῦ δημοσίου, ὡσπερ δὲ νόμον γενόμενον τοῦτο εἶπε τῇ πόλει, μετὰ ταῦτα γὰρ τῶν ἐν πολέμοις ἀποθανόντων δημοσίᾳ οἱ παῖδες ἐτρέφοντο, μάλιστα δὲ ἀπὸ τῶν Περσικῶν.

ib. Τροφεῖα] Paris. A. Τουτέστι τὰς ἀμοιβὰς τῶν τροφῶν, εὗρε γὰρ ἀξίους αὐτοὺς τῶν τροφῶν· σημαίνει δὲ, ὅτι καὶ μετὰ ταῦτα κατελθόντες μετέσχον Πελοποννήσου, ὃ δὲ λέγει τὴν καταφυγήν, ταύτην δὲ πρώτην καταφυγὴν τῶν δυστυχησάντων ὑποτίθεται, εἶτα ἐπιλαμβανόμενος αὐτοῦ εἶπεν (sic), ὅτι μετὰ πολλοὺς ἄλλους τοῦτο συμβέβηκε· τοῦτο δὲ εἶπεν ὑπερβολικῶς, οὐδὲ γὰρ ἄλλοι πρὸ αὐτῶν ἦλθον.

1) Similia in Paris. B. et D.

Digitized by Google

Κοινὴν εὐθὺς] Paris. A. *Τοῦτο εἶπεν, ἵνα μὴ δόξῃ ἐκ μεταβολῆς καὶ μετανοίας τοῦτο Ἀθηναίων τὸ ἐπιτήδευμα.* 190, A.

Ἐπὶ δυεῖν] Paris. B. cum bomb. consentit. ib.

Τῇ δύναμει] Paris. A. *Ἀντὶ τοῦ ὠφελείᾳ, ἵνα δείξῃ ταύτην τῆς οἰκείας καλλίονα· ἔοικε δὲ τῷ Δημοσθενικῷ, τὸ γὰρ πράττοντα λέγειν ὕστερον ὂν κ. τ. λ.* vid. Ap. Mon. 190, B.

Πάσης τῆς] Consentit Paris. D. cum Ap. Mon., B. cum bomb., levi quadam varietate. 190, C.

Ταναγραίων] Nil discrepat Paris. D. ab Ap. Mon. ib.

Εἰξάντων] Paris. A. *Περὶ τῶν Ἰώνων λέγει τῶν εἰξάντων ἀναστάντες* (sic) *Ἀχαιοῖς ἢ Πελοπιδῶν ὡς ἀθανάτοις* [1] *καὶ μετῳκισθέντων ἐπὶ τὴν Ἀσίαν.* ib.

Ἰωνία πάντες] Paris. D. idem cum Apogr. scholion servavit, in his fere ab Ap. recedens: *Κόδρου τελευτήσαντος — οἱ ἀδελφοὶ ἤρισαν περὶ βασιλείας — αὐτὴν λάβῃ — αὐτοῖς ὁ Θεὸς ἐρωτῶσιν — τὸν σίαλον τρίβῃ — τῶν δύο σπείσει, ἐκεῖνος γὰρ ἂν λάβοι — τῆς Ἀθηνᾶς ἐπὶ τὸ σπεῖσαι — εἶτα ἔφησεν τὸν χρησμὸν — τρίβῃ· ὃς πρῶτος τῶν δύο σπείσῃ — εἶναι τὴν βασιλείαν — ἐλαίας κεχωρισμένας — τοῖς δὲ κλάδοις ἐμπεπλεγμένας — ἀλλήλας ἐκβαλλούσας — ἐπέγνω τὸν χρησμὸν — ἀπιστῶν τότε ὁ Νηλεὺς ἐκεῖνο εἶναι — εἴρετο τὸν Ἀπόλλω, εἰ αὐτὸ εἴη — τοῦτο οὖν ἀκούσας — ἐρώτησε· πῶ ἄρα οἰκήσει — ἐγκατοικῆσαι — Ἴωνας τοὺς ἐξελθόντας ἀπὸ τῶν Ἀχαιῶν ἀπήγαγεν. —* ib.

Πρὸς τοὺς ἀπ' ἀμφοτέρων] Paris. A. *Αἰγιαλοὺς λέγει τὰ τέρματα τῆς οἰκουμένης, οἷον δύσιν καὶ ἀνατολήν· ἀπὸ μὲν ἀνατολῆς ἐδέξαντο ὕστερον τοὺς Ἴωνας ἀδικουμένους ὑπὸ Περσῶν ἀπὸ δὲ τῶν δυτικῶν Μεσσηνίους καὶ ἄλλους πολλούς.* ib.

Ὧν ἔτι καὶ νῦν] Paris. A. *Τῷ περιληπτικῷ ἐχρήσατο σχήματι, οὐ γὰρ Δρυόπων τόπος ἐν Ἀθήναις προσαγορεύεται, Πελασγῶν δὲ μόνων, ὡς καὶ ὁ Θουκυδίδης.* Ad *Πελασγοὺς* cad. leguntur in Paris. B., quae in bomb. 190, D.

1) f. ἀναστάτων.

Digitized by Google

191, B. *Μιᾶς μέν γε*] Comparatur, uti supra, Paris. D. cum Mon., B. cum bomb.

191, C. *Τῆς Μεσσηνίων*] Paris. B. *Ἔθος ἦν τῇ τῶν Μεσσηνίων ἑορτῇ πέμπειν Λακεδαιμονίους κόρους καὶ κόρας· τινὲς δὲ τῶν Μεσσηνίων ἐβιάσαντο τὰς κόρας· Λακεδαιμόνιοι δὲ ζητοῦντες εἰς τιμωρίαν τοὺς βιάσαντας, ἐπειδὴ οὐκ ἐξέδωκαν Μεσσήνιοι, κατέσκαψαν τὴν Μεσσηνίων πόλιν ὀργισθέντες.*

ib. *Τοὺς λοιποὺς*] Paris. D. *Λοιποὺς τὸ λειπόμενον καὶ τὸ λειψανόν φησι· διπλῆν λέγει τὴν εὐεργεσίαν, τό δέξασθαι καὶ τὸ δοῦναι οἴκησίαν· λέγει δὲ τὴν Ναύπακτον, ὡς καὶ ὁ Θουκυδίδης κατ' ἔχθος τὸ Λακεδαιμονίων, λέγει δὲ τὸν Μεσσηνιακὸν πόλεμον δεκέτη γενόμενον.*

ib. *Δεξαμένη*] Paris. A. *Διπλῆν παριστᾷ τὴν εὐεργεσίαν, τό τε δέξασθαι καὶ τὸ οἰκήσεως φροντίσαι.*

ib. *Αὖθις δὲ τοῦ περὶ B.*] Paris. A. et D. cum Apogr. faciunt, B. cum bomb.

ib. *Ἐνευτυχῆσαι*] Paris. A. *Λέγει δὲ τὴν τελευταίαν μάχην ἐν Πλαταιαῖς τῶν Περσῶν· παρ' ἀξίαν δὲ, ὅτι πόλιν ἐνῆν ἀνενίκηκαν* (sic) *ταύτην ἀνεῖλον ἀπροσδοκήτως, οὐ γὰρ ἤλπιζον, ὅτι ἀπὸ Περσῶν σωθεῖσα ὑπὸ Θηβαίων ἀπολεῖται· παρ' ἀξίαν δὲ, ὅτι ἡ τοὺς βαρβάρους νικήσασα ὑπὸ Ἑλλήνων κατέσκαπται.* Paris. B. *Ἐνευτυχῆσαι λέγει, ἐπειδὴ ἐν ταύτῃ Παυσανίας μετὰ τῶν Ἑλλήνων τὸ τῶν Περσῶν πεζὸν διώλεσε.*

191, D. *Ἀλλὰ τὸ μέν*] Paris. A. *Ἀντὶ τοῦ ὅσον ἐπὶ τοῖς ἄλλοις Ἕλλησι ἀπώλετο· τοῦτο δηλοῖ τὸ ἐξήκει τὸ τῶν Πλαταιέων γένος· σχῆμα λέγει τὸ ἀξίωμα, ὅτι Ἀθηναίους αὐτοὺς ἐνέγραψεν.*

192, A. *Τὴν δυστυχίαν*] Paris. A. *Ἄμεινον δὲ εἰπεῖν, ὅτι πρὸς τοὺς ἐπισταμένους ἔφη τοῦτο καιρούς· ῥωμαϊκοὶ γὰρ τότε ἦσαν.*

ib. *Φυλάξασα*] Paris. A. *Τόπον λέγει τὴν πόλιν, μνημεῖον δὲ τοὺς ἄνδρας, ἐφύλαξεν οὖν τὸ Πλάταια τοὺς Πλαταιεῖς* (sic).

ib. *Τῶν ἐκεῖ φανερῶν*] Paris. A. *Ἀντὶ τοῦ ἐνδόξων φι-*

Digitized by Google

λων καὶ ἐπισήμων· μόνοι γὰρ ἐν Μαραθῶνι συνεμάχοντο Ἀθηναίοις· διὸ καὶ τῶν ἀμοιβῶν, ἡνίκα κακῶς ἔπραττον, ἔτυχον.

Πάλιν τοίνυν] Paris. A. *Φίλιππος πόλεμον ἔχων πρὸς* ib.
Ὀλυνθίους ἔπεμψε πρὸς Λακεδαιμονίους νικήσαντας τὸν Πελοποννησιακὸν πόλεμον, αἰτῶν βοήθειαν· οἱ δὲ μετὰ τῆς βοηθείας καὶ Φοιβίδαν ἄρχοντα ἔπεμψαν· ὁ δὲ παρὼν τὰς Θήβας ὡς ἐπὶ Μακεδονίαν εἶλε τὴν ἀκρόπολιν τῶν Θηβαίων καὶ φρουρὰν ἐγκατέστησαν. Ἀθηναίων δὲ συμβουλευσάντων, Θηβαίους ἐγχειρίδια διαλαβεῖν καὶ ἐν σχήματι γυναικῶν κατελθεῖν εἰς τὰς Θήβας, οὕτως ἐποίησαν, καὶ τοὺς μὲν ἐχθροὺς ἀνεῖλον, τῆς δὲ πόλεως κρατοῦσιν. B. a bomb. in his recedit: *Διὰ τοῦ ἀδ.* — *Ἰσμηνίας δὴ καὶ — διὰ Θηβαίων — ἀπαιτησάντων — τὴν μετὰ τούτων μίξιν — τὰς γυναῖκας — γενομένης ἑσπέρας — ἀποδυθέντες — πρὸς τούτοις — συνέβη ἀναιρεθῆναι — τῶν γινομένων*

Ἐπὶ θάτερα] Paris. A. *Ἀντὶ τοῦ πρὸς τἀναντία, πρὸς* 192, D.
εὐτυχίαν· εἰ γὰρ δηλοῖ τὸ ἐπὶ θάτερα τἀναντία, ὡς ἐπὶ καλοῦ τὰ φαῦλα, οὕτως ἐνταῦθα ἀπὸ τοῦ φαύλου τὰ κρείττω.

Οὐ γὰρ ἐπποδών] Paris. A. *Ἄνδρος κακῶς πράσσον-* ib.
τος ἐκποδὼν φίλοι. Paris. B. consentit cum bomb., omisso tamen senario.

Οὐδ' εὖ μὲν] Paris. A. *Τουτέστιν οὐ πρὸς τὴν τύχην* 193, A.
ῥυθμιζομένη τῶν ἀνθρώπων.

Καὶ πρεσβυτάτη] Paris. A. *Νῦν θέλει δεῖξαι τὴν* 193, B.
πόλιν πρεσβυτάτην τῶν ἄλλων πόλεων οὖσαν, οὐ τῷ πρῶτον μόνον γενέσθαι, ἀλλὰ καὶ τῷ σώζειν δεχομένην τοὺς δυστυχοῦντας.

Πατρῷον] Paris. A. *Πατρῷος ὁ Ἀπόλλων Ἀθηναίοις,* 194, A.
ἀπὸ γὰρ Κρεούσης καὶ Ἀπόλλωνος Ἴων, ἐξ οὗ οἱ Ἴωνες.

Προσθήκην] Paris. A. *Προσθήκην καλεῖ τὴν αὔξη-* ib.
σιν· ἀκολουθεῖ δὲ τῇ αὐξήσει καὶ φυλακή, ἥτις ἐστὶν ἡ ἀσφάλεια, ὅπου γὰρ πλῆθος ἐκεῖ καὶ ἀσφάλεια.

Ὥσπερ λήμην] Paris. A. *Καλεῖ, ὅτι τρόπον ἐζήλω-* 194, B.
σαν βάρβαρον καὶ τῇ πράξει τὸ γένος ἠρνήσαντο· ἐζήτηται

Digitized by Google

δὲ πῶς Μίνω ἐκβαλόντυς [1] τοὺς ληστρεύοντας Κᾶρας αὐτὸς τοὺς Ἀθηναίους λέγει; φαμὲν οὖν, ὅτι μὲν πρῶτον αὐτοὺς Κᾶρας ἐξήλασεν, ὕστερον δὲ τῶν Καρῶν ἧττον Κρητῶν λῃστευόντων, Ἀθηναῖοι τοὺς Κρῆτας ἐξήλασαν. Paris. D. Καὶ πρῶτον μὲν τὴν ἐπικειμένην ἐκάθηρε θάλατταν] ἡ σύνταξις οὕτως· πρῶτον μὲν τὴν ἐπικειμένην ἐκάθηρε θάλατταν, καὶ τὴν Ἑλλάδα ὥσπερ λήμην ἀφείλετο. Λήμην δὲ καλεῖ τὴν ἀκαθαρσίαν· ὥσπερ γὰρ ἡ λήμη ἐμποδίζει τῶν ὀφθαλμῶν ὅρον, [2] οὕτω καὶ τὸ ληστικὸν τὰς ἀποικίας. Ἀριστοφάνης, λημμαῖς κολοκνήτας (certe leg. Λήμαις κολοκύντας)· ἐπικειμένην δὲ λέγει τὴν γείτονα, τὸ Αἰγαῖον πέλαγος καὶ τὰς ἐκ αὐτῆ νήσους, ὡς αὐτῆς ὄν· οὗ καὶ Θουκυδίδης ἐν τῇ πρώτῃ.

194, C. Ἔστιν οὗ] Paris. A. Ἔστιν ὅπου, οὐ γὰρ ἐπὶ πᾶσων νήσων τοῦτό ἐστι.

ib. Τοὺς Ἑσπερίους τόπους] Paris. A. Οἰκουμένην Σικελίαν λέγει καὶ Ἰταλίαν, ἐπικειμένας δὲ νήσους τῇ Πελοποννήσῳ, Ζάκυνθον, Κεφαλληνίαν καὶ Κερκύραν λέγει.

195, A. Συνάπτουσα] Paris. A. Τοῦτο καλῶς, ἐπειδὴ εἰς Ἀσίαν καὶ Εὐρώπην ταύτην μερίζουσι.

ib. Ἀσίας ἀντίπρωρον] Paris. A. Τὸ γὰρ παραθαλάσσιον μέρος τῆς Ἀσίας ἔκτισεν· ἀντίπρωρον δὲ τὸ ἀντιπρόσωπον λέγει, κατέναντι γὰρ Ἰωνία τῆς παλαιᾶς Ἑλλάδος· καλῶς δὲ εἶπε εἰ οἷόν τε, ἐπειδὴ ἐπὶ νεὼς λέγεται ἀντίπρωρον.

195, B. Οὐ μόνον τῷ πλήθει] Paris. A. Τοῦτό φησιν, ὅτι οὐ μόνον τῷ πλήθει τῶν ἀποικιῶν, οὐδὲ τῷ εὐκαίρῳ καὶ εὐθέτῳ τοῦ τόπου, (τοιοῦτο γὰρ ὃ περὶ Ἰωνίαν κάλλιστον περιέθηκε κόσμον) ἀλλὰ καὶ τῷ δεῖξαι, ὅτι ὠμονοοῦντο τότε οἱ Ἕλληνες, διὰ γὰρ τὴν ὁμόνοιαν ἀπόκικεν (sic, forte ἀπενίκων), ἐπεὶ οὐκ ἠδύνατο ἠσχολημένη εἰς τὸ πολεῖν (sic) τοῖς Ἕλλησι· πῶς οὖν ὁ συγγραφεὺς λέγει, ὅτι ἡ Ἑλλὰς ἐστασιάζετο; λέγομεν, ὅτι ἐκεῖνος ὡς ἱστορίαν συγγράφων τὸ ἀληθὲς εἶπεν, οὗτος δὲ ὡς ἐγκωμιάζων πρὸς τὸ συμφέρον ψεύδεται.

1) Cod. ἐκβαλόντας. — 2) f. τὸν τῶν ὀφθ.

Digitized by Google

Μέτρον] Paris. A. *Μέτρον λέγει τὴν γῆν, ἣν ᾤκιζον, ὥσπερ οὖσαν καὶ αὐτὴν τῆς Ἑλλάδος, οὐ γὰρ ἅπας τόπος δέχεται ἀποικίαν. Καλῶς πάνυ τὸ δεχόμενον, τινὰ γὰρ καὶ διὰ ψυχρότητα ἢ ἄκραν θερμότητα μένει ἀοίκητα.* 195, C.

Τμετέρων παιδῶν] Paris. B. *Τμετέρων παιδῶν λέγει τῶν τε ἐν τῇ Μασσαλίᾳ κατοικισθέντων καὶ τῶν ἐν ταῖς νήσοις, ὧν τινὲς μὲν τῶν ἐν νήσοις Μιλησίων — τὸ λέγει καὶ ἄλλων τινῶν, εἰς Μασσαλίαν ὀπώκισαν, κἀκεῖθεν αὖθις ἐξετάθη τούτων ἡ ἀποικία μέχρι Γαδείρων· ἐκ δὲ τῶν ἐν τῇ Ἀσίᾳ τινὲς ἀποικίαν ἐποιήσαντο εἴς τε τὸν Τάναϊν καὶ τὴν Μαιῶτιν λίμνην· μεμερισμένοι δὲ εἶπεν, ἢ δ' ἀμφοτέρους, τούς τε ἐν τῇ Μασσαλίᾳ λέγει καὶ τῇ Μαιωτίδι ἢ διὰ τοὺς ἐν τῇ Μαιωτίδι καὶ τῷ Ταναΐδι μόνον, ὡς μὴ ὁμοῦ ἐγκατοικισθέντες, ἀλλὰ διηρημένως.* 195, D.

Μασσαλίας] Paris. A. *Ἡ Μασσαλία πόλις τῆς Ἀφρικῆς· μέμνηται δὲ καὶ Θουκυδίδης, ἐν οἷς φησι, Φωκαεῖς τε Μασσαλίαν οἰκίζοντες· κεῖται δὲ περὶ τὸν εἰσπλοῦν τοῦ πορθμοῦ τοῦ ἀπάγοντος ἐπὶ τὰς Ἡρακλέους στήλας.* Paris. B. ad verbum cum bomb. facit. ib.

Ταναΐδι] Paris. A. *Ὁ Τάναϊς ποταμὸς Σκυθίας, Ἀσίαν καὶ Εὐρώπην μερίζων, καθὼς καὶ ὁ Διονύσιός φησιν ὁ περιηγητής· οὗτος δὲ καὶ τὴν Μαιωτίδα ποιεῖ.* 196, A.

Τῶν νῦν πόλεων] Paris. A. *Εἰς τοὺς Ῥωμαίους αἰνίττεται πεφενομένως* (sic). ib.

Διὰ βραχέων] Paris. A. *Δηλοῖ δὲ καὶ τοῦτο διὰ βραχέων, βραχεῖα γάρ ἐστιν ἡ ἀνακεφαλαίωσις· ἐπεὶ δέ ἐστιν εὐεργετῆσαι, διαλιπεῖν δὲ χρόνον καὶ πάλιν εὐεργετῆσαι, διὰ τοῦτο τὴν συνέχειαν εἰπὼν βούλεται δεῖξαι, ὅτι οὐδέποτε Ἀθηναῖοι διέλιπον εὐεργετοῦντες.* 196, B.

Πρόσρημα βελτίον] Paris. A. *Τοῦτό φησιν, ὅτι ἡ πόλις ὑπὲρ τοῦ κοινοῦ ἐπολιτεύσατο τῆς Ἑλλάδος· ποῖον δὲ ὅτι ὄνομά φησιν ἔχειν τὸν ἔπαινον ἡ πολιτεία* (sic)· *τοῦτο δὲ γενικόν ἐστι καὶ Δημοσθένει· πολλῶν γὰρ κ. τ. λ.* plane ut Apogr. *Πρόσρημα τὴν φιλανθρωπίαν λέγει· καὶ γὰρ εὐεργετεῖν τοὺς Ἡρακλείδας ἐδέξατο· θέλει δὲ δεῖξαι, ὅτι πολιτείαν Ἀθηναῖοι τὴν φιλανθρωπίαν εἶχον.* ib.

Digitized by Google

196, C. Ἐπεὶ δὲ ἔδει] Paris. A. Ὧιδε σαφῶς εἶπεν, ὅτι ὄπισθεν ὑπὸ τῶν εἰξάντων μὲν ἀναστάντες· μετὰ θεοῦ δὲ εἶπεν, δίδοται γὰρ αὐτοῖς χρησμὸς μετὰ Δωριέων κατελθεῖν.

ib. Τῶν προτέρων] Paris. A. Τῶν Ἡρακλειδῶν.

196, D. Ἕτεροι δ' αὖ] Paris. A. Ἀντὶ Πελοποννησίων οἱ Ἴωνες.

197, A. Τῷ πλεονεκτήματι] Paris. A. Τὰς ἀποικίας λέγει, πλεονεκτήματα δὲ ἀντὶ φιλοτιμήματα.

197, B. Ὁμοίως τῇ τε] Paris. A. Μίαν φησὶν εὔνοιαν φυλάττουσα καὶ ἐπὶ τῆς ἀλλοδαπῆς· ὁμοίως γὰρ, φησὶ, καὶ ἐν ταῖς ἀποικίαις ὑποδέχεται αὐτοὺς διὰ τὸ παρέχειν τόπους, ἔνθα οἰκήσουσι.

197, C. Λεὼν] Paris. A. Τοῦτο εἶπεν, ἵνα μὴ δόξῃ διὰ τῆς ἀποικίας ἀτιμοῦν αὐτούς, διὸ καὶ Ἀθηναίους, φησὶν, ἄνδρας συνεξέπεμπεν αὐτοῖς.

197, D. Βουλήματι] Paris. A. Οὐκ ἐξ ἀνθρώπων φησὶ τοῦτο ἐποίησεν, ἀλλα προαιρέσεως ἢ ἐπειδὴ τὸ τῆς πράξεως τῶν Ἡρακλειδῶν μερικόν τί ἐστι, καὶ τὸ διὰ τῆς βουλήσεως, τὸ ἀεὶ βουλεύεσθαι μεῖζόν ἐστιν.

ib. Τοὺς προτέρους] Paris. A. Οὐ πάντων προτέρους, ἀλλ' ὧν μέλλει αὐτὸς ἐπιφέρειν, τῶν Ἰώνων· εἶπε γὰρ ἀνωτέρω, ὅτι ἐπὶ πολλοῖς τοῖς πρὸ κακεῖνος (sic) κατέφυγον.

198, A. Καὶ προϊοῦσα] Paris. A. Πρῶτον γὰρ τὸ δέξασθαι, τελευταῖον τὸ ἀποικίσαι.

ib. Πολιτείᾳ] Paris. A. Τὴν συνέχειαν τῶν εὐεργετημάτων πολιτείαν καλεῖ, ὥσπερ γὰρ ἡ πολιτεία ἐκ πολλῶν μερῶν σωτηρίαν ἐργάζεται ταῖς πόλεσιν, οὕτως ἡ πρόνοια τῶν Ἀθηναίων διὰ πολλῶν ἀφορμῶν σώζει τὸ γένος τῶν Ἑλλήνων.

ib. Καὶ μὴν τὸ μὲν] Paris. A. Θέλει δεῖξαι κοινὸν τῶν Ἑλλήνων εὐεργέτημα τὸ δέχεσθαι τοὺς δυστυχοῦντας, καί φησιν, ἀλλὰ λέγει τις, οὐκ ἔστι κοινὸν τῶν Ἑλλήνων, μόνους γὰρ τοὺς δυστυχοῦντας εὐεργέτησεν· ἐπάγει οὖν, ὅτι τὸ τῆς ἀποικίας κοινόν ἐστι καὶ οὐκ ἔχει ἀντίῤῥησιν, προσθήκην γὰρ ἔχει, καὶ ὄπισθεν εἶπε περὶ τῶν ἀποικιῶν, ὅτι καὶ προσθήκην καὶ ἀσφάλειαν ἐποίησεν ἡ πόλις τῷ γένει.

Digitized by Google

Πρεσβύτατοι] Paris. A. *Διὰ τὸ ἀρχαίους εἶναι, νέοι δὲ διὰ τὰς ἀποικίας.* 198, D.

Καθάπερ τὸν Διόνυσον] Paris. A. *Τοῦτον γὰρ καὶ νέον γράφουσι καὶ παλαιὸν, διὰ τὸν οἶνον, ὃς καὶ παλαιός ἐστι καὶ νέος· οὕτως οὖν τῶν Ἀθηναίων οἱ μὲν νωθεῖς εἰσὶν, ὥσπερ οἱ γέροντες, οἱ δὲ ὀξεῖς, ὥσπερ οἱ νέοι καὶ πρὸς πᾶν πρόθυμοι.* ib.

Τὸ προσῆκον ἐξῆς] Paris. A. *Τουτέστι τὸ ἀναγκαῖον· ἀνάγκη γὰρ τοὺς ἀρχαιοτέρους πολλοὺς ἔχειν καὶ ἀπογόνους.* 199, A.

Hinc sequuntur nonnisi excerpta ex scholiis codicis Parisini A, quae integra describere propter et ingentem molem et minimum, qui ex ea re capi posset, usum, a me impetrare non potui. Quanta autem sit moles, inde conjeceris, quod ea, quae huc usque descripsi, primi tantum folii margines complent: quam minimus sit usus, res ipsa docet.

Ἐκδέχεται δ' ἡ πάλαι] Paris A. [1] *Εἰς δὲ δέ, τινές φασι, μέρη διεῖλε τὸν λόγον, ἐπειδὴ καὶ δὲ ἡμέρας κατεῖχεν ἡ πανήγυρις, ἕως οὖν τῶν ἐνταῦθα τὸ πρῶτον μέρος λέγουσι καὶ ἐντεῦθεν ἄρχεσθαι αὐτὸν [2] τοῦ μεγάλου κεφαλαίου τῶν πράξεων, διὸ καὶ οἰκείως τὸ προσδοκωμένη προσέθηκεν· ἡ δὲ ἐκπρόθεσις ἀντὶ τῆς διά· οὕτω γὰρ λέγεται τὸ ἐκδέχεται ἀντὶ τοῦ διαδέχεται.* 199, C.

Ὅτου δέησαν] Paris. A. *Ἀττικὴ ἡ σύνταξις, ἀντὶ τοῦ ὅτου δεήσαντος.* 200, C.

Παρ' ἀξίαν] Paris. A. *Ἡρακλέους γὰρ ἦν ἡ βασιλεία τῶν Πελοποννησίων.* 201, B.

Ὕβρισε] Paris. A. *Φησὶ [3] γὰρ, ὅτι ἐν τῇ ὁδῷ ἔθαψαν, ὥστε καταπατεῖσθαι παρὰ τῶν παριόντων.* ib.

Ἀποῤῥηθὲν] Paris. A. *Ἀττικῶς ἀντὶ τοῦ ἀποῤῥηθέντος.* 201, C.

Ὅπως μὴ] Paris. A. [4] *Αἱ δύο ἀρνήσεις μίαν συγκατάθεσιν ποιοῦσιν.* ib.

Βοιωτίᾳ] Paris. A. *Περὶ τῶν ἑπτὰ ἐπὶ Θήβαις.* 201, D.

Ἀργείων] Paris. A. *Καί τοι οὐ πάντες ἦσαν Ἀργεῖοι,* 202, A.

1) Similia leguntur in Paris. B. — 2) Cod. αὐτῶν. — 3) f. φασὶ γάρ. — 4) Ead. in Paris. D.

Digitized by Google

ἀλλ' ἐκ διαφόρων πόλεων· φαμὲν οὖν, ὅτι ἀπὸ τοῦ ἡγουμένου τῆς στρατείας Ἀδράστου οὕτως ὀνομάζεται.

202, C. Ὥσπερ ἐκ δυοῖν ποδοῖν] Paris. A.[1] Παροιμία ἐπὶ τάχους[2] λεγομένη ἀντὶ τοῦ προθύμως καὶ ἀσφαλῶς καὶ ἀνενδοιάστως· ἤτοι γὰρ ἀπὸ τοῦ σπεύδοντας ἐπείγεσθαι ἀμφοτέροις τοῖς ποσὶν, ἢ ὑπὸ τῶν πλεόντων μεταφορικῶς τῶν ἀπὸ δύο πηδαλίων, ἵνα ὅμοιον τῷ ἐπιδὺς ὁρμαῖον ἔδοξαν (sic, forte ἐπὶ δυοῖν ὁρμεῖν.)

203, B. Ὥστ' ἄμφω τὼ γένη] Paris. A. ad scholion, quod in Photio legitur, hoc schema addit:

Τὸ κατάστοιχον οὕτω



π . . . . . λλαξ[3]



203, C. Ἀμαζόσι μὲν γὰρ] Paris. A.[4] Ἡρακλῆς ὑπὸ Εὐρυσθέως πεμφθεὶς τὸν ζωστῆρα Ἱππολύτης τῆς Ἀμαζόνος ἐκόμισε· ἀγανακτησάσαι δὲ αἱ Ἀμαζόνες κατὰ τῆς Ἑλλάδος στρατεύονται καὶ πολλὰς κατεστρέψαντο πόλεις· ἐλθούσας δὲ αὐτὰς πρὸ τῆς Ἀττικῆς ὁ Θησεὺς βασιλεὺς ὢν συμβαλὼν ἐνίκησε καὶ λαβὼν Ἱππολύτην συνεγένετο αὐτῇ, ἀφ'

1) Quae servantur in Paris. B., ab his nonnihil differunt. — 2) Cod. τείχους. — 3) Similia in Paris. B. conspiciuntur. — 4) Eadem ferme in Paris. B., nisi quod, quae post Ἱππόλυτον leguntur, ea desiderantur. Videntur autem ex nescio quo alio schol. adsuta.

Digitized by Google

ἧς ἐγέννησε τὸν Ἱππόλυτον. Οἰκοῦσι τὴν Σκυθίαν Ἀμαζόνες παρὰ τὸν Θερμόδοντα· ἐπειδὴ οὐ μέγα δοκεῖ, γυναῖκας οὔσας Ἀμαζόνας εἰ ἐνίκησαν, εἶπε νικώσας τὴν φύσιν· πλέον δὲ αὔξων ἔφη, οὐδεὶς αὐταῖς ἀντᾶραι τετόλμηκεν· εἰς τοῦτο δὲ, φησὶν, ἠττήθησαν, ᾧ ἐθάῤῥουν τῇ ἱππομαχίᾳ.[1]

Κοινῇ φύσει] Paris. A. Ὡς καὶ ἐπὶ τῶν Ἀργείων·[2] τῇ κοινῇ δὲ φύσει λέγει βεβοηθηκέναι, διὰ τὸ μὴ ὑπὸ γυναικῶν ἄνδρας ὄντας ἡττηθῆναι. 204, B.

Οὐδὲ Θρᾷκας] Paris. A. Καὶ οὗτοι γὰρ ὥσπερ αἱ Ἀμαζόνες ἠττήθησαν, συμφορὰν γὰρ καλεῖ τὴν ἧτταν· ἔστι δὲ δεπλῆ ἡ γραφή, αὐταῖς καὶ αὐτοῖς, ὁμοίως καὶ ἡ ἐξήγησις, ἢ γὰρ αὐτοῖς οὐκ ἐμέμψαντο, ὡς οὐκ ἀξίως ἡττηθεῖσιν, ἢ αὐταῖς ταῖς Ἀμαζόσι, ὡς καὶ αὐτοὶ ἡττηθέντες ὑπ' Ἀθηναίων, ὁ γὰρ τὰ αὐτὰ πάσχων ἑτέρῳ ἐγκαλεῖν οὐ δύναται· ἡ δὲ ἱστορία τοιαύτη· Θρᾷκες ἐστράτευσαν ἐπὶ τὰς Ἀθήνας, κατὰ τὸν χρόνον, καθ' ὃν οἱ ζ̄ ἐπὶ Θήβας, ὡς δηλοῖ ἐν Φοινίσσαις πρὸς Κρέοντα λέγων (deest Tiresiae nomen). ib.

Κἀκεῖ γὰρ ἦν τις πόλεμος Εὐμόλπου δορός.

Σὺν Εὐμόλπῳ] Paris. A. Δείκνυσι τὴν ἱστορίαν κ. τ. λ. vide. Apogr. Mon. ad superiora. Differt autem Paris. A. in his fere: πρότερον τῶν Ἀμαζόνων εἶναι — ὀργισθεὶς ἐπειδὴ ἡττᾶτο — κατὰ τῆς Ἀττικῆς ὡς πατρῴου, μηκυνομένου δὲ κ. τ. λ. reliqua sine varietate. ib.

Χρήσασθαι] Paris. A. Ὡς ἐπὶ ἀπολαύσεως τὸ χρήσασθαι εἶπε· πολλοὶ γὰρ ὑπὲρ τῆς πόλεως ἐπιδεδώκασιν ἑαυτούς. 204, C.

Λέγεται γὰρ Ἐρ.] Paris. B. eadem servat, quae bomb. 205, A.

Προσαγαγεῖν] Paris. A. Κοινῇ τὸ λέγεται, ἵν' ᾖ οὕτως, προσαγαγεῖν αὐτὴν ἡ μήτηρ λέγεται κοσμήσασα, ὥσπερ εἰς θεωρίαν καὶ πανήγυριν· ἐν ταύταις γὰρ ἔθος κοσμεῖσθαι τὰ γύναια· ἀπὸ δὲ τοῦ προσώπου τῆς μητρὸς αὔξει τὴν εὐδοξίαν. 205, B.

1) Cod. ὑπομαχίᾳ. — 2) f. ἀνδρῶν vel ἀνδρείων.

Digitized by Google

ib. *Καὶ οἶπος ἐν*] Paris. A. *Λοιμοῦ ποτε κ. τ. λ.* vide Ap. Mon. a quo in his recedit: *παύσεσθαι — Λεὼς δὲ οὕτως ὀνομαζομένην* (sic) *ἔχων τρεῖς Θ. — Εὐβουλίδην, Φρασθέαν* — Quae leguntur in bombyc., ead. in Paris. B.

ib. *Κόδρος δὲ*] Paris. B. *Ἀθηναίων καὶ Λακεδαιμονίων πολεμούντων ἔχρησεν ὁ θεὸς τοὺς καταρχομένους τῆς μάχης ἡττᾶσθαι· προσποιησάμενος οὖν ὁ Κόδρος ἀπῆλθε πρὸς Λακεδαιμονίους, παροξύνων αὐτοὺς εἰς πόλεμον· εἶτα ἐκεῖνοι ἐγνωσάντες ἀνεῖλον καὶ οὕτως ἡττήθησαν.*

ib. *Ὥστε καὶ οἷς ὑπάρχει*] Paris. A. [1] *Ἐπειδὴ καὶ Μεροικεὺς ἐπέδωκεν ἑαυτὸν ὑπὲρ Θηβαίων, ἵνα μὴ τοῦτο τὸ τῆς Ἀθηναίων πόλεως ἀγαθὸν τῇ κοινότητι τῆς πράξεως τοῦ ἐξαιρέτου ἀποστεροῖτο, λύει τοῦτο, πάντων εἰπὼν τῶν τοιούτων ἀρχηγὸν καὶ διδάσκαλον τὴν Ἀθηναίων πόλιν ὑπάρξαι καὶ πάντας τῆς τῶν καλῶν εἰσηγήσεως αὐτῇ ὑπεξίστασθαι καὶ παραχωρεῖν.*

206, A. *Κόδρῳ μὲν*] Paris. A. cum Apogr. consentit.

206, B. *Ἀλλήλοις*] Paris. B. *Τὰ πάντα σχέδον τῶν βιβλίων ἀλλήλους ἔχουσι, ὅπερ ἐστὶ σόλοικον κατὰ σύνταξιν, καί μοι δοκεῖ σφάλμα εἶναι τῶν ἀντιγράφων· εὕρηται γὰρ ἔν τινι βιβλίῳ παλαιῷ καὶ τοῖς πᾶσιν εὖ ἔχοντι,* [2] *ἀλλήλοις ὡμίλουν, καί ἐστι τοῦτο τἀληθές· λέγει δὲ καὶ αὖ δείγματα ὑπάρχουσι ταῦτα τῶν ἐν αὐτῇ προὐχόντων καὶ ἐλαττόνων, πῶς ἀλλήλοις ὡμίλουν, ἤτοι διετέθεντο καὶ διέκειντο, οἵ τε προὔχοντες τοῖς ἐλάττοσι καὶ οἱ ἐλάττους τοῖς προὔχουσι.*

207, B. *Τριῶν γὰρ ἐθνῶν*] Paris. A. *Κορινθίων, Εὐβοέων καὶ Θηβαίων λέγει, οἵ τινες* [3] *τῇ πόλει σὺν τῷ Κλεισθένει ἐπέθεντο, ἐκβληθέντος αὐτοῦ τῆς πόλεως ὑπὸ Κλεομένους· παρ' Ἡροδότου δὲ ἡ ἱστορία ἱστορεῖται.* Paris. B. consentit cum schol. ex bomb., cujus post finem haec addit: *διὰ δὲ τὸ εἰπεῖν τριῶν ἐθνῶν αὔξει τὸν πόλεμον.*

ib. *Φυγῆς αὐτὸ τιμῆσαν*] Paris. A. *Ἀντὶ τοῦ δίκην ἐπιβάλλειν, οὕτω γὰρ οἱ ῥήτορες τὴν κατάκρισιν τὴν ζημίαν.*

1) Initium hujus scholii servavit item B. — 2) Cod. ἔχοντα. — 3) Cod. οἵ τινες, sed corr.

Digitized by Google

Paris. B. *Τίμημα καὶ κατάκρισιν καὶ τιμωρίαν ἐπιβαλὸν, λέγω δὲ τὸ φυγεῖν, ἐπεὶ ὅλως κατὰ τῆς πόλεως ἐνεθυμήθη στρατεῦσαι.*

Τῆς αὐτῆς ἡμέρας] Paris. A. *Καὶ τοῦτο τοῦ Ἡροδότου· μετὰ τὸ διηγήσασθαι τὰ κατὰ τὸν Κλεισθένην καὶ ὅπως ὑπὸ Κλεομένους ἐξηλάθη, ἐπιφέρει, ὅπως ἀντιπαρατεταμένων τῶν Ἀθηναίων Δωριεῖς μὲν ἀνεχώρησαν, οὐ δίκαια γνόντες ποιεῖν, Ἀθηναῖοι δὲ Βοιωτοῖς ἐπελθόντες καὶ νικήσαντες δίκην ἀπήτησαν· ἀνέθεσαν δὲ τὰς πέδας ἐν ἀκροπόλει, αἷς τοὺς αἰχμαλώτους ἔδησαν, καὶ χαλκοῦν τέθριππον ἀπότισιν τῶν λύτρων, οὕτως Ἄγρων ἐν ἐπιγράμματι ἐπὶ τῷ τεθρίππῳ.* 207, C.

Αἰτιάσασθαι] Paris. A. *Ἀντὶ τοῦ αἰτίαν νομίσαι, οὐ γὰρ μέμψασθαι· ἀσεβὲς γάρ.* 208, A.

Φθειρομένους] Paris. A. *Περὶ Ἰώνων φησὶν, ὅτι ἐξεβλήθησαν ὑπ' Ἀχαιῶν Πελοποννήσου, Δωριέων κατελθόντων.* 208, D.

Σάρδεις] Paris. A. *Μητρόπολις τῆς Λυδίας· τότε γὰρ μετ' Ἀθηναίων ἐστράτευσεν ἐπὶ τὰς Σάρδεις· ἐπειδὴ δὲ ὕβριν ἐποίει τοῖς Ἀθηναίοις τὸ Ἐρετριέας συνάψαι αὐτοῖς, παρενθήκην ἐκάλεσεν αὐτοὺς, ὅ ἐστι προσθήκην.* 209, A.

Τέως δὲ ἐν Βαβ.] Ead. ferme in Paris. A. ib.

Πρόσχημα] Paris. A. *Ποτὲ μὲν τὴν πρόφασιν σημαίνει καὶ τὴν αἰτίαν, ποτὲ δὲ τὸ καλλώπισμα καὶ καύχημα· ἀλλὰ νῦν τὸ πρῶτον σημαίνειν βούλεται.* 209, B. 211, B.

Τῷ δ' ἑρμην.] Paris. A. c. Apogr. consentit. 212, A.

Οὗ τὸ διαλάττον] Paris. B. cum bomb., nisi quod diserte *φαντασίαν — Περσικὴν ἀγομένην ναῦν — ἁφηρήθη — σιδαρείαις — εἵστηκεν — κοὐκ ἐθέλει* — Paris. B. habet item *ἔφημεν.*

Τὸν μέγιστον ὅρον] Paris. A. et B. *Οἱ μὲν γάρ φασι τριάκοντα μυριάδας, ἄλλοι δὲ ο,*[1] *διὸ οὗτος αὐτὸς Ἀριστείδης ἐν ἑτέρῳ ἐπιταφίῳ αὐτῶν φησὶ τ̄ εἶναι μυριάδας· λέγει γάρ, οἳ μυρία ἐλάττους ὄντες σύμπαντες ἐναντία πεντήκοντα ἔταξαν τῷ Μαραθῶνι, τοσοῦτοι γὰρ ἦσαν* 212, B.

1) B. habet $\bar{\mu}$ et $\bar{\nu}$.

Digitized by Google

ὁ πρῶτος στόλος, ὃν [1] ἔπεμψε Δαρεῖος· διαλάττων δὲ λέγει τὸ ἀμφιβαλλόμενον, ἀφηγουμένους δὲ λέγει τοὺς ἱστορικούς, οἱ μὲν γὰρ μα φασὶ μυριάδας, οἱ δὲ μστ· μέγιστον δὲ ὅρον στόλου ἀντὶ τοῦ ἱκανὸν μέτρον στρατεύματος.

ib. *Φῦλον κομίζειν*] Paris. A. Ἴωνες γὰρ καὶ αὐτοὶ καὶ Χῖοι μόνοι νησιῶται· αἱ γὰρ καὶ ἄλλαι πόλεις αἱ ι παράλιοί εἰσιν, Ἔφεσος, Κολοφών, Πριήνη, Μυοῦς, Μίλητος, Φώκαια, Κλαζομένη, Τέως Λέβεδος, Ἐρυθραί· ἡ γὰρ Σμύρνη προσετέθη τῇ Ἰωνίᾳ, κατασχόντων αὐτὴν Κολοφωνίων.

213, A. *Σαγήνην*] Paris. A. Τὰς χεῖρας συμπλέξαντες καὶ δεσμήσαντες μηνοειδῶς περιέβαλον, ὅπως μηδεὶς φυγῇ.

213, B. *Ὡς ἄρα*] Paris. B. Τὸ ὡς ἄρα αἰτία ἐστι τοῦ οὐκ ἐνέχονται. [2]

ib. *Τὰ φεύγοντα διώκ.*] Paris. A. Ἀντὶ τοῦ ὑπόδικοί εἰσιν· οὐκ εἰδότες φησὶν, ὅτι ὑπόδικοί εἰσι τῇ παροιμίᾳ· ἔστι δὲ ἐπὶ τῶν ἀσθενῶν λεγομένη, τὰ φεύγοντα διώκουσι.

ib. *Ἐκ τοῦ πελάγους*] Paris. A. Ἱστορικῶς τοῦτο ἐξηγοῦνται ἐπὶ τοῦ κήτους, [3] τοῦ κατὰ τὴν Τροίαν ἀφεθέντος ἐκ θαλάττης, ἢ διὰ τὸν λοιμὸν, ὃν φησι Θουκυδίδης διὰ τοῦ πελάγους πρῶτον ἐμπεσεῖν εἰς τὸν Πειραιᾶ, ἢ καὶ ὡς κατακλυσμῷ τοῦτον τὸν στόλον ἀπεικάζων, ἢ σεισμῷ ἢ θυέλλῃ, ὅπερ ἐκ θαλάττης ἐπέρχεται. Paris. B. Ἐπέρχεται γὰρ ἀνθρώποις ἐκ θαλάττης κακὰ, κατακλύσεις καὶ σεισμοὶ καὶ κήτη φρικώδη.

213, B. *Πόμπην ἀγούσῃ*] Paris. A. Ἔθος ἐν ταῖς πανηγύρεσι ἕκαστον τῶν στρατιωτῶν τὸ ἴδιον σχῆμα φοροῦντα πομπεύειν. Δημοσθένης ἐν τοῖς Φιλιππικοῖς, οἱ λοιποὶ τὰς πομπὰς πομπεύουσι μετὰ τῶν ἱεροποιῶν.

213, D. *Ἀνέῳγε*] Paris. A. Ἔθος ἐν ταῖς ἀφόδοις κλείειν τὰ ἱερά· νῦν οὖν ὡς μὴ ἔχουσα πόλεμον οὐκ ἔκλεισε.

ib. *Τὸν ἀρχαῖον τρόπον*] Paris. A. Τὸ ἀρχαῖον ὡς ἐν

2) ὃν in Cod. deerat. — 2) Cod. τοῦ οὐκ ἂν εὔχοντο. — 3) Cod. ἀπὸ τοῦ κοίτους.

Digitized by Google

εἰρήνη εὐχομένη καὶ θύουσα, εἶχε πολέμῳ ταραττομένη καὶ οὐ συγχύσεως πληρουμένη.

Ἥσκητο] Paris. A. Ἐτεθεράπευτο, ἐτετίμητο. 214, A.

Ἀπέκρυψαν] Paris. A. Ἀντὶ τοῦ ὑπερβαλόντος (sic). τοῦτο δὲ ὡς πρὸς σύγκρισιν τῶν στεφανιτῶν ἀγώνων εἶπε. ib.

Ὑπερηφανία] Paris. A. cum Ap. consentit, nisi quod in clausula haec addit: ὁ δὲ ῥήτωρ νῦν ἐπὶ ἀλαζονείας ἔλαβεν. 214, C.

Παιῶνος] Paris. A. Παιών ἐστιν ᾆσμα πολεμικόν, φιλούμενον μὲν τοῖς μὲν ἄλλοις ἀνθρώποις, οὐ μόνοις δὲ Ἀθηναίοις. Paris. B. prorsus cum bomb. facit. 215, C.

Οὐκ ἔδωκαν ἰδεῖν] Paris. A. Ὁμηρικὸν τοῦτο τὸ 216, A.

Τυδείδην δ' οὐκ ἂν γνοίης ποτέροισι μιγέντα.

τὸ δὲ λεγόμενόν ἐστι τοιοῦτον· ἔπασχον οἱ βάρβαροι οὐκ εἰδότες, τὴν ὀξύτητα θηλῶν τῶν Ἀθηναίων. Huc igitur refer quaeso scholion, quod ad Θέοντες ex Ap. Mon. brevitate scholii deceptus, adscripseram.

Νῆες εἵλκοντο] Paris. B. cum bomb. consentit. ib.

Καὶ τρόπαια] Paris. A. Φρονήματι Πέρσαι κρατούμενοι ἐνόμιζον μὴ δέεσθαι πολέμου καὶ μάχης· διὸ καὶ ἐπὶ τῶν τριήρων εἶχον ἕτοιμα. Σώπατρος δέ φησι τὸν λίθον, ὃν ἦγον οἱ Πέρσαι, ἵνα στήσωσι τρόπαια, Ἀθηναίοι λαβόντες Νεμέσεως ἐποίησαν ἄγαλμα καὶ ἔστησαν ἐν Μαραθῶνι. Paris. B. cum bomb. consentit. 216, B.

Οὔτε γὰρ τὸ ἕλος] Paris. A. Ἕλος ἦν ἐν Μαραθῶνι μικρὸν παρακείμενον, ἐκ δὲ τοῦ ἑτέρου μέρους ἡ θάλασσα, ὡς εἶναι τὸ μέσον χωρίον τῆς μάχης στένον, ὅπερ ἡ Μαραθών. ib.

Μέγιστον ἐναντίωμα] Paris. A. Ἀσαφὲς τὸ χωρίον· τοιοῦτο δέ ἐστι τὸ διὰ τούτων: τὸ πλεῖον τοῦ στρατεύματος ἀπώλοντο, ᾧ καὶ μόνῳ τῷ ἀπολλυμένῳ χαλεπὸν ἦν... ἢ οὕτως καὶ τοῖς πλείοσιν ἢ ὅσοις ἐξαρχῆς ἐθάρρησαν ἀντιστῆναι ἥττους ἐγένοντο· οὕτω τὸ καταπέδας τῆς συντάξεως, ὁ δὲ νοῦς τοιοῦτος· ἀπώλοντό φησι πλείους στρατιᾶς οὐ μόνον ἐξαρκούσης εἰς πόλεμον ἀλλὰ καὶ δειλίαν 216, C.

Digitized by Google

τοῖς ἀντισταμένοις ἐμποιούσης τοσούτῳ πλήθει ὑποληφθέντες τῷ Περσῶν ἐγένοντο.

217, D. Νεανικώτερον] Paris. A. Ἀντὶ τοῦ τολμηρότερον· ἐπεὶ δὲ δοκεῖ τὸ ὄνομα μητροπόλεως κουφότερον εἶναι, ἀφορμὴν δὲ αὐτὴν καὶ κρηπῖδα εἶναι εἶπεν, οἱονεὶ ἀρχὴν καὶ ῥίζαν κ. τ. λ. vide Ap. Mon. ad ἀντὶ κρηπῖδος.

218, C. Οἶμαι μὲν οὖν] Paris. A. cum Ap., B. cum bomb. facit.

219, B. Οὐ μὲν ἐῶσί γε] Paris. A. Τὸ σχῆμα ὑπέρβατον, εἴρηται γὰρ πρὸς τὸ ἄνω, το εἶχεν ἂν πέρας ἀρκοῦν ὁ λογος (p. 218, C.), εἰ καὶ μόνον εἶπον τὰ εἰρημένα, ἀλλ' οὐκ ἐῶσι, φησὶν, ἀπελθεῖν αἱ πράξεις.

219, D. Τολμήματος] Paris. B. Εἰκότως εἶπε τὸ τολμήματος, δεικνὺς τὸ τῆς μάχης ἄνισον καὶ παράδοξον· ποῦ γὰρ ἴσον, ὀλίγους κομιδῇ πρὸς ἀριθμῷ κρείττους ἀγωνίσασθαι, ἢ τίς ἂν ἤλπισε τοῦτο; ἢ τὸ τολμήματος μὴ περὶ τῶν Ἀθηναίων, ἀλλὰ περὶ τῶν βαρβάρων ἐκληπτέον, ἵνα λέγῃ ἐντεῦθεν, ὡς ἀτόπου πράγματος ἐπεθύμησαν Πέρσαι, Ἀθηναίους καταστρέψασθαι, τοὺς ὑπερφυεῖς ἀγωνιστὰς ἐν πολέμοις· αἰτίους δὲ διαβάσεως λέγει τὸν Ἱππίαν καὶ τοὺς Ἀλευάδας, οἱ μὲν γὰρ Θετταλίας τυραννοῦντες ὑπ' Ἀθηναίων ἐξέπεσον, Ἱππίας δὲ ἠβούλετο τυραννῆσαι· οὗτος τοίνυν μετ' Ἀλευάδων εἰς Δαρεῖον ἐλθὼν πέπεικε κατ' Ἀθηναίων κατασρατεῦσαι· σαφέστερον οὖν λέγει τὴν ἱστορίαν ἐν τῷ ὑπὲρ τῶν τεσσάρων εἰς τὸν Μιλτιάδην.

220, C. Διοσημείας] Paris. B. cum bomb. facit, pro ἢν μετὰ recte servans κυμάτων, et παρὰ Διὸς γίγνονται.

ib. Ὅτι αὐτοῦ] Paris. A. c. Ap. Mon.

ib. Ἀήθεις δὲ ὀστέρας] Paris. A. c. Apogr., B. cum bomb.

221, A. Ἑστῶσι τοῖς ὠσὶν] Paris. B. Παροιμιά τὸ οὐχ. ἑστῶσι τοῖς ὠσὶν ἀκούειν ἐπὶ τῶν δυσχερῶν καὶ βαρυτάτων ἀκουσμάτων λεγομένη· εἴρηται δὲ ἐκ μεταφορᾶς ἐπὶ τῶν θηρίων, ἃ ὅταν κτύπου αἴσθωνται, χαλῶσι τὰ ὦτα, ἵνα μὴ ἔτι ἀκούωσι.

221, B. Ἀγνωμοσύνης] Paris. B. Ἀγνωμοσύνην ἐνταῦθα καλεῖ τὴν θρασύτητα· ἔστι δὲ καὶ ἡ ἀχαριστία καὶ ἡ μωρία.

Digitized by Google

Ἱππόκροτον] Paris. A. Ἵπποις ἐπίβατον ὁμοίως στα- 121, C.
δίῳ, καὶ τὴν παντελῆ δηλοῖ τῆς πόλεως ἔκλειψιν.

Ἱερά τε συμφλέξειν] Paris. A. [1] Τοῦτο κατὰ τὸ ἀλη- ib.
θὲς ἐποίησε· συμφλέξας καὶ ἐμπρήσας τὰς Ἀθήνας αὐτοῖς
ἱεροῖς, ἀμυνόμενος Ἀθηναίους τοὺς ἐν Σάρδεσι τὸ ἱερὸν τῆς
Ῥέας πυρπολήσαντας, οὐ κατὰ πρόνοιαν ὑπ' αὐτῶν γενο-
μένου τούτου, ἀλλὰ τῆς πόλεως ἐμπρησθείσης συγκατεφλέ-
χθη καὶ τὸ ἱερὸν, ὅπερ ὕβριν ἰδίαν ὁ Ξέρξης ἐνόμισεν· θή-
κας δὲ ἀναῤῥήξειν τοὺς τῶν προγόνων τάφους ἀνοῖξαι
καὶ διαφθεῖραι.

Ἀτλαντικοῦ πελάγους] Paris. A. [2] Περὶ τοῦ Ὠκεα- ib.
νοῦ τοῦτο τὸ πέλαγος· ἠπείλει οὖν καὶ τοῦτο, αὐτοὺς γε-
ωργῆσαι, δηλονότι ἀντλοῦντας ἢ προχοῦντας αὐτό· διὸ
καὶ ἐπιφέρει, ὕδωρ μὲν ἀντλοῦντας, πέτρας δὲ
ὀρύττοντας· κληρουχίας δὲ τὰς γεωργίας καλεῖ, ὡς ἔχο-
μεν καὶ παρὰ Δημοσθένει κληρούχους τοὺς γεωργοὺς λεγο-
μένους.

Καὶ γῆς ποίησιν ἔξω] Paris. A. Οὐ λέγει χωρὶς, ἀλλ' 221, D.
ἀντὶ τοῦ ἄλλην γῆν ποιήσειν δίχα τῆς οὔσης, τὸ γάρ ἔξω
ἀντὶ τοῦ δίχα κεῖται· προχοῦν δὲ ἀντὶ τοῦ προχοῦντας
εἰς τὸ πέλαγος· καί φαμεν, ὅτι οὐδὲν τὸ προχοῦσι καὶ λύει
ὥσπερ τῇ φωνῇ, οὕτω καὶ τῷ δηλουμένῳ ῥήματι εἶναι· καὶ
οὐδὲν βιάζεται ἡ σύνταξις ἀντὶ μετοχῆς τὰ ῥήματα ὑπονο-
εῖν, ἐπ' εὐθείας γὰρ οὕτω προβαίνει, ἠπείλει κληρουχίας
ἀτίμους, ἠπείλει γῆς ποίησιν, ἣν ἠπείλει ἀναγκάζειν προ-
χοῦν εἰς τὸ πέλαγος· τὸ δὲ τοσαῦτ' ἔχοντας τοῦ σώ-
ματος, [3] ἀντὶ τοῦ χεῖρας καὶ πόδας, οἷς ἐργάζοιντο, τὰ λοι-
πὰ δ' ἀποκόψειν.

Ῥαχίαν] Paris. A. Ῥαχία λέγεται πᾶς ὁ πετρώδης 222, B.
τόπος, μάλιστα δὲ οἱ θαλάσσης ἐχόμενοι· καὶ τοὺς μὲν τοι-
αύτην οὖν οἰκοῦντας ῥαχιάν εἰς πόλεμον ἤγαγε καὶ τοὺς
τὴν Κασπίαν θάλατταν, τοῦτο γὰρ βούλεται αὐτῷ σημαί-
νειν ὁ ἄνω Περσικὸς κόλπος· τὸ δὲ ἀσύμβολον ἀντὶ τοῦ

1) Similia inveniuntur in Paris. B. — 2) Similia in Paris. B., non addito Demosthenis testimonio. — 3) Cod. τὸ δὲ τοσοῦτον ἔχοντα τοῦ σώματος.

Digitized by Google

ἀνεράϊστον, ἀσυντελῆ, ἀσύλλογον, συμβολὴ γὰρ ὁ ἔρανος ὁ συντετελεσμένος λέγεται.

223, B. Κίμιηλοι] In Paris. A. eadem, quae in marg. Schellersh.

223, C. Δένδρον ἦν αὐτῷ] Paris. Τοῦτο καὶ Ἡρόδοτός φησιν, παρέσχεν αὐτῷ τοῦτο Πυθέας ὁ Λυδός.

ib. Πολλοῖς δ' ἦν ἀφανὴς] Paris. A..... Καὶ οὐχὶ ἀφανὴς γραπτέον, ἀλλ' ἀφανές, ἵν' ᾖ οὕτω, πολλοῖς δ' ὢν ἦγεν ἦν ἀφανές, οὗ γῆς εἴη τὸ πλῆθος δηλονότι· τῷ γὰρ πόλιν τύπτον (sic) ἐπέχειν τὸ στρατόπεδον καὶ μηδένα χῶρον οὕτω μέγαν εἶναι, ὡς ὑπερβάλλειν καὶ μὴ ἀποκρύπτεσθαι ὑπὸ τούτου, καὶ ἡ ἄγνοια αὐτοῖς εἵπετο, οὗ γῆς εἴησαν, καὶ ὅτι τοῦτο καὶ αὐτὸς ἐπιφέρει, οὐδὲν ἦν ἔθνος τῶν κατὰ τὴν πορείαν μεῖζον ἢ κρύπτεσθαι, ἀντὶ τοῦ οὐ οὕτω μέγα τὸ ἔθνος ἐτύγχανεν, ὡς μὴ τῷ πλήθει τῶν ἑπομένων καλύπτεσθαι· ἔθνος δὲ οὐ νῦν τὸ πλῆθος τῶν ἀνθρώπων, ἀλλὰ τὸν κατοικούμενον τόπον ἀκουστέον.

225, A. Αὐτῇ σκευῇ] Paris. A. Ἀττικὴ ἡ σύνταξις, οὗτοι γάρ φασι ἀντὶ τῆς σὺν προθέσεως τὸ αὐτῇ συντιθέντες ἢ αὐτοῖς ἢ αὐτῷ· ἀντὶ γὰρ τοῦ εἰπεῖν σὺν τοῖς ἀνδράσιν εἶλω αὐτοῖς ἀνδράσι λέγει (f. λέγουσι)· καλεῖ δὲ σκευὴν τὴν ἐσθῆτα τῶν βαρβάρων καὶ ἐπειδὴ ποικίλη ἦν, εἶπε καὶ ποικίλμασι.

225, B. Πάντα χρήματα μίγνυται] Paris. A. Δημοκρίτου τοῦτο τοῦ φυσικοῦ φιλοσόφου, ὃς πάντα ἐν πᾶσιν ἀξιῶν εἶναι τὰ τῶν ὑλικῶν αἰτίων ἔφασκεν ὁμοῦ πάντα χρήματα· ἐκ τούτου ἐξέπεσεν, ὥστε παροιμιῶδες ἐπὶ τῶν συγκεχυμένων πραγμάτων τοῦτο λέγεσθαι, ὃ καὶ νῦν οὗ φησὶν, ὅτι σύγχυσις τῶν πραγμάτων ἔσεσθαι διηγγέλλετο, τοὺς τελευταίους δὲ κερδανεῖν τῶν Ἑλλήνων φησὶν οὐ τῷ σώζεσθαι, ἀλλὰ τῷ τελευταίους πεσεῖν.

226, C. Τὸν Ἀλέξανδρον τῆς Ἑλένης] Paris. B. cum bomb. consentit.

228, A. Κατ' αὐτὸ ψηφιζομένων] Paris. A. Ἀντὶ τοῦ κατὰ τοῦτο [1] ψηφιζομένων· σοφῶν δὲ λέγει ἀντὶ τοῦ φρονίμων, δεύτερον δὲ τοῦτο κατόρθωμα εὐβουλίδης [2] δείκνυσι, τὰ δ'

1) f. κατὰ τὸ αἰτὸ Ψ. — 2) sic Cod., f. εὐβουλίας.

Digitized by Google

ἄλλα μάταια· αἰνίττεται δ' εἰς Πλάτωνα, ὅτι ἐκεῖνος διέβαλε καὶ τοὺς[1] περὶ Θεμιστοκλέα ὡς δειλούς,[2] ἐπειδὴ τὸ πεζομαχεῖν ἀφεθέντες πρὸς τὸ ναυμαχεῖν ἐτράπησαν· ὃ νῦν Πλάτων εἰς ἀνανδρίαν τῆς πόλεως διέβαλε, τοῦτο Ἀριστείδης εἰς ἔγκώμιον τίθησι καὶ Θεμιστοκλέους καὶ τῶν ἄλλων Ἀθηναίων.

Οἱ μὲν γὰρ εἰς Πύλας] Paris. A. cum Ap. consentit, B. cum bomb., nisi quod in B. est ἐφθάρησαν pro διεφθάρησαν, quod est in bomb. 228, B.

Χειμάῤῥους] Paris. A. *Σιμωνίδης·* 229, A.

Εἰ τὸ καλῶς κ. τ. λ.

differt in eo, quod σπεύδοντες — περιθεῖναι — verba ἄλλο τοῦ αὐτοῦ Σ. desunt — *Παῖδας* — ἐξελάσαντες. Paris. B. cum bomb. facit. Praeterea haec ex B. descripsi: *Εἰπὼν πρῶτον περὶ τῆς εὐβουλίας ἐσκιασμένως, εἶτα καὶ περὶ τῶν τριήρων πλατύτερον, βούλεται νῦν περὶ τῆς τῆς πόλεως ἀπολείψεως διεξελθεῖν. Οὕτω δὲ καὶ Θουκυδίδης ἐν τῷ ἐπιταφίῳ ποιεῖ, σεμνύνων,* (sic in iis leg., quae ex bomb. dedi, non *σεμνύων*, quod mihi scribenti exciderat) *κ. τ. λ.* sequuntur autem, quae in bomb. leguntur. Idem fere obtinet in Paris. A., ubi sic: *Πληρώσας τὴν εὐβουλίαν καὶ τὰς τριήρεις μεταβαίνει ἐπὶ τὸ τρίτον τὴν κατάλειψιν τῆς πόλεως, ὅπερ ἐστὶ τολμηρόν. Οὕτως δὲ ποιεῖ καὶ Θουκυδίδης, βουλόμενος δεῖξαι κ. τ. λ.* vid. Ap. Mon.

Τῷ πλήθει τῶν τρ.] Ead. in Paris. A. leguntur, quae in marg. Schell. 229, C.

Ἀλλ' ἀπέραντα ποιεῖ καὶ τοῖς ἐν Ἅιδου καταδ. ὁμ.] Paris. A. nonnisi ea continet, quae ex Ap. usque ad πληρῶσαι dedi, reliquis omissis. Paris. D. integrum hoc scholion, et uberius etiam servavit: Ὑπεκφυγόν — post πληρῶσαι haec adduntur, *ταῦτα δὲ Τάνταλος μὲν κατεκρίθη ὑπὲρ τοῦ τὰ ἐκ τῆς τῶν θεῶν συνεστιάσεως μυστήρια ἔκφορα τοῖς ἄλλοις ποιεῖν· αἱ δὲ* (sc. *Δαναΐδες*) *ὅτι τοὺς ἄνδρας φονευσάσαι δίκην ταύτην ἔτινον τοῦ φόνου·* 231, A.

1) Cod. τοῦ. — 2) Cod. δήλους.

Digitized by Google

αἰνίττεται δὲ οἶμαι Ταντάλου κ. τ. λ. pergit Paris. D. cum Ap. M., a quo quid differat, adponam: ἐν ὅσῳ γάρ τι — ἡ λήθη τοῦτον ὑποτρ. — τὸ ἄγος καὶ μηδαμῶθεν ταύτην — Quae in Ap. M. post καταδίκην ἰδεῖν adduntur, ea in D. desunt. A. bomb. Parisinus B. tantum in eo differt, quod ὑπὲρ κεφαλῆ habet.

234, C. Ὅτι εἰ μὲν δέχεσθε] Paris. A. cum Ap. facit, pro εἰ δέ κε μὴ δώωσι exhibens εἰ δέ κε μὴ δίδωσι.

234, D. Ἡμῖν δ' ἕτερος] Paris. B. Δεῦν οὕτως εἰπεῖν, ἡμῖν ἕτερος δώσει, ἡμῖν δὲ εἶπεν ἀττικῷ ἔθει, καὶ γὰρ ἐν ταῖς ἀποδόσεσι οὕτως εἰώθασιν οὗτοι ποιεῖν, ὡς ἔχει τὸ τοῦ Σοφοκλέους· εἰπὼν γὰρ ὥσπερ γὰρ ἵππος, ὡσαύτως δὲ σὺ εἶπεν ἐν τῇ ἀποδόσει.

235, A. Μὴ γὰρ ὅτι λειπομένης] Paris. B. Σημείωσαι τὴν σύνταξιν· δέον γὰρ οὕτως εἰπεῖν, μὴ γὰρ ὅτι λειπομένης μὲν τῆς θαλάττης, αὐτοὺς δὲ ὄνταξ τοιούτους .... καταστῆναι ἡγεμόνας τῶν ἄλλων, ὁ δὲ οὐχ οὕτω τὴν ἀπόδοσιν ἐποιήσατο, ἀλλὰ τὰς μὲν αἰτιατικὰς ταύτας ἀναποδότους εἴασεν εἰς τὸ φανερόν, ἔδωκε δὲ ἡμῖν ἐλλειπτικῶς ἐννοεῖν τὴν ἀπόδοσιν, ἐκ τοῦ ἔδει δὲ ἐκ τῶν ὑπαρχόντων σκεψαμένους τοὺς ἡγησομένους καταστῆσαι.

235, C. Οἱ δὲ ναύαρχοι] Paris. A. Λέγει δὲ τοὺς στρατηγούς· οὕτω γὰρ κ. τ. λ. vid. Ap. M.

235, D. Ταῖς ψήφοις] Paris. A. Ἐνταῦθα ἡ ἀπόδοσις διὰ μακρῶν· ταῖς ψήφοις δὲ τῆς νίκης λέγει· ἐπιστήμην δὲ τὴν ναυτικὴν καλεῖ τέχνην καὶ τοῦτο δὲ ἄλλο δικαίωμα.

236, C. Καὶ μὴν εἰ μὲν] Paris. B. Τὸ σχῆμα διλήμματον· τὸ δὲ ἀμφοῖν χεροῖν παροιμία ἐστὶ ἐπὶ τῶν σφοδρῶς καὶ ἐκ περιουσίας πραττομένων λεγομένη· ὁ γὰρ ἀμφοτέραις χερσὶ πράττων μετὰ ἐπιτάσεως πράττει· ἔστι δὲ ἴμοιον καὶ τὸ ἐκ δυοῖν ποδοῖν.

237, B. Ὅπως χρὴ προσίεναι (πρ. deest in Paris. B., Barocc. 7. et Coll., in Schell. add. a rec. m.)

ib. Τοῖς βαρβάροις] Paris. A. Προσυπακουστέον τὸ πολεμεῖν, μᾶλλον δὲ ἀπὸ κοινοῦ τῷ ἀνωτέρω ληπτέον, ὅτε ἔλεγεν ἐν ᾧ στασιάζειν καὶ πολεμεῖν.

Digitized by Google

Βάσανον καρτερίας] Paris. A. *Ἀντὶ τοῦ δοκιμασίαν, πεῖραν· ἢ μεταφορὰ ἀπὸ τῆς βασάνου λίθου, ἣ τὸν χρυσὸν βασανίζει.* 237, C.

Εἰ δ' οὐδένων τὸ ἑλ. sic Paris., et B.] In marg. Paris. B. *Ἀντὶ τοῦ ἐν οὐδένι δέον τι γνωριζομένων.* ib.

Συνετάξαντο] Paris. B. *Τὸ συνετάξαντο ἀντὶ τοῦ εἰσέφερον, σύνταξις γὰρ ἡ φορά.* ib.

Ἀριστεῖα] Paris. A. *Ἀριστεῖα λέγει τὰ ἐξαίρετα τῶν λαφύρων· ἐν Κορίνθῳ γὰρ συλλεγέντες ταῦτα τῇ Ἀθηναίων πόλει ἀπένειμαν· μέμνηται κ. τ. λ.* cf. Ap. Mon. Paris. B. *ἀκινάκην* habet, cum bombicinus *ἀκινύκιν.* 239, A.

Σύλλογος] Paris. A. *Κυρίως ἐστὶν, ὅταν εἰς πόλιν συνάγωνταί τινες ἀπὸ τῆς αὐτῆς πόλεως· σύνοδος δὲ, ὅταν ἐκ πολλῶν ἐν μιᾷ συνάγωνται.* 239, C.

Μικρολογουμένου] Paris. B. *Ἐπειδὴ μικρολόγος ἐστὶν ὁ περὶ τὰ σμικρὰ διατρίβων, νῦν ἕτερον τρόπον ἀντὶ φειδωλίας τῇ μικρολογίᾳ ἐχρήσατο· μικρολογουμένου εἶναι λέγων, τουτέστι φειδωλοῦ, τὸ περὶ μεγάλων ἐγχειρήσαντα λέγειν τὰ πλεῖστα τούτων παραλιπεῖν.* 241, A.

Συμβάντος γὰρ τοῦ] Paris. A. *Πάθους εἶπεν, ἐπειδὴ οὐχ ἡττήθησαν, ἀλλ' ἐδυστύχησαν ὑπὸ Θετταλοῦ προδόντες· καλῶς δὲ Πυλῶν μνημονεύσας τὸ εἰσεχέοντο εἶπε· λαμπρῶς δὲ λέγει ἀντὶ τοῦ μεγάλως, σφαλερῶς δὲ ἀντὶ τοῦ ἐπικινδύνως, μετὰ γὰρ τὸ μῆκος ἔτι κωλύσαι τούτους τὴν εἴσοδον αὐτῶν εἰσῆσαν οἱ βάρβαροι.* ib.

Μεγαλοψυχία] Paris. A. [1] *Κυρίως μὲν ἐπὶ χρημάτων λέγεται δαπάνης, ἐνταῦθα δὲ καταχρηστικῶς τὴν τῆς πόλεως ἔφη καταφρόνησιν· τὰ δὲ ἑξῆς οὕτως, ἀλλὰ καὶ τῇ μεγαλοψυχίᾳ οὐδεὶς ἀνθρώπων ἐκείνοις ὅμοιος, τὸ γὰρ τίς καὶ ἀντὶ τοῦ οὐδεὶς λαμβάνεται, ὅτε ἀπορητικῶς αὐτῷ χρησόμεθα, ὡς τὸ τίς οὐκ ἔστιν ἄνθρωπος, ὃς οὐκ ἀποθανεῖται; λαμβάνεται δὲ καὶ ἐπὶ τοῦ σπανίου, εὖ-* 242, A.

1) Brevioribus absolvit Paris. B.

Digitized by Google

ρισκόμενον ἐπὶ τῆς αὐτῆς ἐννοίας, ὡς τὸ τίς ὁ φρόνιμος ὃ ταῦτα κατα πραξόμενος.

242, B. Ἀλλὰ μὴν τό τε γνῶναι] Paris. A. Διττὴ τούτου ἡ γραφή, ἡ μὲν πρὸς εὐθεῖαν, ἡ δὲ πρὸς δοτικήν, ἵν' ᾖ οὕτως, ἀλλὰ μὴν ἐν τῷ γνῶναι τὸ μόνον συνοῦσιν[1] τοὺς πώποτε ἐνίκησαν τῷ δόγματι, ἡ δὲ πρὸς εὐθεῖαν οὕτως ὑπὸ παλαιοτέρου ἔτυχεν ἐξηγήσεως, ἀλλὰ καὶ κατὰ τὸ γνῶναι τίς ὅμοιος ἐκείνοις; πρὸς τὸ πρῶτον γὰρ ἀπυδοτέον, ὃ δὲ νοῦς τοιοῦτος· ἀλλὰ μὴν τίς ὅμοιος ἐκείνοις εἰς σοφίαν, δι' ἣν σοφίαν, καὶ τῷ δόγματι τῆς εὐπειθείας τῆς τιμωμένης ὑπὸ τῶν ἀρχόντων νενικήκασι πάντας· ἐνίκησαν τοιγαροῦν τῷ ἡγεμονεύεσθαι· δόγματι δὲ λέγει ἢ ἁπλῶς τῇ τοιαύτῃ γνώμῃ ἢ ὅτι καὶ ψηφίσματι παρεχώρησαν, ὡς καὶ ὄπισθεν εἶπεν.

242, C. Πρὸς τὴν Σαλαμῖνα] Paris. A. Ἀρτεμίσιον χωρίον πρὸ τῆς Εὐβοίας, ἔνθα πρὸ τῆς Σαλαμῖνος ἐναυμάχησαν πρὸς τὰς πρόπλους τριήρεις τῶν βαρβάρων.

243, B. Διεκώλυσαν] Paris. A. cum Ap. M. consentit, pro οἰκίου exhibens οἰκίννου, B. cum bomb. pro Σύκινον servans Δίκυνον, et ἐπιθὲς σφίσι.

244, A. Ἀλλὰ πρῶτοι μὲν κ. τ. λ.] Paris. B. Σόφιλός τις κ. τ. λ. vide bomb.

244, B. Ὥστε ἐν τοῖς πολ.] Paris. A. et B. sine ulla varietate cum Ap. et bomb. consentiunt.

ib. Ὑφ' ἡλίῳ] Paris. A. Ἀντὶ τοῦ ἡλίου μαρτυροῦντος, παρὰ τὸ Ὁμηρικόν·

Ἠέλιός θ' ὃς κ. τ. λ.

ἀπὸ κοινοῦ δὲ τὸ πᾶν ἐξειργάσαντο.

244, C. Οἵπερ ἦσαν] Paris. A. Φοίνικας λέγει· οὗτοι γὰρ ἦσαν οἱ ναυτικώτεροι τῶν βαρβάρων.

ib. Παντοδαποῖς τῶν ἔργων εἴδεσι] In Paris. A. inde a πολλοῖς — τουτέστι, ne hac quidem vocula retenta, non leguntur: praeterea, διλήπλοις pro διέκπλοις.

1) f. διασώζειν.

Digitized by Google

Οἱ πορθμοὶ] Paris. B. *Πορθμοὺς λέγει τὰ μεταξὺ τῶν παρακειμένων τῇ Ἀττικῇ νήσων.* 245, B.

Τὴν πρὸ τῆς Σαλαμῖνος ν.] Paris. A. et B., non memorabili varietate, cum Ap. et bomb. consentiunt. 245, C.

Ἀνταίρειν] Paris. B. c. bomb. 246, A.

Παλινῳδίαν] Paris. B. c. bomb. 246, D.

Τὴν σχεδίαν] Paris. B. *Τὸ τοῦ Ἑλλησπόντου ζεῦγμα· ἐφοβεῖτο γὰρ, μὴ φθάσαντες οἱ Ἕλληνες αὐτὸν κωλύσωσι καὶ ταύτην διαφθείρωσι.* 247, A.

Ταῖς τοῦ θεοῦ μ.] Paris. B. a bomb. in his differt: *ὁ μὲν γὰρ ἔλεγε* deest — *Τριτογενίη.* 247, B.

Τοῖς ἀπ' Ἑλ.] Paris. A. *τὸ μέλλειν — γέγονε* omittit, itemque *ἦσαν δὲ καὶ* et quae ad finem usque adduntur. B. cum bomb. facit, *κονιορτὸς πέσοι* et *ἀφανῶς λεχθ.* servans. 248, A.

Καὶ πολεμίων] Paris. A. *Προσυπακουστέον κρίσει· οἱ γὰρ Πέρσαι ἐνόμιζον μὴ πρότερον νικήσειν, πρὶν ἂν λάβοιεν πρώτους Ἀθηναίους, ὅθεν ἔμπαλιν ἡττώμενοι αὐτοὶ οὗτοι τὰ ἀριστεῖα ἔδοσαν τῇ πόλει τῶν Ἀθηναίων.* 248, B.

Θανατῶν] Paris. A. *Καὶ γὰρ αὐτὸς ἀνέπεισε Ξέρξην κατὰ τῶν Ἑλλήνων, στρατεῦσαι μετὰ Ἀλευαδῶν καὶ Πεισιστρατιδῶν· μονῆς δὲ ἀντὶ τοῦ παραμόνης Θουκυδίδης· ὅμοιον δὲ τὸ ἔγνω τε καὶ τόλμησις τῷ Ὁμηρικῷ·*

. . . . ῥέξας τι μέγα ἔργον. ib.

Τῆς στρατείας αἴτιος] Paris. B. *Οὐ μόνον φαμὲν, αἴτιός εἰμι τῷδε τοῦδε, ἀλλὰ καὶ αἴτιός εἰμι τῷδε* (sic), *ὥσπερ κἀνταῦθα.* ib.

Οὐ μὴν οὐδὲ] Paris. A. *Σοφίζεται ἐνταῦθα· οὐδὲ γὰρ Ἀθηναίων, ἀλλὰ Λακεδαιμονίων τὸ ἔργον, Παυσανίου τῶν Ἑλλήνων ἐν Πλαταιαῖς ἡγουμένου· μᾶλλον οὖν δεῖ νοῆσαι, ὅτι μετὰ τὸν πόλεμον εἵλοντο οἱ Ἕλληνες ἡγεμόνας Ἀθηναίους· ἑτέρων δὲ εἶπεν ἐδέησε, τῇ γὰρ τῶν συμμάχων, οὐκ ἄλλων τινὶ μαρτυρίᾳ τοῦτο ἐπράχθη· βούλεται διὰ τοῦ ἑτέρων καὶ τοῦτο ὑπαινίττεσθαι, ἦσαν γὰρ οἱ Ἕλληνες καὶ πρὸς Γέλωνα πέμψαντες περὶ συμμαχίας εἰς Σικελίαν· ὁ δὲ ἔφη αὐτοῖς συμμαχεῖν, εἰ λάβοι τὴν ἡγεμονίαν,* 248, C.

Digitized by Google

ᾧ σοφῶς ἀντέκρουσαν οἱ Ἕλληνες συμμάχων οὐχ ἡγεμόνων δεῖσθαι.

249, D. Τῶν ἐκ Δελφ.] Paris. A. Σοφίζεται — Τροφωνίου om. — πῶς ἂν λάβοι — χρησμὸς καριστί — πάντως τῶν ἄλλων —.

250, B. Ἀλέξανδρος] Paris. B. Ἀλέξανδρος οὗτος βασιλεὺς Μακεδονίας ἦν, παππος Φιλίππου, τοῦ Ἀλεξάνδρου πατρός· διὰ γοῦν τὴν ὑπερβάλλουσαν ἀγαπὴν αὐτοῦ πρὸς τοὺς Ἕλληνας ἐκαλεῖτο φιλέλλην· σκόπει δὲ, ὅπως ηὔξησε τὴν πρεσβείαν εἰπὼν βασιλεὺς Μακεδονίας. Paris. A. Ηὔξησε δὲ τὴν πρεσβείαν διὰ τὸ βασιλέα εἰπεῖν· οὐκ ἦν δὲ Ἀλέξανδρος ὁ φιλέλλην ἀπὸ τοῦ ἔργου ὀνομασθείς.

ib. Θαυμάσαι] Paris. A. Τὸ θαυμάσαι οὐκ ἐπὶ τοῦ ἐκπλαγῆναι, ἀλλ' ἐπὶ τοῦ καταδέξασθαι, ὡς καὶ παρὰ Ἀριστοφάνει ἐν Νεφέλαις (1150).

χρὴ γὰρ ἐπιθαυμάζειν τι τὸν διδάσκαλον.[1]

ἀντὶ τοῦ δωρεῖσθαι· τὸ δὲ ἑξῆς οὕτως, οἱ δὲ τοσοῦτον ἀπέσχον τοῦ καταδέξασθαι τὸν λόγον, ὡς καὶ τὸν νομίσαι ἄξια ἑαυτῶν εἶναι, εἰ καὶ σύμπαντα (sic), ἃ ἐκέκτητο· Δημόσιος ἦν φίλος τῶν Ἀθηναίων, τοῦτο γὰρ βούλεται ὁ πρόξενος.

250, C. Διδόντα] Paris. B. Τὸ διδόντα διπλοῦν λάμβανε πρὸ τὴν σύνταξιν οὕτω, ἢ καὶ τὸ νομίσαι ἐκεῖνον εἶναι· διδόντα ἄξια σφῶν, διδόντα σύμπαντα, ἃ κέκτηται· λέγει δὲ, ὅτι εἰ καὶ πάντα, ἃ εἶχεν, ἐδίδου αὐτοῖς, οὐδαμῶς ὑπήχθησαν. Προξενίαν δὲ λέγει ἐνταῦθα τὴν φιλίαν, ἢ διότι φίλος αὐτοῖς ἦν παλαιὸς ὁ Ἀλέξανδρος, ἢ πάντας, ὡς ἔφημεν, ἐφίλει τοὺς Ἕλληνας· ἔστι δὲ καὶ προξενία ἡ ξενοδοχία καὶ προξενῶ τὸ ξενόδοχός τινός εἰμι, γενικῇ συντασσόμενον· μαρτυρεῖ δὲ καὶ Δημοσθένης λέγων, παρά σοι κατέλυον, Αἰσχίνης, καὶ σὺ προὐξένεις αὐτῶν.

ib. Ἀπέστειλαν] Paris. A. Τὴν αὐτὴν δὲ τιμωρίαν καὶ Θουκυδίδης εἶπε περὶ τοῦ Μελησάνδρου· ἀγωγοὺς δὲ Θου-

1) Cod. χρὴ γάρ τι θαυμάζειν τὸν διδάσκαλον.

Digitized by Google

κυδίδης τοὺς προπομπούς. (Inde et emenda et supple, quae ex Ap. ad τοῦ λοιποῦ πρ. dedi).

Πρὸ ἡλίου δύνοντος (rec. m. *δύναντος*)] Paris. B. *Τοῦτο δοκεῖ ἀναπόδοτον, ἔχει δὲ οὕτως· εἰπὼν γὰρ οὐ μὴν ἀδεᾶ καθάπαξ ἀπέστειλαν, καὶ δέον οὕτως ἐπαγαγεῖν, ἀλλὰ ἀπέστειλαν, ὡς οὐκ ἄνευ θανάτου τὰ τοιαῦτα πρεσβεύσοντα, εἰ μὴ πρὸ ἡλίου δύναντος ἐκτὸς ὅρων εἴη, προειπόντες καὶ τοῦ λοιποῦ ἄλλο τι τοῖς Ἀθηναίοις μᾶλλον προξενεῖν, ἢ τι τοιοῦτον, ὃ δὲ ὕστερον ἔθηκεν, ὡς οὐκ ἄνευ θανάτου, διὰ τὸ δύνασθαι πρὸς ἄμφω ἀποδίδοσθαι, πρός τε τὸ εἰ μὴ πρὸ ἡλίου δύναντος ἢ τὸ ἄλλο τι προξενεῖν.* ib.

Μεγαλοψυχίαν] Paris. A. *Κατεχρήσατο μεγαλοψυχίαν[1] ὡς ἐπὶ ὀργῆς εἰπών, καὶ οὐ μόνον ἐπὶ τῆς καταφρονήσεως τῶν χρημάτων.* 252, A.

Μαρδόνιος τοὺς Λακεδ.] Paris. B. *Ἐπειδὴ Λακεδαιμόνιοι παρεχώρησαν Ἀθηναίοις, πρώτους ἀπαντῆσαι πρὸς τὴν μάχην, μαθὼν ὁ Μαρδόνιος ἀφῆκε μὲν Ἀθηναίοις συμβαλεῖν, πρὸς δὲ τοὺς Λακεδαιμονίους ὥρμησαν πρώτους, εἰδὼς, ὅτι γενναίως μὲν πολεμοῦσιν, ἀπὸ τῆς ἐν Πύλαις μάχης, ἡττῶνται δέ, Ἀθηναῖοι δὲ καὶ πολεμοῦσι γενναίως καὶ ἀήττητοι διαμένουσιν, ὥστε ἡ πρὸς Λακεδαιμονίους μάχη ἐλυσιτέλει μᾶλλον αὐτῷ.* 254, A.

Παραδειγμάτων] Paris. B. *Λακεδαιμόνιοι γὰρ ἐν Πύλαις ἡττήθησαν, Ἀθηναῖοι δὲ ἐν Σαλαμῖνι ἐνίκησαν.* ib.

Οἱ πυκταὶ] Paris. B. *Οἱ πυκταὶ περὶ τοῦ τόπου φιλονεικοῦσιν ὑψηλότεροι στῆναι τῶν ἀντιπάλων καὶ πρὸς τούτοις φροντίζουσι, μὴ ἀντικρὺς ἔχειν τὸν ἥλιον· ἔπασχον δὲ τοῦτο καὶ Πέρσαι καὶ Ἕλληνες, οἱ μὲν πρώτοις τοῖς Λακεδαιμονίοις συμβαλεῖν θέλοντες, Ἕλληνες δὲ προτάττοντες Ἀθηναίους.* 254, B.

Καὶ δέησαν] Paris. B. *Ἐπειδήπερ ἐν Πλαταιᾶσιν οἱ Πέρσαι ἡττήθησαν, οἱ προὔχοντες αὐτῶν κατέφυγον εἰς τὰς Θήβας· ὑποδεξαμένων αὐτοὺς Θηβαίων Ἀθηναῖοι νῦν* 254, C.

1) Similia his leguntur in Paris. A.

Digitized by Google

περιστάντες ἐτειχυμάχουν, οἱ ἄλλοι δὲ τῶν Ἑλλήνων οὐκ ἤδεσαν τειχομαχεῖν· διὰ τοῦτο οὖν λέγει, ὅσον αἰσχυνθείη τις ἂν εἰπεῖν, οἱ ἄλλοι πρὸς αὐτοὺς ἦσαν, ἢ ἤδεσαν μὲν, ἀλλ' οὐ τοσοῦτον, ὅσον ἐκεῖνοι.

255, B. Τοσοῦτον γὰρ ἐπεξῆλθον] Paris. A. et B. Τοῖς πράγμασιν λέγει ἀντὶ τοῦ τῷ πολέμῳ· βούλεται εἰπεῖν, ἃ Κίμων ἐν τῇ Ἀσίᾳ ἐποίησεν· ὕστερον γὰρ ἐπεστράτευσαν Ἀθηναῖοι εἰς τὴν Ἀσίαν, τῆς ἐπιβουλῆς αὐτοὺς ἀμυνόμενοι.

ib. Ὁρῶ μὲν οὖν] Paris. A. [1] Εἰς τρία μέρη διαιροῦσιν ὡς καὶ τῆς πανηγύρεως τῶν Ἀθηναίων οὐ διὰ μιᾶς ἡμέρας πληρουμένης· τὸ μὲν οὖν πρῶτον μέρος ἕως ὧδε πληροῦται, ἔχεται δὲ τοῦ δευτέρου· διὸ καὶ προοιμιάζεται πάλιν· ἄλλοι δὲ λέγουσιν ἐντεῦθεν τὸ τρίτον μέρος, εἰς δὲ διαιροῦντες, ἐπεὶ κατ' αὐτοὺς καὶ ἡ πανηγύρις διὰ τεσσάρων ἡμερῶν ἠγύετο.

255, D. Συμβάλου] Paris. A. Σύμβολον λέγει τὸ αἴτιον, ὅτι ἡ πανήγυρις αἴτιον τοῦ οὕτω λεχθῆναι τὸν λόγον.

256, A. Τό πλῆθος] Paris. A. Ἐπὶ τρεῖς γὰρ ἡμέρας ἤγοντο τὰ Παναθήναια.

256, B. Τὸν ὅλον γε δή που] Paris. A. Ἐμφαίνει καὶ τὸ τρίτον μέρος τοῦ λόγου· λέγει δ' ὅτι κἂν ἐν τῇ σήμερον ἡμέρᾳ οὐκ ἔχω καιρὸν διηγήσασθαι τὰ λοιπὰ, ἀλλ' οὖν ἔχω καιρὸν διηγήσασθαι τὸν τῆς αὔριον. Ἱερομηνίαν λέγει τὴν μίαν ἡμέραν τοῦ μηνός· ἱερομηνία οὖν ἡ ἱερὰ ἡμέρα τοῦ μηνός, ἣ ἄγουσιν ἑορτὴν τῶν ἄλλων ἡμερῶν σεμνοτέραν.

257, A. Οὐχ ἑώλοις] Paris. A. [2] Ἑωλόν ἐστι τὸ χθεσινὸν ὄψον· μεταφορικῶς δὲ εἶπεν, ἵνα μὴ δοκῇ ταὐτὰ λέγειν καὶ αὖθις.

257, B. Πρόσοδοι] Paris. B. Πρόσοδος οὐ μόνον ἡ ἀπὸ τῶν κτημάτων καί τινων ἄλλων εἰσφορὰ πραγμάτων, ἀλλὰ καὶ ἡ πανήγυρις, πρὸς ἣν ἅπαντες ὁδεύουσι καὶ συνέρχονται· ἔστιν οὖν ἐνταῦθα τὸ πανηγύρεις καὶ πρόσοδοι ἐκ παραλλήλου.

257, C. Ἐπ' αὐτοῦ τοῦ τόπου] Paris. A. ab Ap. M. in paucissimis differt, B. cum bomb. consentit, sed εἶπε post τις deest, itemque ἦν post δίκαιον.

1) Similia servavit Paris. B. — 2) Similia continet B.

Digitized by Google

Ἐπιγράμμασιν] Paris. B. cum bomb. facit, omissis tamen εἰς θεούς Paris. A. brevioribus eadem narrat. ib.

Ἀντ' ἀναθήματος κ. τ. λ.] Paris. A. scholion, quod dedi ex Ap. Mon. et Leid., contractum servat. 258, B.

Παρῆλθε] Paris. A.[1] Τὰ μέτρα λέγει τοῦ τείχους, ἐπειδὴ ἐξέτεινον αὐτὰ καὶ πεποιήκασι μείζονα τοῦ τείχους τὸν περίβολον, ὡς ἔνδον περιβαλεῖν ἔρημα πολλὰ τῆς πόλεως· καὶ Θουκυδίδης ἐν τῇ πεντηκονταετίᾳ, νῦν γὰρ ὁ περίβολος ἐξήχθη τῆς πόλεως. 258, C.

Τοῦ κύκλου] Paris. B. Ὀπηνίκα τὴν πόλιν ἀφέντες Ἀθηναῖοι εἰς τὰς ναῦς ἔβησαν, μέρη τινὰ τοῦ περιβόλου κατέβαλον, ἐλθὼν δὲ ὁ Ξέρξης τὰ λοιπὰ προσκατέβαλε· μετὰ γοῦν τὴν νίκην ἀνῳκοδόμησαν αὐτὴν, μείζω τὴν περίβολον τοῦ πρόσθεν ποιησάμενοι, ὡς καὶ τὰ πρόσθεν ἔκτος ὄντα τῆς πόλεως ᾠκήτα τότε περιλαβεῖν ἐντός. ib.

Καλλίων καὶ μ.] Paris. A. multa breviora servavit, quae leguntur in Ap. M. 258, D.

Ἐξαρκεῖν] Paris. A. Ἀντὶ τοῦ ἠσυχαζόντων ἐπὶ τῇ νίκῃ· ἀπὸ κοινοῦ δὲ τὸ ἤρκεσεν. 259, C.

Ὑπὲρ σφῶν αὐτῶν] Paris. B. Τὸ ὑπὲρ σφῶν αὐτῶν κατὰ συνεκδοχὴν λάμβανε οὕτως, οὐδ' εἰ μηδὲν μήτε αὐτὴ ἡ πόλις πράττοι ὑπὲρ σφῶν αὐτῶν τῶν Ἑλλήνων· πρὸς αὐτῶν (ita Bar. γ. et ed. Flor., Schell., Paris. A. et B., Jebb. δι' αὐτῶν) ἤτοι παρὰ τῆς συνεργίας καὶ συστάσεως αὐτῶν μετὰ τῆς πόλεως, οὔτε αὐτοὶ οἱ Ἕλληνες ὑπὲρ σφῶν αὐτῶν. 261, C.

Ἄριστην καὶ καθαράν] Paris. A.[2] Ἐπειδὴ ἐστὶ καὶ ἐκ ῥᾳθυμίας ἡσυχάσαι, εἶπεν καθαράν· ἐμφαίνει δὲ, ὅτι ὁ πολεμικὸς ἀπολαύει καὶ ἡσυχίας τῷ εἶναι φοβερός· μετέβαλε δὲ τὸ Θουκυδίδειον, τὸ γὰρ ἄπραγμον οὐ σώζεται, μὴ μετὰ τοῦ δραστηρίου τεταγμένον (II, 63.)· σχέδον δὲ εἶπε, ἐπειδὴ οἱ ἔχοντες καθαρὰν ἡσυχίαν οἱ φιλόσοφοί εἰσιν, οἱ μετὰ τὸ ἀδικεῖσθαι μὴ ἀντιαδικοῦντες. ib.

Ἐν Μυκάλῃ] Paris. A. cum Ap. Mon. facit, pro 262, A.

1) Similia servavit Paris. B. — 2) Similia in B.

Digitized by Google

Ἀθηναῖοι servans μαθηταί. Paris. B. ad bomb. haec addit: συμβαλὼν ὁ Κίμων ἐνταῦθα τοῖς Πέρσαις κατὰ κράτος ἐνίκησε καὶ πάντα ταῦτα ἃ νῦν καταλέγει, ἐποίησε· διὰ δὲ τοῦ εἰπεῖν οὐκ ἐν ὀλίγῳ τὸ μέσῳ αὔξει τὴν νίκην δεικνὺς τὸ τοῦ πολέμου μέγεθος καὶ ὅτι οὐκ ἐν ὀλίγῳ τῷ χρόνῳ γέγονεν.

ib. Ἀπὸ Σηστοῦ] Paris. A. Ἦν καὶ Θουκυδίδης λέγει, (I, 89) ὑπομείναντες Σηστὸν ἐπιόρκουν καὶ ἐπιχειμάσαντες εἷλον, Μήδων ἐχόντων.

262, D. Χορείαν] Paris. A. Τὴν καλουμένην Πυρρίχην, οὕτω γὰρ καλεῖται ἡ ἐνόπλιος ὄρχησις.

263, B. Ἀπείρατον] Paris. A. Τοῦτο διὰ τὸν Ἄθων φησί. Κάλλιον (p. 264) δὲ ὡς καλοῦ τούτου ὄντος ἀντὶ τοῦ ἐνδόξου· τὸ δὲ καλλίστοις ἁπάντων ἐφοδίοις (ibid.) ἀντὶ τοῦ οἰκείοις πλεονεκτήμασι· κατεχρήσατο τὸ ἐφοδίοις ἐπ' ἀνδρείας εἰπών, κυρία γὰρ ἐπὶ τῶν ἐνοδίων ἀναλωμάτων τάττεται.

263, C. Δύο τρόπαια] Paris. A. ad Ap. M. haec addit: τὸ δὲ δεύτερον μέρος τοῦ λόγου εἰς αὐτὸ τοῦτο πληροῦται, ἀρχὴν δὲ τοῦ τρίτου μέρους ποιεῖται τὸν Πελοποννησιακὸν πόλεμον. Paris. B. in his fere a bomb. differt in epigrammate Simonidis: ἐπὶ χθονίων — εἶδε γὰρ ἐν γαίῃ — μέχα δ' ἔσθενεν — πληγεὶς ἀμφ. —

264, A. Λινοδέσμῳ] Paris. A. Τὸ ἐν Ἀβύδῳ ζεῦγμα λέγει· λινόδεσμον δὲ τὸ ἀπὸ λίνου σχοινίον ἤτοι κανάβινόν φησιν.

264, C. Κατὰ νοῦν] Paris. B. Ἤτησαν Αἰγύπτιοι τὸν βασιλέα τινὰ αὐτοῖς· ὃ δὲ συνέθετο κατὰ γνώμην αὐτοῖς τελέσαι. Αὔξει δὲ ἐντεῦθεν Ἀθηναίους, ὅτι καὶ εὐεργετούμενοι παρὰ βασιλέως Αἰγύπτιοι τοῦτον ἀφέντες προσεχώρουν Ἀθηναίοις.

ib. Αἰγύπτου μοῖραν] Paris. A. Καὶ τοῦτό φησιν Θουκυδίδης, Ἀμυρταίου τοῦ ἐν τοῖς ἕλεσι βασιλέως (I. 112).[1]

1) Cod. πλὴν Ἀμ. τ. ἐ. τ. ἕλ. βασιλεύοντος.

Digitized by Google

Ὥστ' ἐκινήθησαν] Paris. A. cum Ap. consentit, nisi quod *Ἰνάρως — Ψαμμητείχου* B. cum bomb. ib.

Πρότερον δ' ἦρκει] Paris. A. *Δὶς γὰρ ἀποστάντας Αἰγυπτίους Πέρσαι κατεδουλώσαντο, ἅπαξ ἐπὶ Καμβύσου, καὶ πάλιν ἐπὶ Ξέρξου.* 264, D.

Σὺν κακίᾳ] Paris. A. *Εἶπε κακίαν, τὴν ἀσθένειαν λέγων.* 265, A.

Φυλάκων] Paris. A.[1] *Εἴδη διάφορα· οἱ μὲν γάρ εἰσι φύλακες τόπου τινος ὡρισμένου, οἱ δὲ περίπολοι πανταχοῦ περιερχόμενοι.* ib.

Καὶ τὴν χώραν] Quae in marg. Schell. leguntur, eadem in Paris. A. et B. 265, D.

Πρύμναν κρ.] Paris. B. sine varietate cum bomb. facit, sed quae in A. nonnihil ab Apogr. recedunt. 266, B.

Μυρώδας σταδίων] Paris. A. verba *οὕτω καὶ Δημ. — βασιλέως* omittit, et pro *μὴ εἰσιέναι βασιλέα* habet *καὶ Χελιδονέων.* ib.

Οὐδὲ τοῦθ' ἡ πόλις] Paris. A. *Ἐν ὑπερθέσει εἴρηται, τὸ γὰρ ἑξῆς οὕτως· οὐδὲ τοῦτο ἡ πόλις ἠνέσχετο, διότι πλείονος ἀξίαν ἐποιήσατο· τὸ γὰρ καὶ δὴ ἀντὶ τοῦ διότι, λαμβάνεται γὰρ ὃ καὶ συνδεσμὸς καὶ αἰτιολογικόν.* ib.

Πηνειοῦ] Paris. A. *Πηνεῖον μὲν τὴν ἔξω τῆς Θετταλίας λέγει Πύλην, ἣν καὶ Τέμπη φασί· τὸ δὲ ἀφεῖλον ἀντὶ τοῦ παρεχώρησα κεῖται· Θαυμαστὸν δὲ εἶπε τὸν Πηνεῖον.* B. brevius narrat, quae ex bomb. dedi. 266, C.

Τὸν ὄμφαλον τῆς γῆς] Paris. A. in fine scholii ex Ap. M. descripti pro *ἑαυτοῖς* servavit *ἀλλήλοις*, et post *Δελφούς* haec addit: *ἀλλ' εἰ Θεὸς ἦν Ἕλλην, μωρὲ,*[2] *ἤδει ἂν καὶ πρὸ τῆς πείρας.* B. cum bomb. 266, D.

Χελιδονέας] Paris. A. *Αἱ Χελιδονέαι πέτραι εἰσὶν ἐν τῇ θαλάσσῃ, τῇ μεταξὺ Λυκίας καὶ Παμφυλίας, καθὸ καὶ ὁ Ταῦρος τὸ ὄρος ἀποτελευτᾷ. μᾶλλον τ' ἄρχεται τὴν Ἀσίαν ἅπασαν ἀναζωννὺς καὶ πρὸς τὴν Ἰνδικὴν ἀναπάυων· Κυα-* 267, A.

1) Similia leguntur in B. — 2) f. *ἀλλ' εἰ Θεὸς ἦν, Ἕλλην μωρέ, ἤδει κ. τ. λ.* a nescio quo christiano adscripta. Plura id genus in Codd. Parisinis inveni.

Digitized by Google

νέαι δὲ αἱ πέτραι πρὸς τῷ Βυζαντίου ἱερῷ στόματι· αἱ δὲ αὐταὶ καὶ συμπλαγέντες (sic, leg. Συμπληγάδες) λέγονται παρὰ τοῦ ἐμπίπτειν ἀλλήλαις.

267, C. Ὡι κατέκλεισε] Paris. A. Ἀντὶ τοῦ βεβαιῶσαι ἢ ἐπισφραγίσαι καὶ περιλαβεῖν· Δημοσθένης φιλ. ν. κατ. vid. Ap. Mon.

267, D. Ἐναντιώμασι] Paris. A. et. B. Καλῶς εἶπεν ἐναντιώμασι, ἐπεὶ καὶ ἐν (B. ἐπειδὴ ἐν) ἑνὶ καιρῷ ἐπολέμει καὶ (deest in B.) ἐν τῇ Ἀσίᾳ καὶ ἐν τῇ Ἑλλάδι. Τεχνικῶς δὲ (quae inde sequuntur, desunt in B.) πάλιν καλύπτει τὸ πλεονεκτικὸν τῶν Ἀθηναίων· ἐπολέμουν γὰρ εἰς τοὺς Ἕλληνας βουλόμενοι πολλοὺς αὐτῶν χειρώσασθαι· τὰς δὲ τῶν Ἑλλήνων ἀποστάσεις Θουκυδίδης σαφῶς ἐν τῇ πεντηκονταετίᾳ λέγει· τὸ δὲ ἀνθελκόντων ἀντὶ τοῦ ἐπισπωμένων καθ' ἑαυτοὺς καὶ τὸ ἀφεστηκότων ἀντὶ τοῦ μὴ ὁμονοούντων.

268, A. Αἰγινητῶν] Paris. A. cum Ap. Mon. et Leid., sed ποιῆσαι Ταμ. — δαιμόνων τινων, τουτέστι Δήμητρος καὶ τῆς Δήμητρος ἀπὸ ξ. — ἢ ἱερᾶς τῶν ἐν ἀκρ. desunt — εἰς Ἀθηναίους ἐδ. — ἔφασαν, μὴ — καὶ οὕτως ἀναγκασθέντας Ἀθηναίους πρὸς Αἰγινήτας ἄρασθαι πόλεμον, ὡς Ἡρόδοτος ἱστορεῖ. B. cum bomb., nisi quod οἳ εἰσὶ θεαὶ. —

ib. Τὰ ναυτικὰ πρώτους] Paris. A. cum Ap.

ib. Κορινθίων] Paris. A. Κορινθίων γὰρ πρὸς Μεγαρέας πολεμούντων, Ἀθηναῖοι Μεγαρεῦσιν ἐβοήθησαν. — Νάξιοι καὶ Θάσιοι καὶ Καρύστιοι ἀπέστησαν πρῶτοι, ὡς Θουκυδίδης φησὶν ἐν τῇ πεντηκονταετίᾳ.

268, B. Καλούντων δὲ κ. τ. λ.] Paris. A. Καλούντων δηλονότι πρὸς συμμαχίαν, Φωκέων μὲν διὰ τὸ ἱερὸν, ὡς φησιν ὁ συγγρ. vide Ap. usque ad ἀφελόμενοι Φωκέων. Pergit Paris. A. Λακεδαιμόνιοι δὲ διὰ τὴν μάχην πρὸς τοὺς Εἵλωτας γενομένην, ὅτι ἐν τῷ σεισμῷ ἀπέστησαν, ὅθεν ἀρχὴ τῆς ἐχθρᾶς αὐτοῖς γέγονε καὶ Θουκυδίδης.

268, C. Ἢ καὶ] Paris. A. Τὸ ἤ ἀντὶ τοῦ καθὸ ἢ ἀντὶ τοῦ διὸ ἐστίν. Paris. B. Εἰπὼν ἤ, ἵνα μή τις νοήσῃ διὰ τὴν ἀφήγησιν, προσέθηκεν τῇ πόλει· ἢ τὸ ἤ ἀντὶ τοῦ

Digitized by Google

ὅπου· εὕρηται γὰρ καὶ η καὶ υ καὶ ι· τὸ η ἀντὶ τοῦ ὅπου.

Ἐπὶ Κεκρυφαλίᾳ] Paris. A. Ἐνίκων δ' Αἰγινήτας πρὸς Αἰγίνῃ καὶ Πελοποννησίους. 269, B.

Αἰγινήτας] Paris. A. Ἡ μὲν Αἴγινα νῆσος ἐπικειμένη τῇ Πελοποννήσῳ κατὰ τὸ πρὸς Κερχίας (sic) πλεῦρον αὐτῆς· ἐνίκησαν δὲ Ἀθηναῖοι Λακεδαιμονίους καὶ ἔλαβον αὐτὴν πᾶσαν, Λεωκράτους στρατηγοῦντος Ἀθηναίων. 269, C.

Ἡ μὲν κατὰ τὴν τῶν Αἰγυπτίων] Paris. A. et B. Ἀποστάσης τῆς Αἰγύπτου ἀπὸ βασιλέως ἔπεμψαν αὐτοῖς Ἀθηναῖοι βοήθειαν, καὶ πάλιν ἐν τῷ αὐτῷ χρόνῳ ἑτέραν κατ' Αἰγινητῶν· οἱ γὰρ Κορίνθιοι βοήθειαν Αἰγινήταις βουλόμενοι παρασχεῖν καταλαμβάνουσι τὰ Μέγαρα ὑπὸ Ἀθηναίοις ὄντα, νομίζοντες Ἀθηναίους ἐφεῖναι (sic) μὲν Αἰγινήτας, βοηθεῖν δὲ μᾶλλον Μεγαρεῦσιν· οἱ δὲ Ἀθηναῖοι τούς τε γέροντας καὶ τοὺς νέους πέμψαντες (B. addit: μετὰ Μυρωνίδου) ἐνίκησαν καὶ τρόπαιον ἔστησαν· οἱ γὰρ φυγόντες Κορινθίων ὑπὸ τῶν πολιτῶν κακιζόμενοι τῶν οἰκείων ἐξελθόντες αὖθις, καὶ αὐτοὶ τρόπαιον ἐπειρῶντο ἱστάναι· ἐπιθέμενοι δὲ ἐκ δευτέρου Ἀθηναῖοι τό τε τρόπαιον κατέβαλον καὶ Κορινθίους διέφθειραν· Καὶ ταύτην οὖν τὴν μάχην λέγει νῦν. 270, A.

Προσανιμήκεσαν] Paris. A. Ἀντὶ τοῦ προσεξηντλήκασι καὶ πεπόνθασιν. 270, C.

Ὥσπερ ἐν δράματι] Paris. A. Κοσμικοῖς pro κωμικοῖς, quod legitur in Ap., et δράμασι, pro γράμμασι. B. cum bomb. facit, nisi quod καὶ Ὀρέστην καὶ Μεν. 270, D.

Περιέπλευσαν] Paris. A. Περιέπλευσαν γὰρ, ὡς καὶ Θουκυδίδης ἐν τῇ πεντηκονταετίᾳ, καὶ τὸ νεώριον τότε τῶν Λακεδαιμονίων ἐνέπρησαν, Τολμίδου στρατηγοῦντος· ἐπειδὴ δὲ οὐκ ἀεὶ οἱ περίπλοι πολέμιοί εἰσιν, ἀντιδιαστέλλων εἶπεν οὐχ ἁπλῶς. Paris. B. Ἐπειδὴ οἱ περίπλοι οὐχ ἑκατότε εἰσὶ πολέμιοι, ἀλλ' ἔστιν ὅτε καὶ διά τινα χρείαν γίνονται, διὰ τοῦτο ἀντιδιαστέλλων φησὶν, ἀλλ' ὥστε κρατεῖν μὲν τῶν ἐπικαίρων τῆς χάρας (Jebb. ἀποκαίρων, sed illud lege ex Paris. A. B. et Schell.)· ἐπόρθησαν γὰρ τὴν 271, B.

Digitized by Google

Χαλκίδα καὶ Σκιωνίδα, αἵ εἰσιν ἐπικαιρότατα τῆς Πελοποννήσου χωρία· ἐπεὶ δὲ ἐν τόπῳ τῆς Πελοποννήσου καλουμένῳ φαϋλῳ (sic) *ἀντέστησάν τινες αὐτοῖς Πελοποννήσιοι καὶ τούτους ἐνίκησαν, ὁ γὰρ τῶν Ἀθηναίων στρατηγὸς συμβαλὼν τῷ Πελοποννησίῳ στρατηγῷ καὶ νικήσας ἐποίησε τὴν τροπήν.*

271, B. *Ἀντιστάντας ἐν φαύλῳ*] Paris. A. *Ἔλαβον γὰρ τὴν Χαλκίδα καὶ Σκιωναίων ἐκράτησαν μάχῃ· τὸ δὲ εἰπεῖν ἐν φαύλῳ ἀντὶ τοῦ ἐὐχερῶς· στρατηγὸς δὲ ἐπὶ στρατηγῷ φησιν, ἵνα δείξῃ τὴν συνέχειαν τοῦ πολέμου, ἀντὶ γὰρ τοῦ ἄλλου ἐπ' ἄλλῳ· ἀντιπέραν δὲ ἤπειρον τὴν Ἀπαρνανίαν λέγει, ἥτις ἐστὶ κατὰ τὰς ἐκβολὰς τοῦ Ἀχελῴου ποταμοῦ πρὸς ταῖς Ἐχινάσι νήσοις.*

271, D. *Κρισαῖος κόλπος*] Paris. A. [1] *Ὁ μεταξὺ τῆς ἠπείρου τῆς Φωκίδος καὶ τῆς Πελοποννήσου, οὗ μυχὸς ὁ Ἰσθμός.*

272, A. *Ἐν Τανάργᾳ*] Paris. A. cum Ap. consentit, haec addens: *Βιάζεται δὲ ὁ Ἀριστείδης τὴν νίκην τῶν Λακεδαιμονίων ἧττον ἀποφαίνεσθαι.* B. ad bomb. haec addit: *Βιάζεται δὲ Ἀριστείδης Ἀθηναίων δεῖξαι τὴν νίκην*, itemque *ἐνίκησαν* in fine scholii habet pro *ἐνικήθησαν*.

272, C. *Κατὰ πόδας*] Paris. A. *Μετὰ γὰρ ἀναχωρῆσαι Λακεδαιμονίους ἐστράτευσαν κατ' αὐτῶν καὶ ἐνίκησαν.*

272. D. *Οἰνοφύτοις*] Paris. A. *Οἰνόφυτα τόπος τῆς Βοιωτίας· τὸ δὲ ὑπέκυψαν ἀντὶ τοῦ ἐδούλευσαν.*

273, A. *Λοκροὶ*] Paris. A. *Λοκροὶ φυγάδες ὄντες συνέπραττον Βοιωτοῖς καὶ ἡττήθησαν· καὶ αὖθις συναχθέντες ἐνίκησαν Ἀθηναίους· τοῦτο δὲ σιωπᾷ, ὡς μὴ ἁρμόττον ἐγκωμίῳ· ψεύδεται δὲ λέγων διὰ τὸ βάρβαρον αὐτοὺς προλαβέσθαι διὰ τοῦτο στρατεῦσαι κατ' αὐτῶν Ἀθηναίους· οὐ διὰ τοῦτο γὰρ, ἀλλὰ βουλόμενοι Βοιωτίαν κτήσασθαι· σιωπᾷ οὖν τὸ τῆς πλεονεξίας, ἑτέραν δὲ λέγει αἰτίαν τὸν μηδισμόν.*

273, B. *Σεισμοῦ*] Paris. B. post narrationem de auxiliis ab Atheniensibus Cimone duce missis haec addit: *Περιοίκους δὲ καλεῖ τοὺς περὶ τὴν Λακεδαίμονα οἰκοῦντας καὶ αὐτῇ ὑποτεταγμένους.*

1) Similia in B.

Digitized by Google

Μιλησίων] Paris. B. *Μιλήσιοι ὑπὸ Λακεδαιμονίων* 273, D.
καταπολεμούμενοι καὶ Σάμιοι ἐδεήθησαν Ἀθηναίων βοηθῆσαι, ἅτε σύμμαχοι ὄντες· καὶ Ἀθηναῖοι ναυσὶ πολλαῖς παραγενόμενοι τοὺς Λακεδαιμονίους ἐν Σάμῳ κατεναυμάχησαν· Εὐβοεῖς δὲ σύμμαχοι ὄντες Ἀθηναίοις ἀπόστασιν ἐβουλεύοντο, καὶ Ἀθηναῖοι τοῦτο μαθόντες ἔπλευσαν κατ' αὐτῶν καὶ βλάψαντες αὐτοὺς εἰς φόβον πολὺν ἤγαγον.

Ὠφελίαν] Paris. A. *Πλάτων καὶ πάντες οἱ παλαιοὶ* 274, D.
ὠφελίαν γράφουσι διὰ τοῦ ι καὶ παροξύνουσι.

Μέχρι μέν τινος] Paris. B. cum bomb. consentit, nisi 275, C.
quod in fine *ἀπαντήσειν* pro *ἀπαντήσει*.

Κινουμένους] Paris. B. *Ἡνίκα στασιάζειν πρὸς Ἀθη-* 276, A.
ναίους ἤρχοντο Ἕλληνες ὑπὸ Λακεδαιμονίων ἀναγκασθέντες, ἀκούσαντες Ἀθηναῖοι πρέσβεις πρὸς τοὺς Ἕλληνας πεπόμφασι λέγοντας, ὡς μάτην διαβάλλουσι Λακεδαιμόνιοι, κἀντεῦθεν εἰς ὁμόνοιαν ἄγοντας· μαθόντες δὲ τοῦτο Ἕλληνες πρὸς ὀλίγον ἡσύχασαν.

Ἐνίκησε] Paris. B. *Τὴν τῆς Σφακτηρίας καὶ Πύλου* ib.
πόρθησιν λέγει, ὅτε Ἀθηναῖοι πολλοὺς Λακεδαιμονίων ἐντεῦθεν αἰχμαλώτους ἤγαγον καὶ εἰς δεσμωτήριον ἐνῆσαν καί τινα καιρὸν μείναντες ἐξήγαγον.

Ἐν Ναυπάκτῳ] Paris. A. ad scholion ex Ap. Mon. 276, B.
desumtum haec addit: *διὸ καὶ μὲν οὖσαν αὐτὸς πολλὰς αὖ .... ὀνομάζει, αὖξῆσαι βουλόμενος· ἐπὶ μὲν τῇ προτέρᾳ* $\overline{\kappa}$ *ναῦς πρὸς* $\overline{\mu\zeta}$*, ἐν δὲ τῇ ὑστέρᾳ νζ ναῦς ταῖς αὐταῖς* $\overline{\nu}$ *ἐνίκησαν.* Paris. B. cum bomb. consentit, praeterquam quod *ναυσὶν ἐνίκησαν.*

Παρὰ μικρὸν] Paris. A. *Ἀντὶ τοῦ κατὰ μικρόν, ὥστε* ib.
μόνον διῶξαι αὐτούς· Κέρκυραν ἐξείλοντο κινδυνεύουσαν ὑπὸ Κριθέων ἁλῶναι· Νίκας δὲ ἑτέρας, ὅτε Σιτάλκης μετὰ Περδίκκου κατὰ Ἀθηναίων ἐστρατεύσατο· τὰ δὲ κατὰ Ἀμβρακίαν, ὅτε Ἀμβρακιώταις ἐμαχέσαντο κατὰ Ἀμφιλόχων στρατευσαμένοις· τὰ δὲ μέγιστα ἔργα, Θουκυδίδης ἐν τῇ τρίτῃ λέγει, ὅτι ὁ δῆμος τοῖς λοαρχιγικοῖς (sic) ἐπέθετο καὶ τὰς συμφορὰς ἐκείνας εἰργάσατο· τὰ δὲ πρὸς Σιτάλκην ὁ αὐτὸς Θουκυδίδης ἐν τῇ δ^η^ λέγει τὰ πρὸς Βρασίδαν γενό-

Digitized by Google

μενα· ἀρετῇ οὐ χρείᾳ φησὶν, ὅτι οὐκ ἔστιν ἀνάγκη, ἀλλ' ἀρετή.

ib. *Κέρκυραν*] Paris. B. *Κέρκυραν ὑπὸ Κορινθίων πολιορκουμένην καὶ κινδυνεύουσαν ἐπεὶ Ἀθηναῖοι ἔμαθον, ταχέως ἐπελθόντες ἐῤῥύσαντο.*

ib. *Ἀμβρακίαν*] Paris. B. *Ἀμβρακιώτας κατ' Ἀμφιλόχων στρατευσαμένους, Ἀθηναῖοι αὖθις ἀντιστρατεύσαντες ἐξείλοντο μὲν Ἀμφιλόχους τοῦ κινδύνου, Ἀμβρακιώτας δὲ κατὰ μέρος ἐνίκησαν· ἐποίησαν δὲ τοῦτο οὐχ ὑπ' ἀνάγκης, ἀλλ' ὑπὸ μόνης φιλανθρωπίας.*

276, C. *Πύλον*] Paris. B. *Πύλος καὶ Σφακτηρία πόλεις πλησίον Λακεδαίμονος, συμμαχίδες αὐτοῖς· ἐλθόντες οὖν Ἀθηναῖοι κατ' αὐτῶν, Κλέωνος στρατηγοῦντος, τοσοῦτον χρόνον ἐπολιόρκουν, ὡς τοὺς μὲν ἐντὸς ὄντας αὐτῶν Πυλίους καὶ Σφακτηριώτας καὶ Λακεδαιμονίους τοὺς πλείους ὑπὸ λιμοῦ τεθνάναι, ὕστερον δὲ καὶ τὰς πόλεις αὐτὰς παρεστήσαντο· καὶ τοῦτο μὴν πρώην ἐπράχθη, ὕστερον δὲ οἱ αὐτοὶ Ἀθηναῖοι Δημοσθένους αὐτῶν στρατηγοῦντος καὶ πεζῇ καὶ ναυσὶ κατ' αὐτῆς ἐχώρησαν· ναυμαχίας δὲ ἀπὸ γῆς λέγει διὰ τὸ μετὰ νεῶν μὲν πλεῦσαι, ἐξελθεῖν δὲ αὐτῶν καὶ πεζῇ διὰ τῆς νήσου χωρῆσαι κατὰ τῆς Πύλου, εἰς βάθος γὰρ τῆς νήσου ἡ Πύλος.*

ib. *Ἐκ Κυθήρων*] Paris. B. *Κύθηρα νῆσος ἐπικειμένη τῇ Πελοποννήσῳ· ταύτην ὑπὸ Λακεδαιμονίων φυλαττομένην Ἀθηναῖοι τοὺς Λακεδαιμονίους αἰχμαλώτους ἔλαβον παραστησάμενοι.*

277, B. *Ἐκ τῆς ὑπερορίας*] Paris. B. *Λακεδαιμόνιοι κακῶς ὑπό τινων προσοικούντων αὐτοῖς πάσχοντες μετεκαλέσαντο Ἀθηναίους ὄντας ἐν Σικελίᾳ· λέγει οὖν τὸ ἐξ ὑπερορίας διὰ τὸ ἐκ Σικελίας ἐλθεῖν αὐτοὺς καὶ πολεμίους καταστῆναι τοῖς ἐνοχλοῦσι τοὺς Λακεδαιμονίους· τὸ εἰς ὑπερορίαν δὲ, ἐπειδὴ Ἀθηναῖοι εἰς Σικελίαν ἔπλευσαν, βοηθεῖν ἐθέλοντες τοῖς ἐκεῖ Ἕλλησιν ὑπὸ Συρακουσίων κακῶς πάσχουσι, Λεοντίνοις, Λιγεσταίοις, καὶ ὅτι κατὰ Καρχηδονίων ἔπλευσαν· εἰπὼν δὲ ἀορίστως τοὺς μὲν, τοὺς δὲ καὶ δοκοῦν*

Digitized by Google

καὶ διὰ τοὺς ἄλλους Ἕλληνας λέγεσθαι, ἐπέφερε τοῦτο πρὸς τοὺς Ἀθηναίους μόνους, μόνοι γὰρ οὗτοι τάδ' ἔδρασαν.

Ἐκ Δεκελείας] Paris. A. [1] Κώμη αὕτη Ἀθήνησιν, ἣν τειχίσαντες Λακεδαιμόνιοι εἰσηγήσει Ἀλκιβιάδου πολλὰ πράγματα παρέσχον Ἀθηναίοις· φασὶ γὰρ αὐτομολῆσαι οἰκέτας ἐξ Ἀθηνῶν Λακεδαιμονίοις ὡσεὶ μυρίαδας β'. τὸ δὲ περὶ τῶν οἰκετῶν καὶ Ἀριστοφάνης δηλοῖ ἐν Νεφέλαις (vrs. 6.) 278, C.

Ἀπόλοιο δῆτ' ὦ πόλεμε [2] πολλῶν οὕνεκα,
Ὅτι δ' οὐδὲ κολάσαι ἔξεστί μοι τοὺς οἰκέτας.

Μεγάλου πάθους] Paris. B. post plura, quae cum minoris sint, non descripsi: σημείωσαι δὲ τὴν σύνταξιν· γενικὴν γὰρ πρόσθεν εἰπὼν ἐπειδὴ ἀνάληψιν ἐποίησεν, ἔτρεψε τὸν λόγον πρὸς αἰτιατικήν· εἰώθαμεν δὲ τὰς τοιαύτας ἀναλλαγὰς ποιεῖν ἐν ταῖς ἐπαναλήψεσιν. 279, A.

Τὴν μὲν τῶν τρόπων κ. τ. λ.] Paris. A. Λέγει τὸ εὐχερῶς ἐνεγκεῖν τὴν συμφοράν, ἐν ἑτέροις δὲ τὸ τοῦ εὐκολίαν διαβολὴν ἔχει· δοκεῖ γάρ, φησὶν, τὸν τρόπον εὐχερὴς καὶ εὐμετάβλητος· λέγει δὲ καὶ Θουκυδίδης, ὅτι μετὰ τὴν ἧτταν κ. τ. λ. vid. Apogr. ib.

Ἐπελθόντων δὲ τῶν ἐκ Σικελίας] Paris. A. Μετὰ γὰρ τὴν νίκην ἦλθον οἱ Σικελιῶται ἐν τῇ Λακεδαίμονι βοηθοῦντες αὐτοῖς ὥσπερ συνεμάχησαν· ἠπείρου δὲ λέγει τῆς Ἰωνίας, καὶ οὗτοι γὰρ ἄποικοι τῶν Ἀθηναίων ὄντες συναπέστησαν, Ἀλκιβιάδης πρὸς Λακεδαιμονίους, ὅτε Ἀλκιβιάδης περὶ ἑρμῶν ἐκρίνετο (sic). 279, C.

Ὅτι καὶ τῆς πολιτείας κιν.] Paris. A. cum Ap. M. consentit, pro ἡττῶντο exhibens ἠττήθησαν. Cod. B. cum bombyc. facit, si ab ἐσασίασαν discesseris. 280, B.

Ὡς ἑτέρῳ πρ.] Paris. A. cum Ap., omissis quae post ἢ εἰς Πλ. adduntur. B. cum bomb., pro ταῦτα εἶπεν exhibens ταῦτ' εἴρηκεν. 280, D.

Ἐκποδὼς] Paris. B. Τὸ ἐκποδὼς εἶπεν, ἐπειδὴ ἀπὸ τῶν οἰκιῶν ἐξελθόντες τοῖς οἰκείοις ποσὶν ἐποιοῦντο τὴν μά- 281, B.

1) Similia servantur in Paris. B., omisso tamen Aristophanis testimonio. — 2) Cod. ἀπόλοιο δ' ἦτ' ὦ πόλεμος, et altero versu: κολάσαι ἔξεστί μοι.

Digitized by Google

χην· τὸ δὲ ἱππομαχήσαντες, ἐπειδὴ πρὸς οὓς ἐμάχοντο, ἱππεῖς ἦσαν· καὶ Φαρνάβαζος ἰδὼν Λακεδαιμονίους καταναυμαχηθέντας, προὐκαλέσατο Ἀθηναίους εἰς ἱππομαχίαν· οἱ δὲ αὐτίκα τῶν νηῶν ἐξελθόντες καὶ τούτου περιεγένοντο.

281, C. Ὁρμώμενοι] Paris. B. Μετὰ τὴν ἐν Κυζικῷ ναυμαχίαν, ἣν ὑπ' Ἀθηναίων κατεναυμαχήθησαν, Λακεδαιμόνιοι ἡττηθέντες καὶ αὖθις ὑπὸ τῶν αὐτῶν τούτων ἐν Ἀργινούσαις, πρέσβεις Ἀθήναζε πεπόμφασι περὶ εἰρήνης.

ib. Ἀεὶ μὲν οὖν ἔγωγε] Paris. A. et B. Ἐντεῦθεν τὸ κεφάλαιον ἡ σύγκρισις· ἔστι γὰρ ἐν τῶν κεφαλαίων τοῦ ἐγκωμίου (B. ἔστι γὰρ ἓν καὶ τοῦτο τοῦ ἐγκωμίου), αὔξησιν δὲ ἐργάζεται τὸ κεφάλαιον (malim κεφαλαιοῦν) ἀεί· ποιεῖται δὲ τὴν σύγκρισιν πρὸς Λακεδαιμονίους, οἵτινες μείζους ἐνομίζοντο εἶναι τῶν Ἑλλήνων (B. addit πάντων)· δεινῶς δὲ ἀπὸ τῆς ἀρχῆς αὔξει τὴν πόλιν, ἐπικαιρῶν μὲν τοῖς συγκρίνουσιν αὐτοὺς μετὰ Λακεδαιμονίων (B. αὐτὴν τοῖς Λακεδαιμονίοις), ὅτι πρὸς ἥττους ἡ σύγκρισις· διὰ δὲ τὸν νόμον τῆς τέχνης χρώμενος καὶ αὐτὸς τῇ συγκρίσει· καί ἐστι Θουκυδίδειος (B. Θουκυδίδου) ἡ μεταχείρισις, κἀκεῖνος γὰρ ἐν τῷ προοιμίῳ τοῦ ἐπιταφίου καταμέμφεται τὸν νομοθέτην τοῦ κελεύσαντος (B. καὶ λέγοντας, sic) τὸν ἐπιτάφιον λέγεσθαι, εἶτα ὕστερον καὶ αὐτὸς κέχρηται αὐτῷ. (Quae inde ex Paris. A. addam, in B. desiderantur). Ἀλλὰ καὶ Πλάτων τοῦτο ποιεῖ ἐν τῷ ἐπιταφίῳ τῷ καλουμένῳ Μενεξένῳ καὶ Ξενοφῶν ἐν τοῖς Ἑλληνικοῖς οὕτω ποιεῖ, εἰς οὓς καὶ οὗτος νῦν ἀποτείνεται.

283, A. Ἐν Μιτυλήνῃ] Paris. A. Εἰς γὰρ τὴν Μιτυλήνην συνηλάθη καὶ κατεκλείσθη μετὰ Λέοντος καὶ Ἑρ. συστρατήγων κ. τ. λ. vide Ap. — ναυσί· Ξενοφῶν ταῦτα ἐν α Ἑλληνικῶν. Reliqua desunt. Paris. B. cum bomb. facit, post κατὰ θάλατταν ἐνικήθη haec inserens: καὶ καταφυγὼν εἰς Μιτυλήνην ἐπολιορκήθη· μαθόντες οὖν κ. τ. λ.

283, B. Ἐν δὲ τῷ Καρὶ] Paris. A. [1] Τοῦτο εἶπεν, ἵνα δείξῃ

1) Ex his emenda, quae ex Ap. M. edidi, in quibus praeterea verba: οὐκ ἐν τοῖς αὐτῶν σώμασι typis distractis erant excudenda.

Digitized by Google

αὐτοὺς καταφρονοῦντας τῶν τριηρῶν· τὸ δὲ ἐν τῷ Καρὶ καὶ οὐκ ἐν τοῖς αὐτῶν σώμασι παροιμία ἐστίν· ἐν Καρὶ τὸν κίνδυνον, τουτέστιν ἐν ἀλλοτρίοις σώμασι, λέγεται δὲ αὕτη ἐπὶ τῶν ἀφειδῶς εἰς τὰ ἑαυτῶν σώματα πολεμούντων, ἀπὸ μεταφορᾶς τῶν Καρῶν, ἐπεί, ὥς τινές φασι, πρῶτοι ἐμισθοφόρησαν· ἄλλοι δὲ Ἀρκάδας φασίν· ἐπεὶ οὖν οἱ Ἀρκάδες ἐμισθοφόρουν, προέταττον αὐτοὺς τῶν πολεμίων, ἀφ' οὗ καὶ ἡ παροιμία ἀληθέστερον εἰπεῖν· εἴρηται ἐπὶ τῶν ἐν ἑτέροις καὶ οὐκ ἐφ' ἑαυτοῖς τὰς πολεμικὰς πρωτοπείρας ὑφισταμένων· εἰσάγονται δὲ Κᾶρες ὡς εὐτελεῖς διὰ τὴν μεταφοράν, ἀφ' οὗ καὶ Ὅμηρος

..... Τιὼ δέ μιν (Cod. μὴν) ἐν Καρὸς αἴσῃ εἰρύσσει Paris. B. cum bomb. facit.

Οὐ χειμῶνος] Paris. A. [1] Ἡ ἱστορία φησὶν, ὅτι τοιοῦτος χειμὼν γέγονεν, ὥστε τοὺς στρατηγοὺς μὴ δύνασθαι ἀναλαβεῖν τῶν πεπτωκότων τὰ σώματα· διὸ καὶ κατηγορήσαντος αὐτῶν Καλλιξένου καὶ νενικηκότος τεθνήκασι ἀκρίτως· ὕστερον μέντοι γνόντες Ἀθηναῖοι καὶ τοῦτον ἀνεῖλον καὶ νόμον ἔθεντο ἄνευ κρίσεως μὴ κτείνειν τινά· ἔφυγε δὲ καὶ ὁ Καλλίξενος καὶ ὕστερον ἐπελθὼν διεφθάρη λιμῷ. 283, C.

Ἄνδρα ῥύονται] Paris. A. [2] cum marg. Schell. consentit, nisi quod post κατὰ τῆς Ἀσίας στρατεύονται ita exhibet: Εὐαγόρου συμμαχοῦντος βασιλεῖ καὶ Κόνων κ. τ. λ., sine ulla varietate. 284, A.

Ἤ τις ἢ οὐδείς] Paris. B. cum bomb. 285, B.

Ἀπηξίωσαν] Paris. B. Ἀπηξίωσαν Λακεδαιμόνιοι πρὸς Θηβαίους εἰρήνην ποιήσασθαι διὰ τοῦτο· ἐλθόντες εἰς Θηβαίους εἰρήνης ἐδέοντο, εἰπόντων δὲ τῶν Θηβαίων, ὡς οὐ πρότερον εἰρήνην ποιήσονται, πρὶν ἂν Μεσσηνίους καὶ τοὺς ἄλλους αὐτονόμους ποιήσουσι, ἐπεὶ ταῦτα Λακεδαιμονίοις οὐκ ἤρεσκεν, εἰρήνη οὐ γέγονεν. 286, A.

Καθάπαξ] Paris. B. Νενικηκότες δεύτερον Λακεδαιμονίους Θηβαῖοι ἐζήτουν καὶ τὴν χώραν αὐτῶν κατασκάψαι, καὶ Ἀθηναῖοι μαθόντες οὐκ εἴασαν. 286, B.

1) Similia in B. — 2) Similia in B.

Digitized by Google

ib. Κλαπεῖσα] Paris. B. Τὸ ἐν Αἰγὸς ποταμοῖς λέγει, ὅτε ὁ τῶν Ἀθηναίων στρατηγὸς Κόνων ἀφεὶς τὰς ναῦς μετὰ νίκην ἐν τῇ θαλάττῃ ἐξῆλθε μετὰ τῶν ἐν αὐταῖς εἰς τὴν χερσὸν διά τινα χρείαν· ἐλθὼν δὲ Λύσανδρος ὁ τοῦ ναυτικοῦ τῶν Λακεδαιμονίων ἄρχων καὶ τὰς ναῦς εὑρὼν ὀλίγους τινὰς ἐχούσας ἐντὸς, ἐπιθέμενος ἀφείλετο· λέγει οὖν τὴν τοιαύτην νίκην κλοπήν. Ὁ δὲ Αἰγὸς ποταμὸς τόπος ἐστὶ πλησίον Σηστοῦ κατ' ἀντικρὺ Λαμψάκου· ἐλθὼν δὲ ὁ Λύσανδρος ἐν τῷ Πειραιεῖ καὶ σῖτον οὐκ ἐῶν εἰς τὴν πόλιν παραγενέσθαι, λιμαγχονήσας Ἀθηναίους ἠνάγκασεν αὐτοὺς ταῖς οἰκείαις χερσὶ καθελεῖν τὰ τείχη· τότε καὶ τριάκοντα τύραννοι Λακεδαιμόνιοι μετὰ Κριτίου τοῦ σοφιστοῦ τῷ δήμῳ τῶν Ἀθηναίων ἐπέστησαν· τότε καί τινες τῶν Ἀθηναίων οὐκ ὀλίγα στασιάσαντες προσετέθησαν τοῖς τυράννοις.

287, A. Ἀψοφητὶ] Paris. A. cum Ap. M. consentit, pro ἀπὸ τῶν Ἀθηναίων servans ἀπόντων Ἀθηναίων, ante ἀπούσαντες inserens καί.

288, B. Ὀλίγῳ πλείους] Paris. A. et B. Ὕστερον γὰρ πολλοὶ παρεγένοντο· τὸ οὖν πλῆθος ἦν καὶ τὴν νίκην ἐργασαμένων· καὶ Παυσανίας δὲ ὁ νεώτερος πεμφθεὶς μετὰ χρημάτων ὑπὸ Λακεδαιμονίων βοηθῆσαι τοῖς τριάκοντα προδέδωκεν σιωπᾷ δὲ τοῦτο, ἵνα Ἀθηναίων μόνων δόξῃ τὸ κατόρθωμα.

288, D. Ἀνεκτήσαντο] Paris. B. Οἰκείως κεῖται τὸ ἀνεκτήσαντο, τουτέστιν ἀνέλαβον τὴν πόλιν, τὸ γὰρ ἀνακτᾶσθαι ἐπὶ νόσου φαμὲν, καὶ ἡ πόλις νοσήσασα τῇ στάσει, ὥσπερ καὶ οὗτος ἄνωθεν ἔφη, ὑπὸ τῶν αὐτῆς πολιτῶν καταβαλόντων τὴν στάσιν ἀνεκτήσατο ἑαυτήν.

289, B. Λακεδαιμονίων] Paris. B. Ὅτε οἱ τριάκοντα Ἀθήνησιν ἔμελλον τυραννήσειν, ἐδανείσαντο παρὰ τῶν Λακεδαιμονίων χρήματα, ἵνα διὰ τούτων δύναμιν ἑαυτοῖς περιποιήσωνται· καταλυθέντων δὲ τούτων καὶ τῶν Λακεδαιμονίων οὐκ ἐθελόντων ζημιωθήσεσθαι τὰ χρήματα, οἱ Ἀθηναῖοι πάντες ἀπέτισαν, ὁμοῦ τε μεγαλοψυχίαν ἐπιδεικνύμενοι καὶ τὰς συνθήκας βεβαιοῦντες δι' ἔργου· τοῦτο δὲ ἐποίησαν, ἐπειδήπερ οἱ πλείους τῶν τυράννων ἐξ Ἀθηνῶν ἦσαν αὐτοί τε καὶ οἱ περὶ αὐτοὺς ὑπηρέται.

Digitized by Google

Ἐπὶ τὸν δῆμον] Quae in Ap., eod. in Paris. A., nisi quod τούτῳ καὶ Δημοσθένης ἐχρήσατο. ib.

Ὅπως ὠμίλουν] Paris. B. Οἱ Λακεδαιμόνιοι οὐκ εἴων ξένον κἂν τοῖς βουλευτηρίοις κἂν ταῖς ἐκκλησίαις φοιτᾶν ταῖς αὐτῶν, ἡγούμενοι μεγίστην ὠφέλειάν σφισιν αὐτοῖς εἶναι, εἰ μὴ φοραθείεν τοῖς ἔξωθεν, τί πράττειν βούλονται· καὶ ὅλως νόμος αὐτοῖς ἦν, ἄγνωστα τὰ αὐτῶν εἶναι τοῖς ἄλλοις, ὅθεν καὶ οὐδεὶς ἠπίστατο, εἰ φιλανθρώπως ἀλλήλοις ἐχρῶντο ἢ μή. ib.

Τὸ γοῦν Ἀργείων] Paris. A. Οἱ προστάται τοῦ τῶν Ἀργείων δήμου τοὺς πλουσίους συναναγκάσαντας ἐπάγεσθαι Λακεδαιμονίους ἐπέκτειναν. 289, C.

Πλὴν τῶν εἰς τ. π.] Paris. A. cum Apogr., sed καὶ Δημοσθένης κ. τ. λ. desunt. 290, B.

Οὐ ταῦτα μόνα] Paris. B. ad verbum cum bomb. consentit, cui haec addit: διὰ δὲ τοῦ εἰπεῖν τῆς πολέως οὐ πλέον τοῖς ἄλλοις ἢ ταύτη νικώσης δείκνυσιν αὐτὴν καὶ κατὰ τοὺς πολέμους κρείττονα Λακεδαιμονίων καὶ κατὰ τὰ ἄλλα πολλὰ ὑπερέχουσαν· ἔστι δὲ τὸ τό πρὸς τὸ προνοουμένους, οὐ κατὰ σύνταξιν, ἀλλὰ κατὰ ἀπαρίθμησιν, ὥσπερ ὅταν λέγωμεν τὸ Αἴας, τὸ Ἀγαμέμνων· εἶπε δὲ νῦν αἰτιατικὴν, ἐπειδὴ οὕτως ἀπήτει ἡ σύνταξις· μὴ θαυμάσῃς δὲ, εἰ λέγει, ὡς ἀνισότης ταῦτα δεικνύει καὶ οὐ ταῦτα τὴν ἀνισότητα· εἴωθε γὰρ οὕτως ἀεὶ καινοπρεπεῖς ἐπάγειν τοὺς λόγους, ἐπεὶ καὶ τοῦτο κἀκεῖνο ταὐτόν ἐστι. ib.

Φρουρὰν ἐπὶ Θηβαίους] Paris. A. Φοιβίδας ὁ στρατηγὸς τῶν Λακεδαιμονίων παριὼν τὴν Βοιωτίαν, ἵνα δῆθεν βοηθήσῃ Ἀμύντᾳ, τὴν ἀκρόπολιν κατέλαβε καὶ ἐφρούρει τἀκεῖ. Paris. B. cum his consentit, praeterquam quod in fine: κατέλαβε καὶ φρούρους ἐγκατέλιπεν, οὐ τοῖς Θηβαίοις τυραννικῶς καὶ οὐ φιλανθρώπως ἐχρῶντο· καταφυγόντες οὖν Θηβαῖοι Ἀθήναζε ἐδεήθησαν Ἀθηναίων ἀπαλλάξαι αὐτοὺς τῆς φρουρᾶς καὶ ἐλθόντες κατέλυσάν τε ταύτην καὶ Λακεδαιμονίοις ἐπολέμησαν ἐν Ἁλιάρτῳ καὶ κατακράτος ἐνίκησαν· ἡγεῖτο δὲ τῶν Λακεδαιμονίων Λύσανδρος ὁ ἐν Αἰγὸς ποταμοῖς Ἀθηναίους νενικηκὼς κἀντεῦθεν μεγαλόφρων, καὶ Παυσανίας ὁ νεώτερος. 291, A.

Digitized by Google

291, B. Ἐφήσθη] Paris. A. Ὅτε γὰρ ἐνίκησαν Λακεδαιμόνιοι, ψῆφον ἐτίθεσαν τοῖς αὐτῶν συμμάχοις, τί δεῖ ποιῆσαι τὴν Ἀττικήν, καὶ εἶπον Θηβαῖοι, μηλόβοτον.

291, C. Ἐξελθόντες] Paris. A. Δύο γὰρ ἠγωνίσαντο μάχας Θηβαῖοι, μίαν μὲν ἐν Ἁλιάρτῳ μετ' Ἀθηναίων, ἑτέραν δὲ ἐν Λεύκτροις καθ' ἑαυτούς, ὅτε ἐνίκων.

292, A. Ἑλληνικὴ] Paris. A. [1] Ἀντὶ τοῦ φιλάνθρωπος· μετὰ γὰρ Θηβαίων καὶ Κορινθίων ἐχώρησαν Λακεδαιμόνιοι, ὡς καὶ ὁ Δημοσθένης φησὶν, αἱ πάλιν οὐ πολλαῖς ἡμέραις ὕστερον εἰς Κόρινθον· τὸ δὲ Ἑλληνικὴ ἕως τὸ σωφρονίσαι πρὸς ἀντιδιαστολὴν τῶν βαρβάρων, οἳ καὶ πολεμοῦσιν.

292, C. Τὸν Ἀκροκόρινθον] Paris. B. a bomb. non discrepat.

292, D. Περσῶν βασιλέα] Paris. A. cum Ap., sed multo accuratius — Κύρου δὲ ἀδελφόν· Ἀρταξέρξης δὲ οὗτος (Cod. οὕτως) ἦν, οὗ ἐν ταῖς Ἑλλην. μεμν. Ξενοφ., τὸ δὲ γένος οὕτως ἔχει — Ἑλλάδος στρατευσάμενος — εἶτα Ἀρταξέρξης — κατέφυγον· καὶ τοῦτο οὐχ ἵνα συμμαχήσῃ αὐτοῖς, ἀλλ' ἵνα πείσῃ Ἀθηναίους αὐτοῖς πείσασθαι (sic, f. σπείσασθαι).

ib. Θρυλλουμένην] Paris. A. et B. Ἐπὶ ἀδοξίᾳ· ἡττηθέντες γὰρ ἐν τῇ Ἑλλάδι παρεχώρησαν τοὺς Ἴωνας τῷ Πέρσῃ, ὅπως ἢ ποιήσῃ αὐτοὺς μετ' Ἀθηναίων σπείσασθαι, ἢ κατακρατῆσαι αὐτῶν (B. τῶν Ἀθηναίων).

294, A. Δρόμος] Paris. A. [2] Δρόμος καταχρηστικῶς εἴρηται· κυρίως γὰρ λέγεται δρόμος ἐπὶ τοῦ πεζοῦ, νῦν γὰρ πλέοντες ἐδίωκον.

296, A. Τύχης] Paris. A. cum Ap. Mon.

ib. Ἐξ ἴσου τ. π.] Paris. A. cum Ap. Mon.

296, C. Οὐδ' ὁτιοῦν γάρ] Paris. A. Ἵνα λέγῃ τῶν Περσῶν βασιλέα, ἵνα μὴ λέγῃ τις, ὅτι κέκλοφεν ἢ ἀπεστέρησεν αὐτὸν τὰ χρήματα· λέγεται γάρ, ὅτι ἡνίκα Λακεδαιμονίους ἐδίωκεν ἐν τῷ περιϊέναι (sic), δέδωκε τοῖς Ἀθηναίοις χρήματα

1) Similia B. — 2) Similia B.

Digitized by Google

περσικά· ἀκούσας δὲ ὁ βασιλεὺς συνελάβετο αὐτοῦ· ὁ δὲ δυνηθεὶς ἔφυγε πάλιν καὶ πρὸς Εὐαγόραν κομίζεται. Vide quae ex marg. Schell. ad ἀνὴρ εἷς edidi.

Οὐδ' εἰς τρεῖς] Paris. B. cum bomb. 297, B.

Παραβαλεῖν] Paris. B. cum bomb. 298, C.

Ἐν Λεχαίῳ] Paris. B. cum bomb., sed Λέχαιον λιμήν ἐστι — πρὸς δυσμὰς —. 299, B.

Διέφθειραν] Paris. A. Περὶ τῆς κατακοπείσης λέγει μοίρας ὑπὸ Ἰφικράτους περὶ τὸ Λέχαιον· καὶ καταλέγει δὲ ἐξῆς ἃ Ἰφικράτης ἐποίησεν, μετὰ γὰρ κατακόψαι τὴν κόραν (sic, leg. μοίραν) εὐθὺς καὶ τὰ ἐπὶ ὁρασῦντα (sic) καὶ ἐπὶ Κρομμυῶντι καὶ ἐπὶ Οἰνοῦντι πάντα εἶλεν φρούρια. ib.

Τοὺς ἐν Φλιοῦντι] Consentit B. cum bomb., nisi quod: Τὰ μὲν τὰ Κορ. 299, C.

Σικυωνίων] Paris. A. Ὅτε ἐν Κορίνθῳ πελτασταὶ τῶν Ἀθηναίων ἐνίκων, στρατηγοῦντος Χαβρίου. ib.

Ἁρμοστῶν] Paris. B. Εἰς κρατουμένας τῶν πόλεων Λακεδαιμόνιοι ἄρχοντας ἔπεμπον, οὓς ἐκάλουν ἁρμοστάς διὰ τὸ μεθαρμόζειν τὴν πολιτείαν ἐκ δημοκρατίας εἰς ὀλιγαρχίαν, οὓς Ἀθηναῖοι ἀντιστάντας σφίσιν ἐκράτησαν καὶ πρὸς τούτοις, ἃς ἐν Μεθύμνῃ καὶ ἐν Ἀβύδῳ φρουρὰς ἔστησαν Λακεδαιμόνιοι. ib.

Τοὺς Θρακῶν βασιλεῖς] Paris. B. Ἀβδηρίταις ἐβοήθησε Χαβρίας ἐν Θρᾴκῃ πολεμουμένοις ὑπὸ Μαρωνιτῶν καὶ Τριβαλῶν, ὧν ἦρχε Χάλας, καὶ διαλλάξας τοὺς αὐτῶν βασιλεῖς ἀλλήλοις καὶ φίλους καὶ συμμάχους ἀμφοτέρους Ἀθηναίων ἐποίησε. ib.

Κατέγνωσαν] Paris. B. consentit cum bomb. 300, C.

Φυγὴν] Paris. A. cum excerptis Cod. Palat. facit. ib.

Παρεξυνθέντων] Paris. B. cum bomb. 302, A.

Τῶν αὐτῶν χρόνων] Paris. A. [1] Ἀντὶ τοῦ ἐπὶ τῶν αὐτῶν χρόνων γενομένων· καὶ γὰρ καὶ ὁ Θουκυδίδης, ὅτε διηγεῖται πράγματα συχνά, λέγει ἢ τοῦ αὐτοῦ θέρους ἢ τοῦ 302, B.

1) Similia leguntur in B.

αὐτοῦ χειμῶνος· συγγραφῆς δέ ἐστιν ἔργον ἡ τῶν πυκνῶν πραγμάτων διήγησις.

ib. Τῆς ἐν Νάξῳ] Paris. B. Σὺν ναυσὶ πολιορκῶν Νάξον Χαβρίας Λακεδαιμονίων οὖσαν σύμμαχον, ἐπειδὴ οἱ Λακεδαιμόνιοι αἰσθόμενοι μετὰ πλήθους νεῶν παρεγένοντο, συμβαλὼν αὐτοῖς μεταξὺ Νάξου καὶ Πάρου κατέλυσε μὲν τέσσαρας πρὸς ταῖς εἴκοσι ναῦς, τὰς δὲ λοιπὰς εἰς φυγὴν ἔτρεψε· δύο δὲ αὐτῶν δρους (sic) λαβὼν ἀγαγὼν Ἀθήναζε τοὺς ἐν αὐταῖς πέπρακεν.

302, C. Ἐπὶ Θράκης] Paris. B. Ὅτε Μαρωνίτας καὶ Ἀβδηρίτας πολεμοῦντας ἀλλήλοις διήλλαξεν Χαβρίας.

ib. Θηβαῖοι Λακεδαιμονίους] Paris. B. Θηβαῖοι Λακεδαιμονίους ἐν Λεύκτροις τῆς Βοιωτίας νενικηκότες οὕτως ἐδίωξαν, ὡς καὶ μέχρι τῆς Λακωνικῆς αὐτοὺς ἀφιγμένους; φόβον τοῖς Λακεδαιμονίοις οὐ μικρὸν παρασχεῖν.

303, A. Κῆρυξ παρὰ τῶν Θηβ.] Paris. A. Ἦλθεν ὁ κῆρυξ εὐαγγελιζόμενος νίκην, ἐπειδήπερ καὶ σύμμαχοι αὐτοῖς Ἀθηναίοις ἐν τοῖς πρότερος τρόποις (sic), ἐν Ἁλιάρτῳ καὶ Κορωνείᾳ.

ib. Κελεύουσα] Paris. A. Κελεύουσα ἀντὶ παρακαλοῦσα, Ἀττικῶν ἡ χρῆσις· ἐπ' ἀναιρέσει ἀντὶ τοῦ ἐπὶ καταστροφῇ τῆς Σπάρτης, ἡγεῖσθαι δὲ λέγει ἀντὶ τοῦ προστάτας ποιεῖσθαι.

303, D. Ὠσθέντας] Paris. B. cum bomb.

304, B. Σκιωναίων] Addit Paris. B. ad ea, quae ex bomb. edidi: Ἀπολογεῖται οὖν Ἀριστείδης πρὸς τοὺς ἐγκλήματα ταῦτα τῆς πόλεως φάσκοντας.

305, A. Προσκείσθω] Paris. A. Οὐχ ἁπλῶς τοῦτο εἶπεν τὸ προσκείσθω, πολλάκις γὰρ σημαίνει μικρὰ μέν, πολλὰ δέ, ὅταν δὲ ἡ καὶ πολλὰ καὶ ἔνδοξα τὰ ἀκόλουθα.

305, B. Οὐκ ἐρῶ πῶς] Paris. B. Κατηγόρηταί τις ὡς προδότης· εἰ οὖν καὶ ἕτερους δείξει εἰς ταύτην τὴν κακίαν πεσεῖν, οὐκ ἔστι τοῦτο ἀπολογία ὑπὲρ αὐτοῦ, ὡς διὰ τοῦτο ἧττον μέμψεως εἶναι, ἀλλ' ἐντεῦθεν θηρᾶται παρὰ τῶν κατηγορούντων συγγνώμην καὶ ἔλεον, εἴπερ οὐ μόνος ἑάλω τούτῳ

Digitized by Google

τῷ κακῷ, ἀλλὰ καὶ ἑτέρους ὁμολογοῦντας καὶ συμφωνοῦντας ἔχει διὰ τῆς αὐτῆς πράξεως.

Ἀλλά μοι δοκοῦσιν] Paris. A. *Μεταστατικῶς ἀπολογεῖται, μεταφέρων τὴν αἰτίαν κ. τ. λ.* reliqua cum bomb. et Paris. B. consentiunt. 305, D.

Ἀνάγκη] Paris. B. cum bomb. 307, C.

Ὡς Ἀθηναίους γε] Paris. A. *Ἐσχημάτισται· ἃ γὰρ περὶ Μιτυληναίων, μέμνηται τούτων Θουκυδίδης ἐν τῇ τρίτῃ, κατεψηφίσατο γὰρ ἡ λέξις, ἀντὶ τοῦ Ἀθηναίων πεφυκότων αὐτῶν θάνατον· ὕστερον δὲ μετέγνωσαν Διοδότῳ πεισθέντες τῷ σώζειν* (sic). 308, B.

Μιτυληναίων] Paris. B. cum bomb. facit, post *μετέγνωσαν* haec inserens, quae desiderari Werferus indicavit: *Λέγει οὖν τὸ μὲν πρόσθεν βούλημα ὑπὸ τῆς κρίσεως εἶναι, τοὺς γὰρ κριθέντας καὶ ἀποφανθέντας κακοὺς, τί ἄλλο ἢ ἀπολωλέναι πᾶς τις ἂν εἴποι; τὸ δὲ μεταγνῶναι τῆς ἐμφύτου φιλανθρωπίας εἶναι τῆς πόλεως· τὸ δὲ ἡ τριήρης τὴν τριήρη κατειλήφει κ. τ. λ.* pergit B. cum bomb. ib.

Οἵους] Paris. A. *Ὅτε Θηβαῖοι νικήσαντες ἐν Λεύκτροις ἐπῆλθον Λακεδαιμονίοις* (f. *Λακεδαιμονίους*) *ἀνελεῖν βουλόμενοι, καὶ οἱ Ἀθηναῖοι αὐτοὺς ἔσωσαν.* 309, C.

Τείχη] Paris. A. *Τείχη λέγει ἢ τὰ μακρὰ τὰ ἐπὶ τὸ Λέχαιον ἢ φρούριά τινα ἢ τὸν Ἀκροκόρινθον.* ib.

Μαντίνειαν] Paris. B. *Μαντίνεια πόλις ἐστὶ τῆς Ἀρκαδίας, ἐν ᾗ Ἀθηναῖοι ἐπολέμησαν ὑπὲρ Λακεδαιμονίων, ὅτε Θηβαῖοι μετὰ τὰ Λευκτρικὰ ἐζήτουν αὐτοὺς ἀνελεῖν.* 309, D.

Διονυσίου] Paris. A. cum Ap. M., sed — *τῷ σχήματι Λακεδαιμονίοις συμμαχῆσαι, τῇ δὲ ἀλ. βουλ. τ. Ἑλλ. συμμετρίσαι τῷ Πέρσῃ* B. c. bomb., sed *ὡς* ante *Ἔφορος* om., et quae post *ἱστορεῖ* adduntur. 310, A.

Οὐ γὰρ πρότερον] Paris. A. *Μετὰ γὰρ τὰ ἐν Χαιρωνείᾳ τὴν εἰρήνην οἱ Ἀθηναῖοι παρεδέξαντο, ὅτε καὶ τὸν τοῦ Φιλίππου υἱὸν Ἀλέξανδρον πολίτην ἐποιήσαντο· ὁ δὲ Φίλιππος εἰς Πελοπόννησον ἐξώρμησεν καὶ καταπραξάμενος τὰ ἐν Πελοποννήσῳ ὑπ' αὐτῶν τῶν Ἑλλήνων ἡγεμὼν ἠρέθη* (Cod. *ἤρθη*) *καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν.* Paris. B. *Καταπολεμή-* 311, B.

Digitized by Google

σαντος Ἀθηναίους ἐν Χαιρωνείᾳ Φιλίππου, πρέσβεις παρ' αὐτοῦ Ἀθήναζε ἦλθον περὶ εἰρήνης· ᾤετο γὰρ τότε ἀναγκασθήσεσθαι Ἀθηναίους καὶ δέξασθαι τὴν εἰρήνην, εἰ καὶ μὴ πρόσθεν· ὅθεν ἡ πόλις ἐδέξατο καὶ τὸν υἱὸν αὐτοῦ Ἀλέξανδρον εἰς πολίτας ἐνέγραψεν ὁ δὲ Φίλιππος εἰς Πελ. κ.τ.λ. vid. Paris. A.

312, B. Εὐβοέας] Paris. B. Πάντες οὗτοι ὑπὸ Φιλίππου βιαζόμενοι καὶ κινδυνεύοντες ἐσώθησαν ὑπὸ τῆς πόλεως· Χαλκιδέας δὲ λέγει τοὺς Ὀλυνθίους, ἡ γὰρ Ὄλυνθος μέρος τῶν Χαλκιδέων· εἶπε δὲ τὸ καθ' αὑτήν, ἐπειδήπερ ἔπεμψαν αὐτοῖς Χάρητα τὸν στρατηγὸν εἰς βοήθειαν· τοῦ δὲ ὑστερήσαντος ἐπόρθησε Φίλιππος Ὄλυνθον, ὑπὲρ ἧς Δημοσθένης, ὅπως σωθείη, τοὺς πολλοὺς καὶ καλοὺς ἀνήλωσε λόγους.

ib. Καὶ τὴν χώραν] Paris. A. in his ab Ap. M. discrepat, quod τὴν Ὠρεὸν pro τὴν Ὠρωπὸν, καὶ Θεμισίων στρατηγοὶ pro καὶ Θεμισῶν τύραννοι ὄντες ἤτοι στρατηγοὶ κ. τ. λ.

313, A. Γενομένων γὰρ αὐτοῖς συνθηκῶν] Paris. B. Ἐπὶ τοῦ Μηδικοῦ πολέμου συνέθεντο Λακεδαιμόνιοι καὶ Ἀθηναῖοι, ἐὰν νικήσωσι τὸν πόλεμον, δεκατεῦσαι τοὺς μηδίσαντας, ὅ ἐστι τὸ δέκατον μέρος ἀνελεῖν. Ἐβούλοντο οὖν μετὰ τὴν νίκην οἱ Λακεδαιμόνιοι πληρῶσαι τὰ δόξαντα καὶ Ἀθηναῖοι διεκώλυσαν· τινὲς δὲ λέγουσιν, ὡς μόνος ὁ Θεμιστοκλῆς.

314, B. Ἦν Διὸς π.] Paris. A. cum Ap., sed: — φιλύγελώς τε πάρθενος νικόμεθ' ἡμῶν — εὐμενὴς ἔποιτ' ἀεί, et initio παρὰ τῷ κωμικῷ.

314, C. Λιβύης κολωνοῖς] Paris. A. Κολωνοὺς Λιβύης λέγει τὰ σελήναια ὄρη, ἀφ' ὧν αἱ πηγαὶ τοῦ Νείλου· δυτικώτερα δὲ ταῦτα Λιβύης.

314, D. Βοσπόρῳ] Paris. B. Δύο βόσποροί εἰσιν, ὁ Κιμμερικὸς, ὁ ἐν Σκυθίᾳ, δι' οὗ μίγνυται ἡ Μαιῶτις λίμνη τῷ Πόντῳ· καὶ ἕτερος, ὁ ἐν Ἑλλησπόντῳ.

ib. Ζῆλος] Paris. A. Ζῆλον νῦν τὸν ἔρωτα λέγει.

315, A. Ἡνιόχους] Paris. A. Ἔθνος Σκυθικὸν οἱ Ἡνίοχοι· τὸ ἐπιχείρημα δὲ ἀπ' ἐλάττονος.

Digitized by Google

Πρὸς ἅπαντας] Paris. A. [1] *Τοὺς Δωρικοὺς καὶ Αἰολικοὺς καὶ κοινοὺς καὶ Ἴωνας.* 315, D.

Δι' ἴσου] Paris. A. cum marg. Schell. consentit. 316, C.

Ἀποίκου πόλεως] Paris. B. cum bomb. sine ulla variet. 317, A.

Ξενίαν] B. cum bomb., nisi quod *αὐτοὺς εἰς* pro *ἑαυτοὺς εἰς.* 317, B.

Εἰσφορῶν] Paris A. *Ἐνφορῶν* (sic) *λέγει τῶν φανερῶν ὡς πρὸς σύγκρισιν τῶν Ἐλευσινίων· ἐκεῖνα γὰρ ἀπόῤῥητα καὶ κρυπτά, εἰς τὸ μέσον δὲ ἔκφορα λέγει τοὺς λόγους κατά τινας· καλῶς δὲ καὶ τὸ πρεπούσαις ἐπῳδαῖς, εἰσὶ γὰρ καὶ γοητευτικαὶ ἐπῳδαί* [2]. 318, A.

Ἴυγγι] Paris. A. cum Ap. ib.

Αἴδοι] Paris. A. cum Ap., B. cum bomb., sed B. *εἰς τὰς Ἀθήνας — καὶ εἰς Πελοπ. ἦλθεν.* 319, A.

Σιωπῶ] Paris. A. c. Ap. nisi quod in fine scholii *ὡς* ib.

Ἄρει φησὶν ἐν Ἀναβ. —

Ἦτε νῦν ἀρχή] Paris. A. ad Ap. M. haec addit: *καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ πεφιλοσόφηκεν Ἀθήνησι καὶ ἀνέγνωκε· διὸ καὶ ἐν διδασκάλων φησὶν καὶ ἐν τροφέων μέρει κοσμεῖν.* ib.

Μὴ οὐκ ἐν διδ.] Paris. B. cum bomb., praeterquam quod *ἐφ' οὗ — ἦν πλεῖστα Ἀθ. —* 319, B.

Προσόδων] Paris. A. *Ἐλέγετο γὰρ Ἀδριανὸς οὐκ ἀπαιτεῖν φορους αὐτὴν, ὥστε ἐκεῖθεν ἔχειν προσόδους καὶ κέρδη συνέβαινεν αὐτοῖς.* 319, C.

Ὧν δὲ μόνων] Paris. B. *Τοὺς Λακεδαιμονίους λέγει, οὗτοι γὰρ ὕστερον τὴν τῶν Ἑλλήνων ἀρχὴν ἔσχον καὶ πλέον ἔδοξαν ἔχειν τῆς πόλεως.* ib.

Τετίμηται] Paris. B. *Λάμβανε τὸ τετίμηται καὶ πρὸς τὸ ἐξ ὅσου καὶ πρὸς τὸ ὅσῳ, ὥσπερ καὶ τὸ ἠλαττώθη· ἡ σύνταξις· ἤδε ἡ πόλις οὐκ ἠλαττώθη τοσοῦτον τότε, ὅσον τετίμηται μέχρι τοῦδε τοῦ κακοῦ οὐ μόνον πρὸς τῶν Λακεδαιμονίων, ἀλλὰ καὶ τῶν ἄλλων Ἑλλήνων τετίμηται.* 320, A.

Ἀλλὰ μὴν πέντε] Paris. A. et D. *Πέντε μὲν μνήμας* 320, C.

1) Paullo uberius eadem tractantur in B. — 2) Quae inde a *καλῶς δὲ* leguntur, horum similia servantur in B.

Digitized by Google

(sic) βασιλειῶν· τὴν ᾱ μὲν, ἣ Ἀσσυρίων κατασχοῦσα ἀπὸ Νίνου τοῦ πρώτου μέχρι Σαρδαναπάλου τοῦ ὑστάτου βασιλεύσαντος ἔτη ᾱυν. δευτέραν δέ, ἣ τῶν Μήδων ἀπὸ τοῦ ᾱ Ἀρβάκου μέχρι Ἀστυάγους τοῦ ὑστέρου βασιλεύσαντος, ἔτη κατέσχε ᾱ καὶ ῡ καὶ ō, ὁ Ἡρόδοτος δέ φησιν ἑκατὸν καὶ ἡ (D. ρκη)· τρίτην δέ, μέχρι Ἀρταξέρξου τοῦ Δαρείου διαδέχεται (haec vox deest in D.) ἔτη σιε· καὶ μέχρι μὲν τούτου Κτησίας τοὺς χρόνους ἀναγράφει, ἐφ' οὗ καὶ κ καὶ γ (D. diserte ἡ εἰκοστὴ τρίτη) τῶν Περσικῶν· Ἀρταξέρξην δὲ ὁ παῖς αὐτοῦ Δαρεῖος διαδέχεται, ὃν κατέλυσεν ὁ Ἀλέξανδρος ἐξ ὡς φησιν (D. φασιν) ἔτη κρατήσαντος (sic), μεθ' ὃν εἰς Μακέδονας ἡ ἀρχὴ μετῆλθε καὶ ἐκράτησαν μετ' (sic D., A. μὲν) Ἀλέξανδρον οἱ ἐπιληθέντες διάδοχοι, καὶ μετ' αὐτοὺς ὑστάτη ἡ Λαγιδέων Κλεόπατρα ἡ Πτολεμαίου, κρατήσασα ἐν Αἰγύπτῳ, ἥτις κατελύθη ὑπὸ Αὐγούστου Καίσαρος καὶ μετῆλθεν πάλιν εἰς Ῥωμαίους ἡ πᾶσα δύναμις.

ib. Αἱ πρῶται] Paris. A. Τὸ περὶ τὴν ἐπιδημίαν Δήμητρος διδούσης τοὺς καρποὺς, τὸ διαιτᾶσθαι Ποσειδῶνα καὶ Ἀθηνᾶν περὶ τῆς γῆς καὶ ἔτι Ἄρεα περὶ Ἁλιῤῥοθίου τοῦ υἱοῦ. Paris. B. cum bomb. in his discrepat: τοὺς σὺν Πολυνείκῃ — τὸ ἐρίσαι τὸν Ποσ. — Praeterea haec addit: καὶ ὅσα τοιαῦτα· καὶ ταῦτα μὲν ἐπὶ τῆς πρώτης, ἐπὶ δὲ τῆς δευτέρας τῆς τῶν Μήδων Δαρεῖον ἐνίκησεν, ἐπὶ δὲ τῆς τρίτης τὸν Ξέρξην, ἐπὶ δὲ τῆς τετάρτης Μακέδονας, ἐπὶ δὲ τῆς πεμπτῆς Ἀδριανοῦ ἐπὶ τῇ ἀρχῇ δηλονότι, ὡς οὐδεμία τῶν ἄλλων τετίμηται πόλεων, ὥσπερ καὶ προλαβὼν εἴρηκεν.

ib. Ἐπὶ δὲ τῆς δευτέρας] Paris. A. Τινὲς λέγουσιν ἐπὶ Δαρείου τὰ ἐν Μαραθῶνι· ἄμεινον δὲ λέγειν ἐπὶ τῶν Μήδων· ἐπὶ τῆς τρίτης τὰ ἐπὶ Ξέρξου, ἐπὶ τῆς τετάρτης τῆς τῶν Μακεδόνων μόνη ἀντισχοῦσα καὶ μὴ τέλεον δεδουλευμένη πρὸς τοσαύτην δύναμιν· ἐπὶ τῆς ε τῆς Ἀδριανοῦ τῶν Ῥωμαίων δηλονότι, ἃ προλαβὼν εἴρηκεν.

322, C. Ἡ δὲ τοὺς τοῦ Δ.] Paris. A. cum Ap. facit, nisi quod εὐεργετεῖν φασι — δηλοῖ καὶ ὁ des. — λέγοντες διὰ τοῦτο κληθῆναι Δ. — ὡς ἐκ Διός, quibus quae continuo adduntur in Ap., ea desunt in A. Paris. B. c. bomb.

Digitized by Google

Τὰς δ' ἀῤῥήτους] Paris. B. sine ulla variet. c. bomb.

Τῆς τοίνυν σοφίας] Paris. A. cum Ap., nisi quod incipit a: *τοῦτο δὲ καὶ Δ.*, et his subjungit: *Λέγει δὲ τοὺς Ῥωμαίους κ. τ. λ.*

Κατορθώματα] Paris. A. ab Ap. M. nil differt. 3a3, C.

Ὀξύτατοι] Paris. A. *Ὀξύτατοι δὲ Ἀλκιβιάδην,* 3a5, A.
ἀσφαλέστατοι διὰ Χαβρίαν, δικαιότατοι δὲ Ἀριστείδην· ὅλλοι δὲ ὀξύτατοι ἔφασαν διὰ Θεμιστοκλέα λέγειν, ἢ Νικίαν, ἀσφαλέστατοι δὲ κοινόν ἐστιν ἀμφοτέρων ἐγκώμιον.

Δεδόσθω πάντα] Paris. B. *Δέον εἰπεῖν ἑκάστης* 3a5, C.
πρὸς τὸ πόλεων, ἑκάστη εἶπε, πρὸς τὸ δεδόσθω τὴν σύνταξιν τρέψας.

Ὥσπερ ἐν ἅρμασιν] Paris. A. *Καὶ γὰρ πρῶτον ἀνε-* 3a5, D.
κηρύττοντο, ὅτι ὧδε πρῶτον ἐνίκησε, δεύτερον ὁ δεῖνα, τρίτον ὁ δεῖνα, μετὰ δὲ ὁ τέταρτος· μετὰ δὲ τὸν τέταρτον ἀριθμὸν οὐκ ἔξῆν τινα ἀναγορευθῆναι, ὡς τῶν Ἑλλήνων ἡττηθέντων· εἰ δὴ καὶ ἅρμα γε τοῦτο εἶπεν, ὥς τινων λέγόντων, ὅτι οἱ Σικελιῶται ἐξεῦρον τὸ ἅρμα· οἱ γὰρ περὶ Βακχυλίδην καὶ Πίνδαρον κ. τ. λ. vid. Apogr. Mon. et Leid. Paris. B. cum bomb.

Οὐρανοῦ] Paris. B. *Ἐπειδὴ πρὸς τὴν θέσιν τοῦ οὐ-* 3a6, D.
ρανοῦ καὶ ἡ τοῦ ἀέρος κρᾶσις ἐστι διὰ τοῦτο καὶ οὗτος ἀντὶ τοῦ εἶπεῖν ἀέρος, οὐρανοῦ εἶπεν, ὡς καὶ ἐν ἀρχῇ τοῦ λόγου πεποίηκε τοῦτο τὸ νόημα εἰπών.

Ἀγάλματα] Paris. A. *Τρία ἦσαν ἀγάλματα ἐν τῇ* 3a7, B.
ἀκροπόλει, ἓν μὲν διῒπετὲς τῆς Ἀθηνᾶς, ἕτερον τ. χ. κ. τ. λ. vide ad *ἄνευ τῶν οὐρανίων*, quibus enarratis haec adduntur: *Τὸ δὲ τῆς Ἀθηνᾶς τὸ διῒπετὲς τὸ Παλλάδιον ἦν, φασὶ τὸ ἀπὸ Τροίας· ὁ γὰρ Δημοφῶν παρὰ Διομήδου ἁρπάσας εἰς Ἀθήνας ἤγαγεν ὡς Λυσίας ἐν τῷ ὑπὲρ Σ. πρ. Πολ. λέγει*, reliquis quae in Ap. sequuntur, omissis.

Ἄνευ τῶν οὐρανίων[Paris. B. cum bomb., sed *ἐποί-* ib.
ησεν pro *ἔστησαν*, *χαλκοῦν* pro *χαλκοῦ*.

Οἱ κατὰ τὴν Ἑλλ.] Paris. B. cum b 3a9, B.

Ὁ τῶν Παναθ.] Paris. A. cum Ap. M. et Leid. 3a9, C.

Digitized by Google

ib. *Σαμόθρᾳκες*] Paris. A. transpositis tantum verbis eadem narrat, quae in Ap. traduntur, itemque B. consentit cum bomb., nisi quod in fine *ἐναυμάχουν* pro *ἐναυάγουν*, quod disertè legitur in Paris. A.

329, D. *Τὴν εἰς Δ.*] Paris. B. cum bomb. facit, sed *λῃστρικὸν* pro *λῃστικόν*.

330, A. *Ἐπιβάλλειν*] Paris. A. cum Ap., nisi quod A.: *Διεχίσης δὲ ἔφη*. B. sine var. cum bomb.

330, B. *Ἀ γὰρ τοῖς ἄλλοις*] Paris. A. *Διὰ τὸν ἐν Ἐφέσῳ ναὸν καὶ τὸν ἐν Καλοφῶνι· κατασκευῇ λουτρῶν διὰ τὸν ἐν Ἐφέσῳ σεβαστὸν καλούμενον λουτρεῶνα.* Paris. B. *Διὰ τὸν Ἡρακλέα λέγει, οὗ τοῖς ἀγάλμασιν ἕτεροι φιλοτιμοῦνται, ἡ πόλις δὲ τῷ πρώτην τῶν Ἑλλήνων νεὼν αὐτῷ ἱδρῦσαι καὶ πανηγύρεις αὐτῷ καθ' ἕκαστον ἔτος καὶ θέατρα τελεῖν.*

ib. *Κρατεῖ τὸ παρ' ὑμῖν*] Paris. A. *Ἀντὶ τοῦ ἀκρόπολις· αὕτη γὰρ καὶ πόλις ἐκαλεῖτο· λέγει δὲ τὸ τῆς Ἀθηνᾶς, ὅπερ ἐποίησε Φειδίας ἐξ ἀργύρου καὶ ἐλέφαντος· τὸ οὖν, φησὶν, ἐν τῇ ἀκροπόλει κάλλιστόν ἐστι μετὰ καὶ τοῦ τὰ ἄλλα ἀγάλματα τρόπον τινὰ τῆς πόλεως προσήκειν οἰκεῖα εἶναι καὶ ἴδιά ἅπερ ἔχουσιν οἱ ἄλλοι ἄνθρωποι, ὡς παρ' αὐτῶν διαδεχθέντας ποιεῖν.*

330, C. *Ἀγαλματοποιοῖς*] Paris. A. *Περὶ τοῦ λευκοῦ φησι λίθου τοῦ ἀπὸ τῆς Πεντέλης, ὅ ἐστιν ὄρος τῆς Ἀττικῆς, ἀφ' οὗ ἄλλα πολλὰ κατεσκευάσθη ἀγάλματα, μάλιστα δὲ τὸ ἐν Κνίδῳ τῆς Ἀφροδίτης.*

331, A. *Λυκούργῳ*] Paris. A. cum Ap., omissis tamen prioribus duobus verbis, et *μαντεύσομαι* servans pro *μαντεύομαι* — *ἀνδρῶν δὲ π.* — *σοφώτερος.* Paris. B. cum bomb., sed

Δίζω, ἤ σε θ. — *ἠὲ βροτοσγε.*

et infra *τίς εἴη μάλισθ' ἁπ. σοφώτατος.*

331, B. *Συχνοῦ*] Supra in Paris. B. *Δεῖται.*

331, D. *Ἀδυνάτους*] Paris. A. *Ἀδυνάτους λέγει πάντας τοὺς μὴ δυναμένους χρῆσθαι τῷ σώματι πρὸς τὴν οἰκείαν αὐταρκείαν, ἤτοι τοὺς ἀσθενεῖς· κατεχρήσατο δὲ τῇ λέξει, κυρίως γὰρ ἀδύνατοι οἱ πένητες λέγονται· δυνατοὺς λέγει τοὺς ἐν τῷ πολέμῳ ἀποθανόντας, ἐν καὶ οἱ ἐτήσιοι ἐπι-*

Digitized by Google

τάφροι, ἀδυνάτους δὲ τοὺς τούτοις προσήκοντας, οὓς τρέφουσι τὴν ἀδυναμίαν αὐτῶν ἐλεοῦντες.

Ἀριθμίου] Paris. B. Ὅτε κατὰ τῆς Ἑλλάδος ἐστράτευσε Ξέρξης θέλων χρυσίον πέμψαι πρὸς Λακεδαιμονίους, ἵνα δι' αὐτοῦ παραχθέντες συμπράττωσι κατ' Ἀθηναίων αὐτῷ, ἄκοντα ἠνάγκασεν Ἀριθμιον ἐγαγεῖν· ὁ δ' ἐν Ἀθήναις ὤφει, καὶ κατὰ τύχην ἑάλω τότε ὑπὸ Περσῶν. Ἐκ δὲ τοῦ εἰπεῖν, καίτοι μόνου τούτου παντ' ὁμοῦ τὰ τῶν ἀπολείπεται, δείκνυσιν Ἀθηναίους οὕτω σωφρονοῦντας ἐν ἑαυτοῖς, ὡς καὶ εἴ τις ἀκὼν ὑπηρέτησε τῷ Πέρσῃ, τοῦτον εὐθύνειν. 332, A.

Ἀτίμους] Paris. A. Ἀτίμους ἀντὶ τοῦ ἀτιμωρήτους, ὥστε τὸν φονεύοντα αὐτοὺς μὴ τιμωρεῖσθαι ἢ τινα τοῦ γένους αὐτοῦ. ib.

Ὡς ἀρχαῖα] Paris. B. Ὥσπερ τὰ Σαμοθρᾴκια ἢ τὰ Λυκομήδων. 333, B.

Γεωπεῖναι] Paris. A. Οἱ γῆς ἐνδεῶς ἔχοντες ἀροσίμης· πάντες οὖν οἱ μὴ ἔχοντες ζῆν διετος (sic) τῶν ἐχόντων ἑαυτοὺς δεικνύουσιν. Paris. B. Γεωπεῖναι οἱ γεωργοὶ οἱ μὴ ἔχοντες οἰκείαν γῆν ἀροῦν, ἀλλ' ἐπὶ ξένης τοῦτο ποιοῦντες, προστάτην ἔχοντες καὶ δι' ἐκείνου φαινόμενοι. 334, C.

Αὐτῷ λέγει] Supra in Paris. B. Ὁμήρῳ. 335, A.

Συνέταξε] Paris. A. c. Ap. M., sed παρὰ τῶν Κρητῶν — τοῦ Ἀπόλλωνος ὅτι οὕτω ἐθάρρησε παραδοῦναι τοὺς νόμους Λακεδαιμονίοις. Paris. B. cum bomb. nisi quod παρὰ τῶν κριτῶν — κατὰ μαντ. τ. Ἀπ. desunt. 336, A.

Ὁ δὲ γε αὐτὸς] Paris. A. in his ab Ap. dissentit, quod περὶ τοῖς Ἀθ. Κλεισθένης ὁ Ἀλκμ. — προσποιήσηται ἑαυτὴν — τὴν ἄλλην καὶ — εἰς τὴν Πυθείαν — μέλλει deest — λαβὼν οὖν τοὺς χρησμοὺς — κτίζει δέκα φ. — ἵνα μὴ ῥᾳδίως ᾖ τυραννῆσαι, μελετῶσα πείθειν τὰς λοιπὰς ὑπὸ τῶν Λακεδαιμονίων καὶ Μακεδόνων — ἑτέρας δύο φυλάς, ἵνα ἐὰν καὶ βούληται μία τῶν ι τυραννῆσαι, μὴ ῥᾳδίως τοῦτο ποιοῖ· ἐκάλεσε δὲ τὴν μὲν τῶν ὑστέρων δύο φυλῶν Ἀντιγονίδα, τὴν δὲ ἑτέραν Δημητριάδα — τῶν βασιλέων. ib.

Digitized by Google

ib. *Τὰς ἐκ.*] Paris. B. c. bomb.

33γ, C. *Τὴν κοινότητα*] Paris. B. *Περὶ Θησέως ἴσως ἂν λέγοι, ὃς συνήγαγεν Ἀθηναίους εἰς μίαν πόλιν, ὅθεν καὶ συνοίκια θύουσιν.*

338, A. *Ὥσπερ γὰρ ὁ πᾶς οὕτοσὶ κ.*] Paris. A. [1] *Ἐπειδὴ τὸ ἐπιχείρημα φιλόσοφον δοκεῖ καὶ ἀλλότριον τοῦ ῥήτορος, ἐθεράπευσεν αὐτὸ εἰρηκὼς ὁ παλαιὸς λόγος, τουτέστιν ὁ φιλόσοφος· οἰκεῖον δὲ τῷ προκειμένῳ νοήματι εὗρε παράδειγμα· τὸ δὲ νόημα τοιοῦτο· τέσσαρά ἐστι τὰ στοιχεῖα, ἐξ ὧν πᾶν σῶμα συνίσταται, ὑγρὸν, ξηρὸν, ψυχρὸν, θερμόν· ἀλλ' οὐ τοῦτό ἐστι τὸ ζητούμενον, πρόδηλον γὰρ τοῦτο τοῖς ἅπασιν. ἀλλ' ὅτι ἕκαστον τῶν τεσσάρων τουτων στοιχείων ἔχει ἐν ἑαυτῷ τὰ ἕτερα τρία· Πλάτωνος δὲ τοῦτο τὸ θεώρημα, ὅτι οὐδὲν τούτων ἁπλοῦν ἔτι καθ' αὑτὸ, οὐ γὰρ ἂν συνέστη, ἀλλ' ἐφθείρετο τῇ ὑπερβολῇ· ἕκαστον οὖν, φησὶν, ἔχον ἐν ἑαυτῷ καὶ τὰ ἄλλα στοιχεῖα ἐκ τῶν πλεονεζόντων ἔσχε τὴν προσηγορίαν, ὄντως οὖν καὶ αἱ πολιτεῖαι, εἰ καὶ ἰδίᾳ κεχωρισμέναι, ἀλλὰ καὶ τῶν ἄλλων μετέχουσι.*

33θ, B. *Ἀλλ' ὅσον*] Paris. B. cum bomb., sed *κατὰ Σοφοκλῆ διὰ τὸ ἔχειν ἡ πόλις.*

33θ, C. *Τὰ τῇ φύσει*] Paris. A. cum bomb., sed *χρήματα λέγει, Πλ. δ. τὸ δόγμα — πρῶτον μὲν τὴν ψ. — τρίτον δὲ τὰ ἐκτὸς ἤτοι τὰ τοῦ σώματος, ἅπερ ἐστὶ χρήματα, ἀρχαὶ, φίλοι καὶ τὰ τοιαῦτα.* Reliqua desunt. Consentit item B. cum bomb., sed *λέγει δὲ ἐκεῖνος — μὲν τῆς ψυχῆς —* add. *ἥτις ἐστὶ τῆς ψυχῆς.*

33θ, D. *Βουλήμασι*] Paris. B. *Βούλεται εἰπεῖν, ὡς οἱ ἄλλοι Ἕλληνες δημοκρατίαν ἔχοντες τῇ μὲν θρασύτητι τῆς γνώμης καὶ τῷ ἐπιθυμεῖν τῶν ὑπὲρ αὐτοὺς καὶ μὴ ἐπιεικεῖς εἶναι οὐ συμφώνουσι τῷ τῆς δημοκρατίας ὀνόματι, ἀλλ' εἶσι τούτου θρασύτεροι· ἐν δὲ τῷ γνώμην ἔχειν γενναίαν καὶ μεγαλόψυχον εἰς ἅπαντα τὰ πράγματα, ὃ δὴ τοὺς δημοκρατουμένους εἰκὸς ἔχειν, πόρρω τούτων εἰσί· οἱ δὲ λαμβάνοντες ἔξωθεν τὸ ὅμοιον πρὸς τὸ ἀπὸ τῆς πόλεως*

1) Initium servavit Cod. B.

Digitized by Google

Θέλοντες σύνταξιν τὴν δοτικήν, οὐδὲν λέγουσιν, ἀλλὰ τὸ γεγενημένοις ποιεῖ τὴν δοτικήν· δέον γὰρ εἰπεῖν, οὐ συμφωνήσαντες ἐπειδὴ ὁ συμφωνῶν ὑπάρχων τινὶ αὐτῷ κατὰ τὸ συμφωνεῖν διὰ τοῦτο γεγενημένοις εἶπεν (sic).

Ἕνα τῶν] Paris. A.[1] *Τὸν Ἀριστείδην λέγει τὸν Λυ-* 340, B.
σιμάχου· οὕτω γὰρ ἦν πένης, ὥστε τὴν θυγατέρα αὐτοῦ μετὰ τὸν ἐκείνου θάνατον ἐκδοθῆναι ἀνδρὶ ὑπὸ τῆς πόλεως· τοῦτον οὖν ἔταξαν τοὺς φόρους ἐκθεῖναι τοῖς Ἕλλησιν· ἔκρινε δὲ ἀντὶ τοῦ ἐχειροτόνησεν.

Ἀπὸ τῶν μεγίστων τιμ.] Paris. B. cum bomb., nisi 341, A.
quod *λέγει τὴν περιουσίαν —.*

Εἰ δέ που.] Paris. A. *Τοῦτο αἰνίττεται εἰς τὴν τυ-* 341, B.
ραννίδα τῶν Ι, ὅτι ἅμα εἰς χεῖρας ἦλθον καὶ σπονδὰς ἐποιήσαντο, ὡς αὐτός φησι. B. Εἰς τὴν μετάστασιν τῶν τετρακοσίων αἰνίττεται, ὅτι ἅμα εἰς χεῖρας ἦλθον καὶ σπονδὰς ἐποιοῦντο.

Πένταθλοι] Paris. A. cum Ap., omissis tamen omni- ib.
bus usque ad *νικῶντες*, pergit A. *οὐχ ὅτι κ. τ. λ.* In Paris. B. legitur initium scholii, quod integrum servavit Phot. usque ad *πάλην*, *δρόμον κ. τ. λ.* quae rectius in B. omittuntur.

Ὀξύτερος] Paris. B. *Ἐκ τοῦ εἰπεῖν πραότερος δεί-* 341, D.
κνυσιν, ὡς ὁ τῶν Ἀθηναίων δῆμος πάνθ' ὅσα πράττει, μετὰ τοῦ δικαίου καὶ τοῦ μηδένα λυπεῖν πράττει, ἰστέον, ὅτι δυσκόλως ἐν ταὐτῷ ὀξύτης καὶ πραότης εὑρίσκεται· ὁ μὲν γὰρ ὀξὺς καὶ θρασύς, ὁ δὲ πρᾶος καὶ βραδύς, ὡς καὶ Πλάτων ἐν Θεαιτήτῳ φησίν.

Τῆς λοιπῆς σ.] Paris. B. c. bomb., praeterquam ib.
quod *καὶ γὰρ ὁ Ὅμηρος τῶν λόγων τῷ σοφίας ὀνόματι χρ.*

Γένη] Paris. A. *Γένη τὰς ἀναιρέσεις τῶν φιλοσόφων* 342, A.
λέγει, οὐ τέθνηκε τῷ σώζεσθαι τὰ βιβλία. Paris. B. *Ἐπειδήπερ ἡ πόλις εὐτυχής ἐστι κατὰ πάντα καὶ ἡ φιλοσοφία ἐντεῦθεν ἐξέλαμψε διὰ Πλάτωνα καὶ ἑτέρους καὶ πρὸς πᾶσαν γῆν ἐρρύηκε, διὰ τοῦτο εἶπε τὸ οὐ τέθνηκεν.*

1) Initium legitur quoque in B.

Digitized by Google

342, C. *Προηρυσίαν*] Paris. A. cum Ap. consentit, transpositis majoribus enarrationis partibus, incipit enim ab ἡ δὲ ἱστορία — τουτέστι πρὸ τ. ἀρ. κ. τ. λ.

342, B. *Βασιλεῖς*] Paris. A. et B. *Εἰς Ἀδριανὸν ἀποτείνει τὸν λόγον, οὗτος γὰρ τοῖς ἔθνεσιν ἐδήλωσεν, ὅτι ὁ τιμῶν τὰς Ἀθήνας ἐμὲ τιμᾷ.*

342, C. *Ἀετὸν ἐν νεφ.*] Paris. A. c. Ap., in quo post ὀρτέων haec inserit: *ὥσπερ γὰρ οὖν, φησὶν, ὁ ἀετὸς προέχει τῶν ἄλλων, οὕτω καὶ* vid. Ap. — *πολισμάτων· ἔστι δὲ τοῦτο ἀπὸ χρησμοῦ* — *ὧν* deest — *ἀγελείης* — *ἀετός* —. B. sine ulla discrepantia c. bomb.

343, A. *Τὸ τῆς σ.*] Paris. A. cum Ap., sed in clausula scholii: *καὶ ἄλλοι καὶ ἔρεισμα Ἀθανᾶς*, reliquis omissis. B. cum bomb., sed *μετὰ τὰ ἐν Αἰγὸς π.* — *καὶ ἐρωμένους* —.

ib. *Εἶσω πίπτειν*] Paris. A. *Ἀντὶ τοῦ νῦν δέ μοι δοκεῖ πάντα ταῦτα μικρὰ εἶναι καὶ οὐκ ἔχεσθαι τοῦ ἀληθοῦς· ἀπὸ μεταφορᾶς τῶν ῥιπτούντων τοὺς κύβους καὶ ἔξω τῶν φιμῶν ῥιπτούντων.* Consentit cum his B. usque ad *ἀληθοῦς· εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν τοξοτῶν, ὅταν ἐντὸς τοῦ σκοποῦ πέμπωσι τὰ βέλη.*

344, A. *Πέπλου*] Paris. A. cum Ap., sed *Πέπλον λέγει κ. τ. λ.* — *ἄρμενον* — *ἐν ᾧ ἦν γεγραμμένη ἡ* — *τοῦτο ὅτι* — *παρθένων εἶργ. πέπλους ἀνατιθεῖσαι τούτους τῇ Ἀθ. ἐν ταύτῃ πανηγύρει.* Paris. B. cum bomb., nisi quod medio in scholio *ἐποίουν οὖν τοῦτο* —.

ib. *Θεωρίᾳ*] Paris. A. *Τῇ πανηγύρει ἢ τῇ θυσίᾳ ἢ τῷ ἀγῶνι.*

Digitized by Google

ADDITAMENTA LEIDENSIA.

Digitized by Google

Digitized by Google

Transmissis jam ad Broennerum, spectatae comitatis et facilitatis virum additamentis, quae supra ex Codd. Pariss. dedi, en subito laetissimus a Creuzero, V. D. allatus est nuntius, fore, ut proxime Jacobus Geelius, professor Leidensis, quae ipse ex Codice praestantissimo, cujus passim injeci mentionem, descripserat, ad me mitteret. Dederat autem J. Geelius, nullo omnino mihi beneficio devinctus, litteras ad Creuzerum VII Cal. Nov. MDCCCXXIV, quibus se apographum ex Cod. Leidensi confectum ita mihi concessurum significavit, quasi, re integra, ne manum quidem unquam huic operi admovisset. Qua in re dubius profecto haereo, utrum magis admirer eximiam in describendis his scholiis accurationem, an liberales et ingenuos praeclarissimi Geelii mores verecundius suspiciam. Rarissime enim fit, ut doctus aliquis laboris, cujus ipsum minime oportuit poenitere, qui quam molestus sit in describendis, immo haud raro divinandis litterularum evanidarum vestigiis, praeclare, qui huic rei accuratius aliquando operam navarunt, sciunt, ejus laboris usum ut ignoto, sola viri alicujus primarii auctoritate permotus usum ultro permittat. Tibi igitur, tibi inquam, Clarissime Geeli, ut unice liberalem in hac re te praebuisti, quidquid ex his additamentis Leidensibus huic scholiorum in Aristidem editioni decoris accessit, refero acceptum.

Quodsi vero cui haec additamenta minus copiosa videantur, is haec secum cogitet: me ad unam omnes enarrationes sive ex Codd. mscr. Monacensibus, Schellersh.

Digitized by Google

Palat. Pariss. sive ex editis supra propositas, ubi item in Leidensi legerentur, nonnisi excerpta lectionis varietate, leviter tantum significasse, rectius me et otio et commodo legentium, si novas in superioribus neglectas enarrationes attulissem consulturum arbitratus; sin minus novas, at eas quidem, quae nonnihil a superioribus recederent.

Quae scholiis subjectae sunt notulae, eas Geelii V. D. credas velim, plura profecto addituri, si scholia edendi, quod ceperat, consilium explicuisset; meas autem ipsius paucas ad modum, ubi visum est, inserui. Utrasque fac ut benigno animo excipias, lector, et vale.

Digitized by Google

ΕΙΣ ΤΟΝ ΑΡΙΣΤΕΙΔΟΥ ΠΑΝΑΘΗΝΑΙΚΟΝ

ΣΧΟΛΙΑ.

Τροφεῦσι] *Τροφέας τοὺς διδασκάλους καλεῖ· περὶ τροφέων* p. 160, C.
δὲ διαλεγόμενος καλῶς προέταξε τοῦ νόμου,[1] *δεικνὺς ὅτι*
μεγίστη τιμωρία ὑπόκειται τῇ τοῦ νόμου κολάσει οἱ μὴ
σπεύδοντες τοὺς γονεῖς θεραπεύειν· εἶτα καὶ τὴν αἰτίαν ἐν
τῷ προοιμίῳ προστίθησι λέγων, δι' ἣν ἦλθεν ἐπὶ τὸ ἐγκώ-
μιον τῆς πόλεως· ἐν γὰρ Ἀθήναις διδαχθεὶς ἀμείβεται τὴν
πόλιν τῆς παιδεύσεως τροφέα αὐτὴν καὶ πατέρα καλῶν,[2]
πεποίηκε δὲ τὸ προοίμιον ἀναγκαῖον, νόμον ὀνομάσας τὸν
ἐπιτάττοντα[3]*· ὠνόμασε δὲ καὶ βαρβάρους τιμῶντας τὸν*
νόμον, πανταχόθεν αὐτὸν δεικνὺς κάλλιστον· εἶτα καὶ τὸν
χρόνον προείρηκεν (f. *προσείρηκεν*) *εἰπὼν παλαιούς, νόμων*
γὰρ ἔπαινος ὁ χρόνος· διὰ δὲ τοῦ ἐστὶ χρησιμότερον αὐτὸν
ἐμφαίνει δηλῶν τὸ ὠφέλιμον τῶν νεαρῶν (sic quoque Paris. A.)

"Οση δυνατὴ] *"Οσα ὁ μαθητὴς δύναται, κἂν μὴ πρὸς* ib.
ἀξίαν ἰσχύσῃ· οὐ γάρ τις δύναται διδασκάλους κατ' ἀξίαν
ἀμείψασθαι, εἰ τῇ[4] *ψυχῇ προὐπῆρχεν εὐεργετούμενος.*

Δοκῶν γε δήπους εἰς "Ελλ.] *Σοφοὺς καὶ Μένανδρος·* ib.

"Ελληνές εἰσιν ἄνδρες οὐκ ἀγνώμονες

καὶ

Μετὰ λογισμοῦ πάντα πράττουσί τινος.

1) Scr. *τὸ νόμος* vel *τὸν νόμον*. Mox legendum videtur *τοὺς μὴ σπεύδουσι*. — 2) Referuntur haec ad pag. 161, B. — 3) Aut excideruut quaedam, aut subaud. *ἐχωμιάζειν* vel *χάριν ἐπαίνειν τῇ πόλει*. — 4) Cod. *Εἰ τε ψυχῇ*.

Digitized by Google

Τινὲς δὲ οὐκ ἐπῄνεσαν τὴν σύνθεσιν τοῦ κώλου, διὰ ἐφεξῆς ἔχειν τὸν σύνδεσμον, ἀγνοοῦντες ὅτι ἐπίτασιν δηλοῖ, ἀντὶ τοῦ λογιζόμενοι παντελλόγιμος εἶναι. [1]

161, A. *Μάλιστα μὲν γὰρ*] Vid. ed. ad *Χάριν ἐκτίνειν*, a quibus in his fere recedit Cod. Leid. *ἐπειδὴ γὰρ τροφεῦσι χάριν εἶπεν ἐκτίνειν, τροφὴ δὲ κ. τ. λ. — καὶ ταύτην Ἀθηναίοις — διὰ δὲ τοῦ εἰπεῖν μάλιστα μὲν γὰρ — διεβάλλοντο — αὐτὸς τοῦτο* [2] *— αὕτη ἡ πόλις ἐφεῦρε παρὰ τῶν θεῶν δεξαμένη. Διπλῆν δὲ τὴν κατασκευὴν μία λέξις πεποίηκεν· ἐπειδὴ γὰρ καὶ ἡ τοῦ σίτου καὶ ἡ τῶν λόγων τροφὴ καλεῖται, εἰκότως διπλῆς ἐμνήσθη κατασκευῆς, καὶ τὸ μὲν τοῦ σίτου κατὰ παραδρομὴν λέγει· τὸ δὲ τῶν λόγων ἐπεξεργάζεται· τοῦτο γὰρ αὐτῷ τὸ δοξαζόμενον.*

ib. *Οὓς ἂν ἡ τύχη* [3]] *Τύχη γὰρ ἢ ἀπόρους ἢ εὐπόρους δίδωσι πατέρας, ὁ δὲ* [4] *χρόνος, ἀφ' οὗ γέγονε καὶ οὐχ ἑτέρου τινὸς εἶναι· κοινῆς* (Cod. *κοινοὺς*) *δὲ, διὰ τοῦ σίτου λέγει, κοινὴ γὰρ τροφὴ* vid. ed., a quibus in his discrepat Leid. C. *πρώτους αὐτοὺς — δι' Αἴδου καὶ Κελεοῦ καὶ Τριπτολέμου τοῖς ἄλλοις μεταδοῦναι.*

ib. *Ἐπωνύμους*] *Ὅμηρος τὸν σῖτον Δημήτερος ἄκτὴν* (Il. XIII, 322) *λέγει καὶ ἡ Ἀττικὴ δὴ τοπρόσθεν ἀκτὴ ἐκαλεῖτο.*

161, B. *Ἥρκει* [5]] *Κἂν παραλείπω τὴν τῶν λόγων τροφὴν, ἡ τοῦ σίτου ἱκανὴ ἦν, πάντας ὑμῖν εὔνους παρασκευάσαι.*

ib. *Τῆς ὡς ἀληθῶς καθαρᾶς*] *Τοῦτο πρὸς τὸ νενομισμένης* [6] *ἀντέθηκε· τὸ δὲ καθαρᾶς εἶπεν, οὐχ ὅτι ἡ τοῦ σίτου τροφὴ ἀκάθαρτος καὶ ἀναγὴς, ἀλλὰ καθαρὰν καλεῖ τὴν ἄλυπον καὶ ἀβλαβῆ τροφήν· διὰ δὲ τῆς συνεχείας τῶν λέξεων τὴν τοῦ λόγου τροφὴν σεμνοτέραν ἀποδείκνυσιν* [7].

1) Vox *παντελλόγιμος*, nisi corrupta sit, accedat lexicis. Tota autem haec Aristidis defensio subobscura est, nec mihi liquet, qualis designetur *σύνδεσμος τοῦ κώλου*. — 2) Leg. cum schol. ed. *αὐτὸ τοῦτο*. Vult autem schol. *hoc ipsum retorsit adversariorum argumentis, affirmat.* — 3) Cod. *κἂν εἰ τύχη*. — 4) Cod. *ὅτε χρ.* — 5) Hoc sch. Canteri manu adscriptum est, aliunde desumtum: hinc corrigatur sch. ed. — 6) Cod. *νενομισμένον*, sed vid. supra. — 7) Significat schol. periodi membra, sine copula sibi succedentia. Itaque in Aristide pro *καὶ διαφ.* videtur legisse *τῆς διαφερόντως*. Quod fortasse in rhetore scribendum est.

Digitized by Google

Τῆς ἐν μαθήμασι] Μαθήματά τινές φασι τὸ μαθεῖν 161, C.
ἔργον τι, οἱονεὶ τεκτονικόν, λόγους δὲ τὸ λέγειν· ἄλλοι
δέ φασι μαθήματα μὲν τὴν φιλοσοφίαν, λόγους δὲ τὸ
λέγειν· ἄλλοι δέ φασι μαθήματα μὲν τὴν φιλοσοφίαν,
λόγους δὲ τοὺς πολιτικούς, οἱονεὶ τοὺς ῥητορικούς.

Ὡς τὰς μὲν ἄλλας χαρίτας] Ἀντὶ λόγων φησὶν ὄχλοις
χρήσασθαι ἢ ἄλλου τινὸς φιλοτιμίᾳ· δικαίως δὲ, ὅτι δεῖ
τοὺς εὐεργέτας ἀμείβεσθαι.

Ἀλλὰ καὶ ἡ ἐκ τ. λ.] Ἔχει γὰρ καὶ τὸ δίκαιον τ. 162, A.
ἀμ. κ. τ.. ὅμ. τ. εὐεργ. (vid. ed.) τὸ ἀπὸ τοῦ λόγου,
γὰρ ἡ (f. κυρίως γὰρ ἡ) διὰ τοῦ λόγου πρὸς λόγους ἀμοιβὴ
καλεῖται εὔλογος.

Μηδεὶς δὲ ὑμῶν] Ὥσπερ εἰ ἔλεγεν, ἂν (l. ὧν ex Arist.) ib.
καὶ νῦν ἀκροαταὶ τῶν λόγων καὶ λόγοις συνέσοντες [1]; ἔοικε
δέ τι αὐτό * συνήσειν τισὶ τὸν λόγον· προστησά-
μενοι ἀντὶ τοῦ ποιησάμενοι καὶ Δημοσθένης, τὰ τῶν
Ἀμφικτυόνων δόγματα κοινῇ προστησάμενοι· ἴσως
δὲ καὶ εἰς Θουκυδίδην αἰνίττεται, ὅτι ἐπιτάφιον σχηματι-
σάμενος ἐγκώμιον εἶπε, λοιπὸν [3] ἐπὶ τῆς πόλεως, τὸν φα-
νερὸν τοῦ ἐγκωμίου ἀγῶνα δεδοικώς· διὸ ἐπήγαγεν ὅτι ὑπέ-
στημεν (Cod. ὑπέστηκεν) ἐκ τοῦ φανεροῦ τοσοῦτον ἀγῶνα.

Φαυλότερον] Ἀντὶ τοῦ ἀσθενέστερον· ἔστι δὲ συγκρι- ib.
τικὸν ἀντὶ τοῦ ἁπλοῦ. οὐδὲ γὰρ κακός ἐστιν ὁ λόγος, ἵνα
λαβῇς καὶ τὸ σχῆμα κακότερον· ἐργώδη δέ φησι τὴν περὶ
τὰ κεφάλαια διάθεσιν· ὥστε μὴ ἐκ τοῦ προφανοῦς δοκεῖν
αὐτὸ τοῦτο βούλεσθαι τὴν πόλιν ἐγκωμιάζειν, ἀλλ' ἐν σχή-

1) Forte leg. *ἀντὶ λ. φ. λόγοις χαρίσασθαι καὶ μὴ* et cet. 2) Sic scripsi pro *συνζόσοντες*· Quae sequitur lacuna, hanc aliis supplendam relinquo. Verba *Δημοσθένης — δόγματα* e marg. substitui pro monstruosis *δὴ μαθὲν τὰ τῶν . . πράγματα*. Habuit illa, ut videtur, Canterus ex alio cod. Demosthenis locus est de Pace p. 62. ed. R., cujus tamen verba schol. perperam in partes vocavit. In Demosthene *προστησάμενοι* est *praetendentes*, apud Arist. *prae me ferens*, *proponens*, quod vidit Steph. Thes. L. Gr. t. I. p. 1787. hunc ipsum locum citans. Illud *κοινῇ* vel in Dem., legit schol. vel addidit, ob proxime praecedens *κοινὸν ἐφ' ἡμᾶς ἀγάγωσι τὸν πόλεμον*. — 3) *λοιπὸν κ. τ. λ.* Verbis *ἐπὶ τῆς πολέως τὸν φανερὸν* e marg. desumtis lacunam supplevi. Pro *λοιπὸν* lege *λόγον*. — 4) Num *ὅταν*?

Digitized by Google

ματι τοῦ λόγου τινὶ μικροτέρῳ τοῦτο ποιεῖν, ὥσπερ Θουκυδίδης καὶ Δημοσθένης ἐν ἐπιταφίοις καὶ ἄλλοις (f. ἄλλοι).

162, B. *Μάλιστα μὲν γὰρ*] Τὸ σχῆμα τοῦτο καλεῖται π.[1] Τινὲς δὲ λέγουσιν, ὅτι κακῶς ἐποίησεν, ἀπὸ τοῦ μείζονος λύσας τὸ ἔλαττον, vid. add. Paris. ex Cod. A., a quo in his differt Leid. *ὅτι δεῖ τιμῆσαι θεοὺς καὶ οὐ χρεία*[2] *περὶ τούτων ἀπολογεῖσθαι, ὃ ἐστι περὶ τῶν μεγίστων· πολὺ πλέον μεῖζον*[3] *γάρ ἐστι τὸ θεοὺς ἐγκωμιάσαι ἢ πόλιν. αἰτίας δὲ λέγει μέμψεως· τὸ δὲ οὐ παρεῖται ἢ παραλέλειπται, φησὶν, τὸ ἐγκωμιάζειν θεούς, ἢ εἰς ἑαυτὸν αἰνίττεται, ἐπειδὴ ἔγραψε καὶ ὕμνους.*

ib. *Ἡμῖν γε παρ.*] Vid. additam. ex Cod. Paris. A. et D. Leid. — *ὕμνους* — *αἰτίαν ἐπιλύεται* — *ὡς οὐχ ἁρμ.* — *οὐ γὰρ ἀεὶ τὸν κλ.* λέγει — *οὐκ ἄξιον* — *ἐπειδὴ οὐκ ἐμοὶ* — *τοῦτο* ut in D. om. — *ἐπιτήδειος.*

162, C. *Χαλεπὸς δισν.*] Ἢ δι' ἄλλου[5] *ἐνεγκεῖν ἢ ἀντὶ τοῦ βαστάσαι ἢ Θουκυδιδείως εἶπεν, ἀντὶ τοῦ ἀνύσσειν, ὡς ἐκεῖνος εἶπε· διέφερον τὸν πόλεμον ἀντὶ τοῦ ἤνυον· ἐκδρομὰς δὲ λέγει*[6] *τὰς ἐκφυγὰς, ὅ ἐστι μερισμούς· ἢ ἐκδρομὰς τὸ ἀπὸ τοῦ προκειμένου πράγματος εἰς ἕτερόν τι μεταβαῖνον, οἷον εἰ λέγων τις ὑπόθεσίν τινα μεταξὺ λέγοι τι διήγημα καὶ πάλιν εἰς τὸ προκείμενον ἐπανέλθοι.*

ib. *Μὴ οὐ σύν μεγ.*] Leid. c. Pariss. facit, sed *οὕτω καὶ αὐτὸς κ. τ. λ.*[7].

ib. *Πρὸς δὲ τούτοις*] Vid. Pariss. sed *τὸ δὲ ἑξῆς — ἐπερ-*

1) Videtur leg. *περιφοχή*, cujus figurae meminit supra ad verba *μάλιστα μὲν γὰρ* p. 161, A. Vid. Exn. in Lex. techn. voce *περιφοχή* et *λύσις*. Hinc autem corrigatur sch. ed. in quo pro *μικρὸν λέγειν* leg. *τ. μ. λύειν.* — 2) Alia exempla hujus usus vocis *χρεία* non succurrunt. Legitur tamen quoque in schol. ed. — 3) Alterutra vocum *πλέον μεῖζον* abundat et delenda est. — 4) Leg. *δεῖ τὸν πλέκτην λέγειν.* — 5) Corrupta, f. leg. *τὸ δὲ χαλεπὸς δισενεγκεῖν.* Sequens *εἶπεν* scripsi pro *ἀνύσσειν*. Thucydidem significat I, 11. cujus schol. cum Aristidis schol. convenit, et sua habet ex Suid. s. v. *διέφερον.* 6) Sic scripsi pro *λόγος*; mox refinxi corr. *μεμερισμένους* et *τὸ* pro *τάς.* — 7) Cave ex his verbis aliquid mutes in Demosth. Olynth. I, in., ubi legitur *ὑμετέρας*, postulante sententia, adeo ut schol. nullum in loco Demosth. praesidium habeat.

Digitized by Google

χόμεθα εὑρεῖν,[1] τίνι χρησόμεθα ἀπὸ τούτων τῶν εἰρημένων, ἢ τίνα παραλείπομεν, μεῖζον ἐχοντες ἔργον ἐπὶ τὸ σκοπεῖν, τί παραλείπω τῶν ἐκείνοις εἰρημένων, ἢ εὑρεῖν, τίνι χρήσομαι· ἔθνη δὲ καλεῖ τοὺς ῥήτορας, τοὺς γραμματικοὺς καὶ τοὺς τοιούτους· δηλοῖ δὲ καὶ τὸ πλῆθος τῶν εἰρηκότων καὶ τῶν ἐγκωμιασθέντων (f. ἐγκωμιασάντων) τὴν εὔκλειαν.

Ὅτι φυλαξόμεθα] Vid. add. Paris. ad superiora inde ab οἱ ἄλλοι, φησὶν, οἱ ἐγκωμιάζοντες κ. τ. λ., sed Leid. ἐγὼ δὲ καὶ τοῦτο[2] ἔχω καὶ μείζω τούτου ἄγωνα, τὸ ζητεῖν τὸ ἀποφυγεῖν κ. τ. λ. φυλαξώμεθα τούτων. 162, D.

Ἄλλων γὰρ ἄλλα] Ἕκαστος, φησὶν, μέρος ἐπήνεσεν,[3] οὐ τολμήσας εἰς ἅπαντα καθεῖναι ἑαυτὸν καὶ ὅτι περὶ πάντων τὸ ὅλον πεπλήρωτο, ὅπερ γὰρ ἄλλος παρῆκεν, ἄλλος ἐπλήρωσεν, Ἡρόδοτος μὲν γὰρ κ. τ. λ. vide ed.] ib.

Καὶ χωρὶς] Οἷον τὸ εἰπεῖν τὰ Ἑλληνικὰ Ξενοφῶντος βελτίον, καὶ τὰ Μηδικὰ Ἡροδότου· κοινῇ δὲ πρὸς ἅπαντας, ἐπειδὴ πάντες σποράδην εἰρήκασιν, αὐτὸς συλλήβδην ἅπαντα διεξέρχεται. 163, A.

Τοὺς ἄνω χρ.] Leid. maximam partem cum Paris. D. facit, nisi quod λελησθότα — τῷ καταμερισμῷ σχ. χρησάμενος, ἄνω χρόνους λέγει[4] τὸ (f. τῷ) εἶναι αὐτὴν τὴν ἀρχαίαν, διὰ δὲ τοῦ εἰπεῖν ἐν τ. π. κ. χ. κ. τ. ποιεῖ διὰ τ. π. 163, B.

Τὰ πρὸς τοὺς θ.] Ἀντὶ τοῦ, τὴν ἀναστροφὴν μετὰ θεῶν κοινῶς κατῳρθωσαν· κοινωνίαν γὰρ θεῶν πρὸς αὐτοὺς[5] δηλοῖ. ib.

Ἀπὸ τοῦ παρείκοντος[6]] Vid. Paris. A., sed Leid. in Thucydidis verbis παρεῖκον servavit. ib.

Οἱ δὲ τοὺς ἐπὶ τῶν καιρῶν] Ὡς μὴ δυνάμενοι τοὺς ib.

1) Haec mutila sunt et, quoquo velis modo, ex ipso Aristide integranda. Sequens τίνα scripsi pro τίνι. — 2) Leg. τοῦτον, sc. ἀγῶνα. Mox videtur leg τὸ ζητεῖν ἀκριφυγεῖν, ὅτε et cet. ὅτῳ scripsi pro οὗτω. — 3) Sic dedi pro ἐκαίνεσεν et mox καρὰ pro περί. — 4) Inser. διὰ et sequens τὴν deleadum, ortum ex fine vocis αὐτήν. — 5) Num Ἀθηναίους? — 6) Vulg. Aristidis παρεικοντος. Utrumque defendi potest. Locus Thucydidis est IV, 36. ubi similis est lectionis varietas, cf. ibi Duk. et Gottleb. in notis, et Steph. Thes. L. Gr. in voce παρείκω.

Digitized by Google

κατὰ καιρὸν Ἑλληνικοὺς πολέμους διηγήσασθαι μέρος αὐτοῦ εἰρήκασι.

163, C. Τὴν πολιτείαν] Τὴν δημοκρατίαν λέγει· αὐτὸς δὲ ἐν τῷ τέλει, [1] τοῦ λόγου δείκνυσιν, ὅτι τὰ πλεονεκτήματα τῶν ἄλλων πολιτειῶν εἶχεν ἐν ἑαυτῇ.

ib. Οἱ δὲ ἐν τοῖς ἐπιταφίοις] Εἰς Θουκυδίδην αἰνίττεται, ἐπειδὴ τὸ ἀπὸ προγόνων ἐγειρομένων [2] παρέλιπε· παρῆκε δ' αὐτὸ, ἵνα μὴ ἐπαινῶν τοὺς προγόνους αὐτὸ σεμνότερον δείξῃ τὸ κακόν.

164, A. Καὶ μὴν οἱ μὲν] Οἱ μὲν τὴν σοφίαν αὐτῆς [3] δοκοῦντες ἐγκωμιάζειν, φησὶν, οὐκ ἐνεγκωμίασαν· αἴνιγμα γάρ ἐστι τὸ δοκεῖ εἶναί τι μὴ ὄν. Vid. add. Paris.

ib. Οἱ δὲ τὰς ἀπ.] Εἰς ἕτερον [4] ἀποτείνεται, ὃς vid. ed.

ib. Τὴν κοινότητα] Ἀντὶ τοῦ μετριότητα· Φιλανθρωπίαν δὲ, ὅτι σύνηθες τοῖς Ἀθηναίοις φιλοφρονεῖσθαι τοὺς ξένους.

ib. Οἱ μὲν τοῖς συγγράμμασι] Ἀντὶ τοῦ κατὰ πάρεργον τὸν ἔπαινον πεποίηνται, οὐχὶ δὲ προηγουμένως, ὃ καὶ καθαιρετικὸν τοῦ ἐγκωμίου.

ib. Ἅπαντες ἢ τῷ βουλήματι] Ὡς φασιν, [5] εἰ λέγει τινὰς μὴ εἰρηκότας τὰ πάντα τῆς πόλεως ἐγκώμια, ὅτι οὐκ ἠβ. κ. τ. λ. vid. add. Pariss., verum δείκνυσιν ὡς dur. — φαμὲν ὅτι — μὴ ἑαυτὸν —.

164, B. Ἀλλὰ ὥσπερ πελάγους] Τῶν παραβολῶν αἱ μέν εἰσιν ἀποδιδόμεναι, οἷον ὥσπερ πέλαγος μέγα ἐν [6] καὶ τοῖς ὀφθαλμοῖς οὐ παρέχον τέλος εὑρεῖν, τῷ θεωροῦντι ἄπειρον δείκνυται [7], οὕτω καὶ τὰ τῆς πόλεως ἐγκώμια πολλὰ ὄντα ἀπορεῖν ποιεῖ τὸν ἐγκωμιάζοντα· αἱ δὲ ἀναπόδοτοι, ὥσπερ νῦν, ὁ Ἀριστείδης· ἔστι δὲ ὅτε καὶ ταῖς ἀποδιδομέναις κέχρηται παραβολαῖς, καὶ οὐκ ἀεὶ ταῖς ἀναποδότοις· δύναται δὲ εἶναι αὕτη ἡ παραβολὴ ἀποδιδομένη, ἐὰν ποιήσῃς τὴν

Respicit p. 341. — 2) Scr. ἐγκώμιον, Cant. Mox. pro αὐτοῦ dedi αὐτό. — 3) Cod. αὐτοῦ. — 4) Scr. Ἔφορον, quod habet etiam sch. ed. Forte autem hujus scriptum de Jonum colonia pertinuit ad ejus historiarum libros, qui XXX numero fuisse feruntur. — 5) Scilicet alii Aristidis interpretes. — 6) Scr. ὄν. 7) δείκνυται rarius pro φαίνεται. Huc faciunt, quae annot. Wytt. ad Phaedon. p. 160.

Digitized by Google

σύνταξιν οὕτως, καὶ ὅσον ἕκαστος καθορᾷ, τοῦτο θαυμάζει, ὥσπερ πελάγους ἀπείρου καὶ ὀφθαλμοῖς οὐχ ὁρίζοντος, ἀντὶ τοῦ οὐ παρέχοντος ὅρον, οὐ διδόντος τέλος διὰ τὸ ἄπειρον καὶ πολὺ μῆκος αὐτοῦ· καὶ ὥσπερ τὸ μέτρον, φησὶ, τοῦ πελάγους οὐ δύναταί τις ὁρίσαι τοῖς ὀφθαλμοῖς, οὐδὲ τὸ τέλος ἰδεῖν, οὕτως οὐδὲ τὸ τέλος τοῦ ἐγκωμιάσαι τὴν Ἀττικὴν δύναται ἰδεῖν, καὶ ἐπαινέσαι τὴν πόλιν ἄχρι τέλους.

Ὥσπερ αἴνιγμα] Ὡς πρὸς ἑαυτὸν κ. τ. λ. vid. ed., nisi quod τοῦτο· λέγων γὰρ — κατὰ μέρος, φησὶ τοῦ π. — τελείου τὰ ἐγκωμιαστικὰ [1] λόγου. Τί δέ ἐστιν αἴνιγμα, αὐτὸς ἐξηγεῖται, τὸ ὂν καὶ μὴ ὄν, οἷον λίθος καὶ οὐ λίθος, κίσσηρις, [2] ἀνὴρ καὶ οὐκ ἀνήρ, εὐνοῦχος, καὶ τὰ τοιαῦτα· καὶ ἡ πόλις τοιγαροῦν ἐγκωμίασται μὲν τῷ μέρος αὐτῆς τινὰ ἐγκωμιάσαι· οὐκ ἐγκωμίασται δὲ τῷ μὴ πάντα ἀκοῦσαι [3]. 164, C.

Οὐ τοῦ παντὸς ἁμαρτήσεται] Μέρος, φησὶν, εἰπὼν τὸ πᾶν ἐπλήρωσεν· εἰ δὲ τοῦτο, δῆλον ὅτι τὸ μέρος πρὸς τέλειον ἀρκεῖ ἐγκώμιον. ib.

Αἰτίαν] Αἰτία λέγεται καὶ κ. τ. λ. vid. ed. ad Οὐ δὴ δίκαιον, recedit Leid. in his: γενέσθαι ἐκείνης τῆς αἰτίας τῆς ἐχούσης τὸ φαῦλον ὄνομα, διότι κ. τ. λ. Αἰτίαν ἥτις ἦν τὸ βούλεσθαι περὶ τούτων αὐτὸν εἰπεῖν διὰ τὸ μηδένα ἕτερον τοῦτο πεποιηκέναι· πείρᾳ, τόλμῃ. ib.

Νυνὶ δὲ ὥσπερ] Ἡ σύνταξις οὕτως· ὡς τῶν ἄλλων ἡγεμὼν ἐγένετο, οὕτω γνώριμόν ἐστι. ὅτι καὶ τῶν λόγων πρῶτον ἡγεμὼν ἐγένετο, ἢ οὕτως· ὥσπερ δῆλόν ἐστι, ὅτι τροφὸς καὶ τῶν Ἑλλήνων, καὶ τῶν βαρβάρων ὑπάρχει ἡ Ἀττικὴ, οὕτω γνώριμόν ἐστι, ὅτι καὶ τῶν λόγων ἀρχηγὸς καθίσταται· διὸ οὐκ ἀλλοτρίοις τῆς πόλεως ἐγκωμίοις χρώμεθα, ἀλλ' αὐτὴν τὴν πόλιν καὶ τοὺς πολίτας ἐγκωμιάζοντες οὐ μετρίως ἐπαινοῦμεν κατὰ τὸ δυνατὸν, ἢ οὕτως· εἰ μὴ ἦν, φησὶ, ἓν καὶ τοῦτο τὸ τῶν λόγων ἀγαθὸν τῆς πό- 165, A.

1) Haec melius, quam ed., qui τοῦ ἐγκωμιαστικοῦ. — 2) De lapide κίσσηρις, vid. Steph. Thes. t. IV, p. 1225. — 3) F. ἐγκωμιᾶσαι.

Digitized by Google

λεως σὺν τοῖς ἄλλοις ἀγαθοῖς, οὐκ ἂν ἴσως ἦν με δίκαιον τοιοῦτον ἀγῶνα ὑποστῆναι [1].

ib. Οὐδ' ἑτέρωσε φέρουσαν] Ἀντὶ τοῦ ξένην ὁδὸν, τουτέστιν ἐπὶ ἄλλην πόλιν, οἷον οὐκ ἐθύβαι σεμνήνονται, [2] ἀλλὰ τοὺς λόγους, δι' ὧν Ἀθηναῖοι κηρύττονται.

165, B. Εἰρημένον] Ἐνταῦθα ὁ Ἀριστείδης κέχρηται τῷ νοήματι· ὥσπερ γὰρ ὁ Δημοσθένης ἐν τῷ περὶ στεφάνου λέγει τῷ, [3] εἰς τὸν Αἰσχίνην διαβολῶν, οὕτω, μηδὲν εἰπεῖν, ἀλλὰ τῷ πολλῶν εὐπορεῖν, (leg. λέγει ἀποροῦντα τῶν — et statim οὐ τῷ μηδὲν ἔχειν εἰπεῖν, ἀλλὰ τῷ πολλῶν εὐπορεῖν) οὕτω καὶ Ἀριστείδης νῦν ἀπορίαν ἑαυτῷ ποιεῖν τὸ πλῆθος τῶν ἀρετῶν, καὶ εἰςβάλλει εἰς κεφάλαια· ἔστι μερικὸν προοίμιον, ὥσπερ ἐν τοῖς δικανικοῖς λόγοις τὸ προκαταστατικόν· αὐξητικὸν δέ ἐστι σχῆμα τῶν ἐγκωμίων, δηλοῖ γὰρ καὶ τὸ πλῆθος καὶ τὸ ἴσον τῶν πλεονεκτημάτων αὐτῆς· τὸ δὲ κοινὸν νόημα ὥσπερ ἴδιον πεποίηται· ἀντὶ δὲ τοῦ εἰπεῖν εἰρημένου εἶπεν εἰρημένον, ἀττικῶς. Κοινὸν δὲ τὸ σχῆμα οὕτως· Ὁμηρος [4] μὲν γάρ φησι

Τί πρῶτον, τί δ' ἔπειτα, τί δ' ὑστάτιον καταλέξω;

καὶ Δημοσθένης· οὐκ ἀπορῶν δ' ὅ τι χρὴ περὶ σοῦ καὶ τῶν σῶν εἰπεῖν, ἀπορῶ τοῦ πρῶτον μνησθῶ. Τεχνικῶς δὲ τοῦτο ποιεῖ· ἐπειδὴ γὰρ οὐκ ἔχει λέγειν τὸν οἰκιστὴν, οὔτε τὸ γένος τοῦ κτίστου, οὔτε τὴν πατρίδα, (αὐτόχθονες γὰρ Ἀθῆναι) ἔθος δὲ τῷ ἐγκωμιάζοντι πόλιν, τὸν οἰκιστὴν ἐπαινεῖν καὶ τὴν πατρίδα αὐτοῦ, κυρίως ἑαυ-

1) Postrema hujus sch. verba Aristidis sententiam paullo abstrusiorem praeclare aperiunt; quod ideo moneo, quia latinus interpres totam hanc periodum perperam reddidit. — 2) Leg. *οὐχ αἱ Θῆβαι σεμνύνονται, non Thebae a nobis laudantur.* Post sequens *λόγους* excidit fortasse *λέγω*. — 3) Forte *περὶ τῶν*. Mox pro *οὕτω* leg. *οὐ τῷ*, quod Cant. jam in marg. adscripsit. Locus Dem. est p. 270. ed. R. Quod autem dicit schol. *κέχρηται τῷ νοήματι*, videtur significare: *hic Ar. transitione utitur, absoluto exordio ad ipsum orationis argumentum accedit.* De hac potestate vocis *νόημα* vid. Ern. s. v. Ad sequentia pertinent, quae habet Sopater *διαιρ.* p. 310, *καλὸν ἐν τούτοις τῶν ζητημάτων προκαταστατικοῖς χρήσασθαι νοήμασι καὶ μὴ ἁπλῶς εἰςβάλλειν εἰς τὴν κατάστασιν.* De *προκαταστάσει* fuse agit Hermog. de Inv. II, 1. — 4) Hom. Od. IX, 14.

Digitized by Google

τὰν εἰσήγαγεν ἀποροῦντα, πόθεν ἄρξεται τῶν ἐγκωμίων τῆς πόλεως. Vid. add. Pariss.

Εἰς τὸ φλέον τοῦ φανεροῦ] Ἀντὶ τοῦ ἄδηλον, τὸ γὰρ πλέον τοῦ φανεροῦ ἀφανὲς καὶ ἄδηλόν ἐστι, καὶ τὸ πλέον τοῦ προχείρου ουὰνέτοιμον· τὸ δὲ ἐν κύκλῳ δοκεῖ γεωμετρικὸν, ἐν γὰρ τῷ κύκλῳ πᾶσαι αἱ ἀρχαὶ ἴσαι τυγχάνουσιν· βούλεται οὖν δεῖξαι πάντα τὰ μέρη τῆς πόλεως τῶν ἐγκωμίων ἴσα· φησὶν οὖν ἐξ ἀμφοτέρων ἄδηλον εἶναι τὴν ἀρχήν. Τοῦ φανεροῦ· ὁ νοῦς οὕτως, οὐ μόνον πρὸς τὸ πρεσβυτάτην τὴν πόλιν καὶ ἀφανῆ ὑπάρχειν τὴν ἀρχαιογονίαν αὐτῆς, ἅτε δὴ αὐτόχθονος οὔσης, δυσχερές μοι ἐπαινέσαι τὴν Ἀττικὴν, ἀλλ' ἤδη καὶ τῶν ἐγκωμίων ἐν καλῷ ὄντων ἀπορῶ οὐ μόνον ὁ μὴ δυνάμενος εἰς ὢν [1] συντάξαι τὰ πάντα ἐγκώμια, ἀλλὰ καὶ δυσχερές ἐστι κρῖναι, ποῖον δεῖ πρῶτον τάξαι ἐγκώμιον. 165, C.

Ἄλλα γὰρ ἄλλων V id. add. Paris., sed Leid. ἕκαστα, φησὶν, πρώτην, [2] τῶν ἄλλων — ὡμολόγηται γὰρ, ὅτι τὸ γένος [3] — καθέστηκεν τῶν ἐγκωμιαστικῶν κεφαλαίων — ἵνα αὐξήσῃ τὴν ὑπόθεσιν· ἔστι δὲ ἡ σύνταξις οὕτως, ἄλλα γὰρ ἄλλων ἕνεκα δόξαν παρίστησιν ἁρμόττειν πρῶτα λεχθῆναι, ὥσπερ ἐκ τοῦ προφαινομένου. ib.

Πάρεστι] Ἢ ὁρῶντας ἤδη ἀπ' αὐτοῦ τοῦ λόγου, τίνα γνώμην εἶχον καὶ ὅπως διενοήθην περὶ τούτου, ἢ αὐτοὺς λέγοντας τὸ δοκοῦν. 166, A.

Οἶμαι δὲ] Varietatem ex Cod. Leid. enotaverat Cl. Valcken. Vide ad edita. ib.

Ἡ γὰρ τῆς χώρας] Κοινωνεῖ τῷ λόγῳ τοῖς Ἀθηναίοις, ἡμῖν φάσκων, ἐπειδὴ προδιωρθώσατο τοῦτο· ἀπήτει δὲ ἡ τέχνη ἔπαινον πρῶτον τοῦ οἰκιστοῦ· ἀλλ' ἐπειδὴ ἄδηλός ib.

1) Cant. recte ἐν, sed prius ὁ expunge. — 2) πρώτην ejiciendum credo, forte ex duplici lectione natum, ut aliud scholion habuerit πρώτη τῶν ἄλλων βούλεται τάττεσθαι. — 3) In omni laudatione, inquit, genus primo loco commemorandum est: hic locus a multis tractatur, et rhetorum princeps Hermog. de Part. sect. 5. p. 23. diserte de singulorum hominum laudationis capitibus: ἔστι δὲ ταῦτα γένος, ἀγωγὴ, παίδευσις et cet. cf. Menander Rh. p. 610.

Digitized by Google

ἐστι, διὰ τὸ ἀρχαίαν εἶναι τὴν πόλιν, ἀνάγκη τοῦτο παρῆκε, καὶ ἀπὸ τῆς θέας [1] ἄρχεται, καὶ γὰρ καὶ αὐτὴ μέρος ὥσπερ τοῦ γένους τυγχάνει, οἷον πῶς γέγονε καὶ ποίαν ἔχει τὴν φύσιν· θαυμασίως δὲ τῇ φύσει τῶν ἀνδρῶν παραβάλλει τὴν φύσιν [2] τῆς γῆς, μίαν γὰρ λέγει τῆς χώρας καὶ τῶν Ἀθηναίων τὴν φύσιν· αὔξει δὲ σφόδρα, τὸ γὰρ φιλάνθρωπον αὐτῆς τῷ σχήματι δείκνυσι· δεῖ δὲ γνῶναι, ὅτι ὁ Χάραξ [3] ἱστορεῖ, τοὺς Ἀθηναίους ἀποίκους εἶναι τῶν Σαϊτῶν· ἔστι δὲ Σάϊς πόλις Αἰγυπτίων καὶ οἰκιστῆρα ἔσχεν Ἐρεχθέα, διὸ καὶ διφυᾶ προσαγορεύεσθαί φησιν ὄντα δίγλωσσον κ. τ. λ. Reliqua ex ipso Leid. unâ cum Monac. Ap. edidi, in quibus Cant. pro *μάρτυρα* vult. *μαρτυρίαν*.

166, B. Ἄμφω δὲ] Ὅτι καὶ ἡ χώρα ἀξία τῶν ἀνδρῶν καὶ οἱ ἄνδρες τῆς χώρας καὶ ὅτι αὐτοὶ ᾤκησαν αὐτὴν ἀεί.

ib. Οἵ τε γὰρ] Vidd. add. Pariss. sed *πράξει* [5] τῶν τρό-

νους καὶ τῆς ἀνατροφῆς· ἕτερον μέρος τὴν φιλανθρωπίαν, λέγει γάρ, ὧν μέρος ἐν γέγραπται (Cod. *ὧν μέρος ἐγκέκραται*), *μέρος ἀνατροφῆς καλέσας τὰ εἰρημένα· ἰδὸν δὲ καὶ αὐτὸς ἐδήλωσας* (leg. ex Paris. A. *ἰδοῦ δὲ καὶ αὐτὸς ἐδήλωσεν*), *ὅτι πύλις οὐκ ἐστι γένος· ἄρχεται δὲ ἐντεῦθεν τῶν πράξεων καὶ λέγει πρῶτον μὲν τοὺς καταφεύγοντας, ὕστερον δὲ τοὺς ἀπωκισθέντας.*

Τῇ περιουσίᾳ] *Ἐπειδὴ δὲ περὶ τοῦ σίτου καὶ ἄνω εἶ-* 187, A.
πεν, ὅπως διένειμαν πάντων (f. *πάντως* v. *παντὶ χοῖ*) *οἱ Ἀθηναῖοι, τοῦτο δὲ φιλανθρωπίας.*

Ἄνειμι δὲ] *Καὶ γὰρ τὸ περὶ θεῶν εἴρηται ἤδη, διό* ib.
εἶπεν ἄνειμι μικρόν.

Τοῖς ἀνθρώποις ἔκρινεν] *Ἀντὶ τοῦ, οὐχ ἡγήσαντο ἔτι* ib.
μικρὸν εὐεργετήσαντες ἀρκούντως ἔχειν τὴν παρ' αὐτῶν χάριν.

Αὔξοντες] *Μερίζει τὴν φιλανθρωπίαν ταύτην εἰς δύο, εἵς τε τὴν ὑποδοχὴν τῶν καταφευγόντων, καὶ εἰς τὴν ἀποικίαν, ἣν ὕστερον αὐτοῖς πεποίηνται.*

Ὥσπερ οἱ τὰ σπέρματα] *Οἷον οἱ βάλλοντες ἐν γῇ κόκκον καὶ ποιοῦντες ἐξ αὐτοῦ δέκα.*

Ἐπὶ καιρῶν Εὐφήμως εἶπε τὴν δυστυχίαν (Cod. *δυτυ-* 187, B.
χίαν), *ὅτι ἐν ταῖς συμφοραῖς* (Cod. *διαμφοραῖς*) *εὗρον οἰκοῦντας Ἀθήνας* (sic Cod., f. *οἰκίζοντας αὐτοὺς Ἀθηναίους*). *Καὶ Δημοσθένης ἐν Φιλιππικοῖς, καιροῦ μὲν δὴ κ. τ. λ.* vid. ex Ap. Mon., Leid. *παρέστι.*

Κατ' ἄνδρα (Cod. *κατ' ἄνδρας*)] Vid. add. Pariss., Leid. 187, C.
ἐπὶ τὸ ἧττον δὲ ἦλθε, ἀπὸ πόλεως εἰς ἕνα ἐλθών· εἶτα ἐπεὶ οὐδὲ μέγα τὸ εἰπεῖν — τὸ οἱ γνωριμότατοι, ἐμφαίνει δὲ τὸν Ὀρέστην, τὸν Οἰδίπουν.

Digitized by Google

ib. *Μὴ ὅτι τῶν*] *Ἀντὶ τοῦ τοσοῦτον δυσχερές ἐστι τῶν μετασταντων κατ' ἄνδρα μνησθῆναι, ὅτι κατὰ πόλεως εἰπεῖν πάντας ἅμα οὐκ εὐχερές.*

ib. *Ὥσπερ ἀρχὴ τοῖς πολλοῖς*] *Οἱ πολλοὶ ἀπὸ Ἡρακλέους ἤρχοντο, ὡς καὶ ὁ Ἰσοκράτης Ἀθηναῖος· λείπει δὲ τὸ, μετὰ ταῦτα ἐρῶ, ἵν' ᾖ, ἃ δέ ἐστι τῶν παλαιῶν ἐντιμώτατα καὶ ὥσπερ ἀρχὴ τοῖς πολλοῖς διηγεῖσθαι, ταῦτα ἐρῶ· καί ἐστιν ἔλλειψις τὸ σχῆμα.*

187, D. *Ἡρακλέους ἀπελθόντος*] *Διατί, φησὶ,* (non Aristides, sed enarrator ejus sophistae, unde, quae in Leid. continentur, decerpta sunt) *περὶ τῶν Ἡρακλειδῶν βουληθεὶς εἰπεῖν μὴ ἀπ' αὐτῶν κατήρξατο, ἀλλ' ἀπὸ τοῦ Ἡρακλέους; λέγομεν, ὅτι ἡ ἀναχώρησις αὐτοῦ ἡ ἀπὸ τοῦ βίου αἰτία ἐγένετο τοῦ διωγμοῦ τῶν παίδων αὐτοῦ· εὐφήμως δὲ εἶπεν ὡς ἐπὶ θανάτου· ἐκέρασε γὰρ τὸν λόγον καὶ τῶν μὲν λεγόντων, ὅτι ἀπέθανε, τῶν δὲ λεγόντων, ὅτι ἀπηθανατίσθη, οὔτε παντελῶς ἐπίστασεν* (f. *ἐπίστευσεν*), *οὔτε ἀντεῖπε τῇ ἱστορίᾳ, ἀλλὰ μέσον ἐχώρησεν.*

188, A. *Τοῖς μυστηρίοις*] *Ἐπεὶ δοκεῖ κοινὸν εἶναι τὸ τιμᾶν θεοὺς καὶ τῶν ἄλλων πόλεων, τῇ διαφορᾷ τὴν ὑπερβολὴν ἐδήλωσε· μυστηρίοις δὲ λέγει τοῖς Ἐλευσινίοις· οὐκ ἐξὸν δὲ παρὰ Ἀθηναίοις τὰ μυστήρια ξένους μυεῖν, ἐπιδημήσαντος δὲ ἐν τῷ καιρῷ τῶν μυστηρίων Ἡρακλέους, αἰσχυνθέντες οἱ Ἀθηναῖοι ἐμύησαν αὐτόν· οὕτω καὶ πρώτη ἔστησεν αὐτῷ ἀγάλματα καὶ τιμάς.*

ib. *Θεὸς ὢν καὶ δοκῶν*] *Ἔχρῆν εἰπεῖν δοκῶν καὶ ὤν· ἀνέστρεψε δέ τὴν λέξιν· καλῶς δὲ εἶπεν, πολλοὶ γάρ εἰσι μὲν, οὐ μέντοι δοκοῦσιν, ἄλλως δὲ τὸ δοκῶν μᾶλλον θεὸν αὐτοῖς ἔδειξε* (sic)· *τὰ μὲν γὰρ κρυπτὰ τοῖς ἀνθρώποις, δοξάζομεν μόνον περὶ αὐτῶν, ἀλλ' οὐκ ἀκριβῶς ἐπιστάμεθα.*

ib. *Ἐξ ἐκείνου*] *Τουτέστι χρόνου, ἀφ' οὗ τετίμηται Ἀθηναίοις.*

ib. *Τοὺς πρεσβυτάτους*] Vid. add. Pariss., Leid. *Ποσειδῶνα καὶ Ἀθηνᾶν καὶ ἄλλους· ἦρξε τιμᾶν — τὸ δὲ ἐπήλυδας ἀντὶ τοῦ νεωτέρους, Ἡρακλέα δὲ λέγει καὶ Διόνυσον — ποιεῖν καὶ τοτομεῖν,* (l. *καὶ καινοτομεῖν* Paris. A.

Digitized by Google

καινοτομοῦσα) — φησὶν, ὅτι πολιτευόμενοι μετὰ τῶν θεῶν ἐγίγνωσκε τούτων — ἐδέχονται. —

Τούς τε Θηβαίους] Θηβαῖος γὰρ ἦν Ἡρακλῆς διὰ τὴν μητέρα τὴν Ἀλκμήνην· Ἀργεῖος δὲ διὰ τὸν Ἀμφιτρύονα· διὸ εἶπε (auctorne scholii, unde sua deprompsit excerptor Leid., an inserendum τοὺς ἄλλους, quae sunt Aristidis?), τουτέστι τοὺς Ἀργείους· Ταντα δίλης (l. Ταντα λίδης) γὰρ ἦ μᾶλλον Περσίδης. 188, B.

Αὐτῷ μὲν δὴ] Βούλεται λοιπὸν καὶ τὴν καταφυγὴν εἰπεῖν τῶν Ἡρακλειδῶν καὶ ὑποδοχὴν τῶν Ἀθηναίων. ib.

Παρὰ τῶν ἄλλων] Ὥσπερ πάλιν ἀντέπιπτεν αὐτῷ, ἀλλὰ καὶ παρὰ τῶν ἄλλων, φησὶν, Ἡρακλῆς τετίμηται· ἀλλὰ ταύτην μᾶλλον ἐτιμήσατο (sic Cod., leg. ἐμιμήσαντο ex Aristide). 188, C.

Εὐρυσθέως] Πληρῶν γὰρ ὁ Εὐρυσθεὺς τῆς Ἥρας τὸ βούλημα, οὐ μόνον περιὼν καὶ (sic Cod., utrum leg. περὶ ὧν καὶ, an περιόντι?) ἐπέταττεν Ἡρακλεῖ, ἀλλὰ καὶ μετὰ τὴν ἐκείνου τελευτὴν ὤφθη τοῖς παῖσι δυσμενέστερος· ὅθεν οὐ μόνον ἐκ Πελοποννήσου τούτους ἐδίωκεν, ἀλλὰ καὶ ἐκ πάσης Ἑλληνικῆς πόλεως· ἕως οὗ Ἀθηναῖοι τῆς Εὐρυσθέως μανίας καταφρονήσαντες [1] ἐδέξαντο αὐτοὺς, καὶ συμβαλόντες μετ' αὐτῶν Εὐρυσθεῖ νενικήκασι καὶ κατήγαγον αὐτοὺς, καὶ ὁ συγγραφεύς φησιν, Δωριεῖς τῷ Τ' ἔτει ξὺν Ἡρακλείδαις Πελοπόννησον ἔσχον. ib.

Ἑτέραν ἀγνωμοσύνην] Ἀγνώμων καλεῖται ὁ μὴ ἀποδιδοὺς χάριν τοῖς εὐεργέταις· Τί οὖν Εὐρυσθεὺς εὐεργετήθη ὑφ' Ἡρακλέους πρῶτον, ὅτι ἀγνωμοσύνην ἐκάλεσε τὸ ὑπ' αὐτοῦ γιγνόμενον; λέγομεν οὖν, ὅτι, οὐχ ὅτι αὐτὸς ἀγνώμων (Cod. ἀγώμων) ἦν, οὕτως (Cod. οὕτων) εἶπεν, ἀλλ' ὅτι ἀγνώμονας καθίστη τοὺς Ἕλληνας, οὐκ ἐῶν αὐτοὺς ὑποδέξασθαι (Cod. ἀποδ.) παῖδας Ἡρακλέους, τουτέστιν οὐδὲ χάριν ἀποδοῦναι ὧν εὐπαθόντες ἦσαν παρὰ (Cod. περὶ) τοῦ πατρός· τοσοῦτον οὐ πρὸς τοὺς Ἕλληνας εἶπεν, οὐδὲ γὰρ ἄλλο ἀδικήσαντες ἦσαν, ἀλλ' ὡς (sic pro ἄλλως doctiss. ib.

1) Hinc liquet, non temere rejiciendam esse Jebbii conjecturam, pro μισήσασα in Aristide legentis μνησήσασα.

Digitized by Google

Geelius) πρὸς τὴν Εὐρυσθέως πονηρίαν, ὅτι οὐκ ἠρκέσθη τῆς χώρας ἀπελάσαι τοὺς ἄνδρας, ἀλλὰ καὶ ταῖς ἄλλαις ἠπείλησε (sic Geelius pro ἀπόλεσε, quod erat in Cod.) πόλεσιν.

188, D. Οἱ μὲν ἄλλοι] Οὐκ ἀπανθρωπίαν κατηγορεῖ τῶν ἄλλων Ἑλλήνων, ἀλλὰ δέος ἐμφαίνειαν (haec ex Paris. A. ita supple: δέος ἐμφαίνει... καὶ ἀσθένει..αν), τὸ δέος τὴν φιλανθρωπίαν ἐνίκησε καὶ φόβος ἄλογος δικαιοσύνης ἐγένετο κώλυμα· ὅθεν ἧ ἠυπόρουν, τὴν χάριν εἰσήνεγκαν, (Cod. εἰσήνεγκεν) ἀντὶ τοῦ ὅπλων ἐκείνων τὰ δάκρυα καὶ τοῖς θρήνοις ἐτίμων τοὺς ἀτυχήσαντας (sic Cod.).

189, A. Ὥσπερ τινὰ] Ἀντὶ σωτηρίας καταβολήν· εἰκότως δὲ ἐμνήσθη τῆς λέξεως, ἐπεὶ ἐκινδύνευον οἱ Ἡρακλεῖδαι.

ib. Κοινωνὸν ἦγεν] Ἀντὶ τοῦ ἐκοινώνησε· βεβαιοῖ δὲ τὴν χάριν, ἵνα δείξῃ κοινὰ ἔργα καὶ τῆς πόλεως, ἀσφαλῶς δέ ἐστι τῶν πλείστων· οὐ γὰρ τῶν φοβερῶν ἐκοινώνησεν αὐτῷ, καλῶς δὲ καὶ τὸ διὰ Θησέως (Cod. διὰ τὸ Θησέως)· οὐ γὰρ ἡ πόλις αὐτῷ κοινωνεῖν συνέπραξεν, ἀλλὰ Θησεὺς οἷον εἰς τὰ κατ' Ἀμάζονας, εἰς τὸν ἐν Τροίᾳ πόλεμον, τὸν κατὰ Λαομέδοντα.

ib. Καὶ ἃ μὲν κατειργάσατο] Τὸν πρὸς Εὐρυσθέα σημαίνει πόλεμον, τότε καὶ ὑπὲρ αὐτῶν καὶ μετ' αὐτῶν ἐμαχέσαντο κοινωνοῦντες τῆς τύχης ὥσπερ καὶ τῆς πράξεως.

189, B. Ἐν ἑτέρᾳ δὴ [1] τῶν λόγων] Ὅτε διηγοῦμαι τοὺς πολέμους· νῦν γὰρ τὴν ἀνθρωπίαν (sic Cod., ex Par. leg. φιλανθρωπίαν) μόνον θέλει εἰπεῖν.

ib. Τὴν δ' οὖν ἐπιτροπὴν] Πρόνοιαν, προστασίαν, μηδεμονίαν· (ex Paris. leg. κηδεμονίαν) οἰκείως γὰρ ἐπὶ τῶν ὀρφανῶν ἡ λέξις εἴρηται.

ib. Οὐ γὰρ τὴν ὀρφανίαν] Οὐκ ἐποίησε συμφορῶν ὀρφανείας πειρασθῆναι ἀντὶ πατρὸς αὐτοῖς γιγνομένη, καὶ τῷ τρόπῳ τὴν φύσιν ἐνίκησε.

189, C. Τέτταρας μὲν] Τὴν καλουμένην τετράπολιν, Μαραθῶνα, Προβάλινθον, Τρικορίστον, Οἰνόην (sic Cod.)· τὸ δὲ οἰκου-

1) 19. Εἰ δέ τοι μηδεμία σωτηρίας ἐστὶν ἐλπὶς ἄκοπος βασιλέως.

Digitized by Google

μένην εἶπεν, ἵνα τὴν εὐεργεσίαν βελτίστην, ὅτι λαμπρὰς αὐτοῖς ἐχαρίσατο πόλεις· πόλεις δὲ αὐτὰς ἐκάλεσε, ὅτι πρὸ τῆς τοῦ Θησέως συνοικήσεως αἱ κῶμαι πόλεις ἐκαλοῦντο, ὡς φησιν ὁ συγγραφεύς.

Δημοσίᾳ] *Παρὰ τοῦ δημοσίου· ὥστερ δὲ νόμον τοῦτο* κ. τ. λ. vid. add. Pariss., Leid. *τῶν ἐν πολέμοις.* ib.

Τροφεῖα] Vid. add. Paris. *αὐτοὺς ἀξίους τῆς ἀνατροφῆς· ὀδὸν δὲ λέγει* κ. τ. λ. — *αὐτοῦ εἶπεν*, quod praestat — *πολλοὺς συμβέβηκεν· ὑπερβολικῶς δὲ εἶπεν· οὐδὲν γὰρ ἄλλοι πρὸς αὐτῶν ἦλθον.* ib.

Ἐπὶ πολλοῖς τοῖς πρ.] *Πρεσβύτερος γὰρ τῶν Ἡρακλειδῶν ὁ Ἄδραστος.* 189. D.

Κοινὴν εὐθὺς] Vid. add. Pariss., Leid. *τοῦτο τῶν Ἀθηναίων τὸ ἐπιτήδευμα.* 190. A.

Ἐπὶ δυοῖν (sic Cod.)] *Ἀντὶ τοῦ ἐπὶ δύο ἀγκυρῶν· τοῦτο δὲ λέγει* (f. *λέγεται*) *ἐπὶ τῶν ἀσφαλῶς ὁρμούντων πλοίων· λέγει δὲ δύο πατρίδας, τήν τε αὐτῶν καὶ τὰς Ἀθήνας, ὥσπερ τὰ ἀσφαλῶς ὁρμοῦντα πλοῖα δύο ἀγκύρας χαλῶσι διὰ τὰ κύματα.* ib.

Τῇ δυνάμει] *Τῇ δυνάμει λέγει τῇ ὠφελείᾳ, ἵνα δείξῃ* vid. add. Pariss. et in Demosthenis loco laudando Leid. cum Apogr. Mon. consentit. ib.

Ἀνάλωτον] *Ἀήττητον, ἀπόρθητον· τὸ δὲ ἱερὰν πάλιν* κ. τ. λ. vide, quae ex Ap. Mon. et ipso Leid. edidi. In Leid. quoque est *οὐδεμίας*, pro quo leg. arbitratus sum *οὐδεμία*, quod confirmatur gemino Xenophontis loco, qui quidem Anab. II, 1, 19. *Εἰ δέ τοι μηδεμία σωτηρίας ἐστὶν ἐλπὶς ἄκοντος βασιλέως.* 190, B ib.

Πάσης τῆς B.] *Ὡς ὁ Οἰδίπους ἐκπεσὼν ὑπὸ Κλέοντος· πληθυντικῶς δὲ εἶπεν αὐξῆσαι θέλων τὰ ἐγκώμια· ὁ δὲ Σώπατρος ταύτην λέγει τὴν ἱστορίαν, ὅτι Ὀρχομένιοι* κ. τ. λ. vid. Ap. Mon. Leid. item *μὴ βουλόμενοι* in quo forte lapsus est ipse schol., non qui eum descripserunt. 190, C.

Ταναγραίων οἱ μετ.] Vid. quae edidi ex Mon. et Leid., in quo Geelius V. D. diserte legit *Γεφυραίους*. — *Μηδικῶν· ἔτι δὲ οἱ λέγει* (sic Cod., monente Geelio) *δὲ*

Digitized by Google

τῶν Ἀχαιῶν Δωριέων κρατησάντων τῆς Πελοποννήσου· εἶτα τῶν Δωριέων κατελθόντων καὶ ἐξελαυνόντων ἐκ τῶν αὐτοῦ διαφερόντων τόπων τοὺς Ἀχαιούς, πάλιν οἱ Ἀχαιοὶ τοὺς Ἀχαιούς, πάλιν οἱ Ἀχαιοὶ τοὺς Ἀθηναίους ἐπικαλούμενοι ἀποίκους, Ἰωνας ἐξήλασαν, καὶ ἔσχον τὰς πόλεις, καὶ οἱ Ἰωνες πάλιν ἦλθον Ἀθήναζε καὶ ὕστερον ἐπέμφθησαν εἰς τὴν Ἀσίαν. τοῦτό ἐστιν οὖν ὑπὸ τῶν εἰξάντων ἀναστάντες, ὅτι ὑπὸ Ἀχαιῶν ἐξελαθέντων ὑπὸ Δωριέων οἱ Ἰωνες ἀνέστησαν.

ib. Οὗτοι δ' ἦσαν Ἰωνία π.] Vide quae edidi ex Ap. Mon., Leid. τῶν δύο σπείσῃ — τῶν Μέδοντι — εἰρημέναι — ἀλλήλας, uti ex Ap. Mon. erat edendum — ἐπένω, ut Mon. pro quo Cant. corr. ἐπινόει, volebat forte ἐπενόει — ἐ αὐτὸν — φράζειν — ἐδίκων — ἐγκατοικῆσαι. —

ib. Ἀπ' ἀμφοτέρων] Vid. add. Pariss., Leid. ἀνατολάς — ἀπὸ μὲν ἀνατολῶν. —

190, D. Ἐκκεχωρηκότα] Ἀντὶ τοῦ ἐκπεσόντα ἢ ἀφιεσθέντα· βούλεται δὲ δεῖξαι, ὅτι καὶ βαρβάρους ἡ πόλις ἐδέξατο. Ἰστέον δὲ ὅτι τῶν Δρυόπων ἱστορίαν λέγειν οὐκ ἔχομεν κ. τ. λ. vid. ed. ex Mon. et Leid.

ib. Ὧν ἔτι καὶ νῦν] Τῷ περιληπτικῷ σχήματι ἐχρήσατο· οὐ γὰρ κ. τ. λ. vid. Apogr. Mon. et add. Pariss.

191, C. Τῆς Μεσσηνίων] Vid. Ap. Mon., Leid. item χρησαμένους — ἀπαντήσαντα — φάγωσιν — ὁ κατήρχοντο, f. ὅτε κ., Ap. et bomb. ὡς — ἀπήντησαν — ἡμίονος — γνῶντες — Ἤλιδος, recte — τῆς Ἡρακλείδαις quod corr. Geelius V. D.

ib. Διαφθαρείσης] Vide, quae ex bomb. edidi pag. 34. post Ἄλλως· ἔθος ἦν κ. τ. λ., Leid. item ἐζήτουν — καὶ ὀργισθέντες κατέσκαψαν τὴν Μεσσήνην Λακεδαιμόνιοι, reliquis omissis.

ib. Τοὺς λοιποὺς] Οἷον τὸ λειπόμενον καὶ τὸ λείψανον· διπλῆν γὰρ λέγει τὴν εὐεργεσίαν, τὸ δέξασθαι καὶ τὸ δοῦναι οἰκησιν· λέγει δὲ τὴν Ναύπακτον. Vid. addit. ex Cod. Paris. D.

ib. Αὖθις δὲ] Vid. ex Ap. Mon., addit Leid. τὸ δὲ αὖθις εἶπε διὰ τὸν Οἰδίπουν.

ib. Ἐνευτυχῆσαι] Τουτέστιν ἐν ταύτῃ εὐτυχῆσαι· λέγει δὲ τὴν τελευταίαν μάχην τὴν γενομένην ἐν Πλαταιᾷ τῶι Περ-

Digitized by Google

σῶν παρ' ὀξίαν δὲ, ὅτι πόλιν, ἐν ᾗ (inde emenda add. Pariss.) γενικήκασι, ταύτην ὑνεῖλον· ἀπροσδοκήτως δὲ εἶπεν, ἐπειδὴ οὐκ ἤλπιζον, ὅτι ἀπὸ Περσῶν σωθεῖσα ὑπὸ Θηβαίων ἀπολεῖται, καὶ τὸ παρ' ἀξίαν δὲ, ὅτι κ. τ. λ. vid. add. Pariss.

Ἐξήκει] Ἀντὶ τοῦ ἀπώλετο. λέγει δὲ οὐ μόνον Ἑλλάδος, ἀλλὰ καὶ τοῦ βίου παντός· εὐφήμως δὲ εἶπε τὸ ἐξήκει ἀντὶ τοῦ διεφθάρη καὶ ἀπώλετο· τὸ γὰρ παρεληλυθὸς δοκεῖ οἴχεσθαι καὶ κειμένειν ἐστι (sic Cod. f. οὐ μένειν ἔτι). 191, D.

Μετὰ καλοῦ τοῦ σχήματος] Σχῆμα λέγει τὸ ἀξίωμα, ὅτι Ἀθηναῖοι αὐτοὺς ἀνέγραψαν. 191, A.

Πάλιν τοίνυν Θηβαίων] Vid. Ap. Mon., in Leid. παρ' Ἀθηναίων deest — Leid. φοιδίμου. plane ut Ap. — παλαιὰς — ἐν αὐτῷ τοὺς τυρ. — ᾧ νῆσας, leg. ὧν ἦσαν — ὁστις μενῶν ἐλθόντος Φιλίδα ἐν τῇ Ἀττικῇ τῶν τυρ. — εἶπα, φησὶ, leg. εἶτα, φησὶ, scilicet enarrator Aristidis — μετὰ οἴνου. — ib.

Δεύτερον ἐξοικισθέντας] Δεύτερόν φησιν ἠτυχηκέναι τοὺς Πλαταιέας, τὸ μὲν πρῶτον ὑπὸ Λακεδαιμονίων καὶ Θηβαίων ἐν τῷ Πελοποννησιακῷ· τὸ δὲ δεύτερον ὑπὸ Θηβαίων μετὰ τὴν ἐπὶ Ἀνταλκίδου (om. εἰρήνην vel. σπονδήν)· ἐν γὰρ ταῖς σπονδαῖς ταύταις ἦν δοκεῖον (sic) τοῦ μὲν βασιλέως, ἔχειν ὑπ' αὐτὸν πᾶσαν τὴν Ἀσίαν καὶ Ἀμαζόνας, καὶ τῶν νήσων τὴν Κύπρον, τὰς δὲ λοιπὰς καὶ μικρὰς καὶ μεγάλας αὐτοφόμους εἶναι· τότε οὖν οἱ Θηβαῖοι μὴ βουλόμενοι μετέχειν τοὺς Πλαταιέας τοῦ συνεδρίου κατέσκαψαν αὐτούς. 192, D.

Τοὺς ἐκ Κορίνθου] Vid. Ap. M., Leid. ἐν ταῖς πρὸς Ι. — Θησίους — Βυζαντίους — Addit Leid. Θᾶσος δὲ ἦσος τῆς Θράκης· ταύτην Λακεδαιμόνιοι μετὰ τὸν Πελοποννησιακὸν ᾠκειώσαντο, πάσης τῆς Ἑλληνικῆς θαλάσσης ρξαντες· Θάσιοι δὲ τὴν βίαν αὐτῶν μὴ φέροντες δ' Ἐκάστου τοῦ ἰδίου στρατηγοῦ αὐτῶν πρὸς Θρασύβουλον τὸν ὧν Ἀθηναίων στρατηγὸν ἐπρεσβεύσαντο περὶ τὴν Θράκην ὄντα· ὁ δὲ εἰσελθὼν τῶν Λακεδαιμονίων ἐξέβαλε φρουράν, ἣν κατέστησεν (leg. κατέστησαν) ἐκεῖσε. ib.

Digitized by Google

ib. *Τοὺς ἐκ τῶν νήσων*] Οὐ λέγει τῶν Κυκλάδων, ἀλλὰ πασῶν· εἰ δέ τις εἴποι, τί οὖν; ἡ Θᾶσος οὐκ ἔστι νῆσος; λέγομεν, ὅτι ἄνω μιᾶς μόνης μνησθεὶς ἐνταῦθα περὶ πασῶν βούλεται εἰπεῖν.

192, D. *Ἐπὶ θάτερα*] Ἐπὶ τὰ ἐναντία, ἀντὶ τοῦ εἰς εὐτυχίαν· εἰ δε τὸ ἐπὶ θάτερα (sic recte Cod., supra θάτερον) δηλοῖ τἀναντία τῶν καλῶν, ὅ ἐστι φαῦλα, ἐνταῦθα τὴν λέξιν ἐπὶ καλοῦ εἴληφεν.

193, A. *Καὶ τῶν προσθὲν*] Πρὸ γὰρ τῶν Θηβαίων κατασκαφῆς Ὄλυνθον ὁ Φίλιππος εἷλεν· οὕτω καὶ Δημοσθένης, Ὄλυνθον μὲν καὶ Μεθώνην καὶ δύο καὶ τριάκοντα πόλεις.

ib. *Τῇ τύχῃ*] Ἀντὶ τοῦ πρὸς τὴν τύχην, οὐ ῥυθμιζομένους τῶν ἄλλων· εὐφήμως δὲ πάλιν τύχην τὴν συμφοράν.

ib. *Τοῖς πολλοῖς*] Αἰνίττεται εἰς τοὺς Ἡρακλείδας, ὅτι τέσσαρες αὐτοῖς δέδωκε πόλεις.

193, B. *Οὐδ' ἐλπὶς ἦν*] Οὐκ ἤλπιζον γὰρ τῆς τῶν Ἀθηναίων μετέχειν πολιτείας.

193, C. *Ἀλλὰ καὶ τῷ*] Νῦν θέλει δεῖξαι τὴν πόλιν πρεσβυτάτην οὖσαν τῶν ἄλλων πόλεων, οὐ μόνον τῷ πρώτην γενέσθαι, ἀλλὰ καὶ τῷ δέχεσθαι καὶ σώζειν τοὺς δυστυχοῦντας. Vid. add. Pariss.

193, D. *Ἓν μὲν οὖν*] Τὴν ὑποδοχὴν λέγει· μεταβαίνει δὲ λοιπὸν ἐπὶ τὴν ἀποικίαν ἀκολούθως, ἔδει γὰρ πρῶτον ὑποδέξασθαι, εἶτα ὡς μὴ χωρούσης τῆς Ἀττικῆς ἀποικίσαι.

194, A. *Τὸν κοινὸν τῶν Ἑλλ.*] Βούλεται εἰπεῖν, ὅτι οὐκ ἄνευ μαντείας οὐδὲ γνώμης τοῦ Ἀπόλλωνος τὰς ἀποικίας ἐποιεῖτο· ἐξηγητὴν δὲ καλεῖ τὸν διδάσκαλον.

ib. *Πατρῷον*] Πατρῷος ὁ Ἀπόλλων κ. τ. λ. vid. add. Pariss.

ib. *Προσθήκην*] Προσθήκην καλεῖ κ. τ. λ. vid. add. Pariss.

ib. *Καὶ πρῶτον μὲν*] Τὸν Αἰγαῖον λέγει καὶ τὰς νήσους τὰς ἐν αὐτῷ· ἐπικειμένην δὲ λέγει τὴν γείτονα· γειτνιάζει γὰρ τὸ Αἰγαῖον πέλαγος ὡς αὐτῆς ὄν· ἐκάθηρε δὲ τοῦ ληστρικοῦ, ὅ ἐστιν ἡμέρωσε, καὶ ὁ Θουκυδίδης ἐν τῇ πρώτῃ· εἰρηκὼς δὲ τὸ ἔοικα, οὐ τὸ πρῶτον, ὥσπερ ἐλάβετο ἑαυτοῦ· ἀλλ' ἐρεῖ τις, ὅτι καλῶς εἶπε πρὸ τῆς ἀποικίας τὴν κα-

Digitized by Google

θαρσιν, πρῶτον γάρ τις καθαίρει, εἶτα ἀποικίζει· λέγομεν οὖν, ὅτι χρόνος ἐστὶν ἀντὶ χρόνων, ἵν' ᾖ· ἔοικα δὲ οὐ τὸ πρῶτον εἰρηκέναι (Cod. εἰρημέναι), ἐπεὶ ἐναντίον εὑρίσκεται· πρὶν γὰρ εἰπεῖν τὸ, ὅτι ἐκάθηρε τὴν ἐπικειμένην θάλατταν, εἶπε, προσλαβοῦσα γὰρ τὸν Ἀπόλλωνα ἐξήγαγε πανταχῆ γῆς, ὅπερ ἐστὶ τῇ τάξει δεύτερον· πρῶτον γὰρ ἐκάθηρεν, εἶτα καὶ ἀπῴκισεν· ἡ δὲ σύνταξις οὕτως, πρῶτον μὲν γὰρ τὴν ἐπικειμένην ἐκάθηρε θάλατταν καὶ τῆς Ἑλλάδος ὥσπερ λήμην ἀφείλετο· λήμην δὲ λέγει τὴν ἀκαθαρσίαν, ὥσπερ ἡ λήμη ἐμποδίζει τῷ ὀφθαλμῷ (Cod. τῷ ὀφθαλμῳ) ὁρᾶν, οὕτω καὶ τὸ ληστικὸν ταῖς ἀποικίαις.

Τὸ ληστικὸν (sic Cod.)] Ἕλληνας Κρήτας καλεῖν οὐκ ἀνέχεται, ὅτι τρόπον ἐζήλωσαν βάρβαρον καὶ τῇ πράξει τὸ γένος ἠρνήσαντο. Vid. add. Pariss. 194, B.

Καὶ καταναγκάσασα] Ἐζήτηται (Cod. ἐξήτηται) πῶς τοῦ Μίνωος ἐκβαλόντος τοὺς ληστὰς, αὐτὸς Ἀθηναίους λέγει; φαμὲν, ὅτι πρῶτον ὁ Μίνως τοὺς Κᾶρας ἐξήλασεν· ὕστερον δὲ τῶν Κρητῶν οὐδὲν ἧττον ληστευόντων Ἀθηναῖοι τούτους ἐξέβαλον. ib.

Ἔστιν οὖ] Γέγραπται ἔστι ἡ (l. ἔστιν ἧ)· ὥσπερ, φησὶ, νῆσος ἔχουσα τρεῖς πόλεις ἐν ἑαυτῇ, οὕτως οὖν ἀκινδύνως καὶ ἀφόβως ἀμείβειν καὶ ἐναλλάττει τρεῖς πόλεις παριόντα καὶ πλέοντα (sic)· τὸ δὲ ἔστιν ἧ (sic) οὐ κατὰ τὰς πόλεις εἴρηται, ἀλλὰ πρὸς τὸ ἡμέρως (sic ex Arist. corr. Geelius, Cod. ἡμετέρως) πλεῖν· εἶπε δὲ ἔστιν οὗ (sic), οὐ γὰρ ἐπὶ πασῶν τῶν νήσων τοῦτο γίνεται· ἐπειδὴ δὲ τῶν ληστῶν ἐν τῇ γῇ ὄντων τῶν νήσων καὶ τοὺς πλέοντας ἐπιτηρούντων καὶ ληστευόντων οὐκ ἦν οὔτε βραχὺ πλεῦσαι ἀσφαλῶς· θέλει εἰπεῖν, ὅτι τῶν Ἀθηναίων τοὺς ληστὰς ἐκβεβληκότων, οὕτως ἦν λοιπὸν ἁδεῶς πλεῖν, ὥστε καὶ δύο καὶ τρεῖς πόλεις θαρρούντως ὑπεμβαίνειν πλέοντα καὶ μὴ καταίρειν (sic Cant. pro καθαίρειν, ὃν τρόπον πόρρω τις) (sic Geel. V. D. pro πόρω τις) ὧν τῆς θαλάττης καὶ βουλόμενος πλεῦσαι, τέσσαρας καὶ πέντε πόλεις ἔρχεται πεζῇ ἐπὶ τῷ φθάσαι εἰς τὴν παραθαλασσίαν· τινὲς δὲ ἄλλως ἐξηγήσαιτο, ὅτι εἰρήνης οὔσης, ὥσπερ ἦν πλείους πόλεις διοδεύεσθαι ἐν ἠπείρῳ, 194, C.

Digitized by Google

οὕτως ἦν καὶ μίαν νῆσον ἔχουσαν ἐν αὐτῇ τρεῖς πόλεις πλεῖσθαι τότε· τότε γὰρ παυσαμένης τῆς ληστείας καὶ πλησίον ἀλλήλων τὰς πόλεις ἔκτιζον, οὐ γὰρ ὑπῆρχον, ὥσπερ πρώην ἐπαναστάσεις.

ib. Πρὸς δὲ] Ἐκ τε τῶν δυτικῶν καὶ ἀνατολικῶν μερῶν, ἢ ἐκ τῆς ἀποικίας καὶ τῆς καθάρσεως.

ib. Τοὺς Ἑσπερίους] Ἑσπερίους τόπους καλεῖ τὴν Σικελίαν καὶ Ἰταλίαν, τὰς περὶ τὴν Πελοπόννησον νήσους· ταῦτα γὰρ Ἑσπέρια ἐπὶ Κεφαλληνίᾳ καὶ Ζάκυνθος.

194, D. Διχόθεν] Ὡς πρὸς τὸ Αἰγαῖον καὶ τὰς Ἑσπερίους νήσους, ὅ ἐστι ἐξ ἑκατέρας τῆς θαλάσσης ἀπὸ τῶν Κυκλάδων Κεφαλληνίας (sic).

ib. Λιμέσι] Εἰσὶ γὰρ λιμένες κλειόμενοι περὶ τὰ στόματα.

195, A. Καὶ διεβίβαζεν] Καὶ τὴν Ἰωνίαν αἰνίττεται.

ib. Τὰς πολλὰς καὶ μ.] Δώδεκα πόλεις ἀπῴκισαν· καλῶς δὲ εἶπεν, ὡς μίαν οὖσαν τῇ φύσει, ἐπειδὴ μερίζουσι τὴν γῆν εἰς Ἀσίαν καὶ Εὐρώπην.

ib. Οὐ κεχωρισμένα (sic Geelius, Cod. οὐκ ἔχω)] Κατὰ κοινοῦ τὸ ὥσπερ (ed. ὡς), ἵν' ᾖ ὥσπερ οὐ κεχωρισμένα.

ib. Κατεσκεύασε] Τὸ γὰρ παραθαλάσσιον μέρος τῆς Ἀσίας ἔκτισεν· ἀντίπρωρον δὲ ἀντιπρόσωπον, καταντικρὺ γάρ ἐστι τῆς παλαιᾶς Ἑλλάδος· καλῶς δὲ εἶπε τὸ εἰ οἶόν τ', ἐπειδὴ ἐπὶ νεῶν λέγεται ἀντίπρωρον.

195, B. Κάλλιστον δὲ] Τῇ Ἀσίᾳ λέγει καὶ τῇ Εὐρώπῃ· κόσμον δὲ τὸ κάλλος, κόσμος γὰρ τῆς γῆς, ὥσπερ εἶπεν, ὁ ἄνθρωπος· καίριον δὲ λέγει τὴν (Cod. τῷ) θέσιν τὴν καλὴν καὶ τὸ εἰς εὐαέρους τόπους ἀποιχῆσαι.

ib. Τὴν ὁμόνοιαν] Τὴν εὔνοιαν· λέγει δὲ, ὅτι ἡ ὁμόνοια αὐτῶν πολλῶν γέγονεν αἰτία καλῶν τοῖς (sic G. pro τῆς) Ἕλλησι, διὰ γὰρ τὸ ὁμονοεῖν (Cod. μονοεῖν) ἀπῴκισεν, ἐπεὶ οὐκ ἠδύνατο ἠσχολημένη εἰς τὸ πολεμεῖν τοῖς Ἕλλησι. Πῶς οὖν κ. τ. λ. vid. add. Pariss. ad οὐ μόνον τῷ πλήθει, Leid. ἀληθὲς —

ib. Ὥσπερ κρηπῖδος] Ἁρμόζει δὲ τοῦτο καὶ πρὸς Λακεδαιμονίους καὶ τοὺς ἄλλους ἀποικίσαντας· Καὶ Ἰσοκράτης κ. τ. λ. vid. ed., Leid. ἀπῴκισαν. —

Digitized by Google

Ὥσπερ ἄλλο τι μέτρον] Vid. add. Pariss., quae inde a *καλῶς* sequuntur, desunt in Leid. 195, C.

Ἅπαν τὸ] *Ἀντὶ τοῦ τὸ οἰκεῖσθαι δυνάμενον, τινὰ γὰρ* ib.
ἤδη διὰ ψυχρότητα ἢ θερμότητα ἦν ἀοίκητα· εἶπε δὲ ἐπ' ἀμφοτέροις τοῖς πέρασι τῆς γῆς ἡμετέρων παῖδες παίδων οἰκοῦσι, ἐπὶ γὰρ τῷ Ἴστρῳ ποταμῷ ἄποικοι ἦσαν τῶν Μιλησίων, οἱ δὲ Μιλήσιοι τῶν Ἀθηναίων.

Ἀπὸ Μασσαλίας] Vid. ed. cum add. Pariss. 195, D.

Τῷ Ταναΐδι] *Τάναϊς ποταμὸς Σκυθίας· λίμνην δὲ* 196, A.
λέγει τὴν Μαιῶτιν καὶ αὐτὴν οὖσαν τῆς Σκυθίας καὶ γενομένου ἐξ αὐτῆς τοῦ ποταμοῦ (f. *καὶ γενομένην ἐξ αὐτοῦ τοῦ ποταμοῦ· ἔστι δὲ μεθόριον κ. τ. λ.* vid. ed.

Μεμερισμένοι] *Ἐν τῷ μέρει τῆς Εὐρώπης περὶ τὰς* ib.
Ἱσπανίας καλουμένας.

Τοῦτο δὴ] *Ἀνακεφαλαίωσις· πολλάκις δὲ κέχρηται τῇ* 196, B.
ἀνακεφαλαιώσει· δηλοῖ δὲ καὶ τὸ διὰ βραχέων βραχεῖα γάρ ἐστιν ἡ ἀνακεφαλαίωσις.

Καὶ δεῖξαι τὴν συντέχειαν] *Ἀντὶ τοῦ κατὰ πολὺ, συντέ-* ib.
χειαν γὰρ τὴν συνεχῆ εὐεργεσίαν· αὔξει δὲ καὶ ποιότητι καὶ ποσότητι· λέγει δὲ ὅτι ἡ πόλις ὑπὲρ τοῦ κοινοῦ τῆς Ἑλλάδος ἐπολιτεύσατο· ποῖον δὲ τοῦτο; ὅτι ὄνομα ἔχει τοὐ ἔπαινον ἡ πολιτεία· τοῦτο δὲ γενικόν ἐστι, καὶ Δ. vid. ed. ad *πολιτείας*, quibus in Leid. adduntur, quae in add. Pariss. adscripta sunt ad *διὰ βραχέων* inde ab *ἐπειδὴ δέ ἐστι κ. τ. λ.*, Leid. *εὐεργετῆσαι, βούλεται δεῖξαι ὅτι.* —

Ὅτε μέν γὰρ] *Τὸ γὰρ λέγει, ὅτι τοὺς Ἡρακλείδας ἐδέ-* ib.
ξατο κ. τ. λ. vid. add. Pariss.

Ἐπεὶ δὲ ἔδει] Vid. add. Pariss. 196, C.

Ἐν ᾧ] *Ἢ χρόνῳ ἢ πράγματι· προτέρων δὲ ἱκετῶν* ib.
τῶν Ἡρακλειδῶν.

Πολλὰς συμπεφ.] *Τὸ τῆς ἀποικίας λέγει, λέγει δὲ τῷ* 197, A.
φιλοτίμηται· ἔξω δὲ πόλεων τῶν ἐν τῇ Ἀσίᾳ ἀποικισθείσων.

Φιλανθρωπότερον] *Διὰ τὸ δέχεσθαι τοὺς καταφεύ-* ib.
γοντας.

Ἢ πρῶτον] *Σημαίνει πάλιν τὴν ὑποδοχήν, εἶτα τὴν* 197, B.
ἀποικίαν.

Digitized by Google

ib. Ὁμοίως τῇ τε] *Μίαν, φησὶ, εὔνοιαν φυλάττουσα καὶ ἐπὶ τῆς οἰκείας καὶ ἐπὶ τῆς ἀλλοδαπῆς· ὁμοίως γὰρ, φησὶ, καὶ ἐν ταῖς ἀποικίαις ὑπεδέχετο αὐτοὺς* (Cod. αὐτὸς) *διὰ τὸ παρέχειν τόπους, ἔνθα οἰκήσουσιν.*

197, C. Ἡγεμόνας τε] *Τοὺς ἀρχηγοὺς τῆς ἀποικίας τὸν πόλεμον τὸν κόαρον* (sic).

ib. Καὶ λεὼν] *Ἵνα μὴ δόξῃ* (Cod. δίξης) *διὰ τῆς ἀποικίας αὐτοὺς ἀτιμοῦν, καὶ Ἀθηναίους ἄνδρας συνεξέπεμπεν αὐτοῖς· λεὼν δὲ ἀττικῶς τὸν λαόν.*

197, D. Βουλήματι] Vid. add. Pariss., Leid. *Οὐκ ἐξ ἀνάγκης — ἀλλὰ προαιρέσει — πράξεως τῶν Ἀρ. — ἐστὶ, τὸ δὲ περὶ τῆς βουλήσεως — βουλεύεσθαι τοῦτο ποιεῖν, μεῖζόν ἐστι· τὸ δὲ προτέρους οὐ πάντων· ἄνω γὰρ εἶπεν, ὅτι ἐπὶ πολλοῖς τοῖς πρότερον κἀκεῖνοι κατέφυγον, ἀλλ' ὧν μέλλει αὐτὸς ἐπιφέρειν, τουτέστι τῶν Ἰώνων.*

198, A. Καὶ προιοῦσι] Vid. add. Pariss.

ib. Πολιτείᾳ] Vid. add. Pariss.

ib. Σώζεται] *Εἰ μὴ ἔξω καθέστηκε τούτων, ἢ δεῖγμα φιλανθρωπίας.*

ib. Καὶ μὴν τὸ μὲν τοὺς] Vid. add. Pariss., Leid. *λέγει τις* (ed. εἴποι γ' ἄν τις). —

198, C. Πρὸς τὴν παρὰ] *Ὃ ἐστι χάριν ὀφείλειν τῇ πόλει τοὺς Ἕλληνας.*

198, D. Οἱ γὰρ αὐτοὶ] *Ἀλλὰ καὶ τῶν προσοικούντων αὐτῶν ἀπελθοῦσι, πρεσβύτατοι μὲν διὰ τὸ εἶναι ἀρχαῖοι, νέοι δὲ διὰ τὰς ἀποικίας.*

ib. Καθάπερ τὸν Διόνυσον γρ.] Vid. ed.

199, A. Τὸ προσῆκον] Vid. add. Pariss., quibus addit Leid. *πρεσβυτάτων δὲ τῶν αὐτοχθόνων.*

199, B. Καὶ μὴν τόγε (ed. τῷ γε)] *Ἄμφω γὰρ φιλανθρωπίας τεκμήρια.*

ib. Πῶς οὐκ εἰς] *Ἀντὶ τοῦ ὅμοιον καὶ ἴσον· ὥσπερ γὰρ ἐκεῖτο κοινὸν εὐεργέτημα πεποίηται πᾶσι μεταδοῦναι τοῦ σίτου οὕτω καὶ τὸ ἀποικίας παραπλησίον.*

ib. Σμήνη] *Σμήνη εἶπεν, ἐπειδὴ παρέοικε τούτῳ καὶ τὰ*

Digitized by Google

τῆς ἀποικίας πλήθη· σμῆνος γὰρ κυρίως καλεῖται τὸ σύστημα τῶν μελισσῶν.

Ἀφορμῶν ἕνεκα (ed. εἵνεκα)] Ἀφορμὰς καλεῖ τὰ (sic Geelius V. D., Cod. καλεῖται) σπέρματα· τὰ τοῦ βίου δὲ τὴν τροφὴν καὶ τὴν ζωήν. ib.

Ἐκδέχεται δ' ἡ πάλαι τοῦ λόγου] Ὡς ἐπιθυμούντων τῶν ἀκροατῶν ἀκοῦσαι τὰς πράξεις, ἢ ἵνα δείξῃ (Cod. δειξει), ὅτι καὶ ἐκ προοιμίων ἐζήτουν ἀκοῦσαι τῶν πολεμικῶν· τινὲς δὲ λέγουσιν ὅτι εἰς δ' μέρη διεῖλε κ. τ. λ. vid. add. Pariss., Leid. μέρος λέγει — ἔρχεσθαι — οὕτω γὰρ λέγων διαδέχεται· μετὰ κινδύνων δὲ εἶπεν, ὅτι καὶ τὰ προειρημένα πράξεις ἦσαν, οὐ μέντοι μετὰ πολέμου, πολέμους γὰρ καλοῦσι τοὺς κινδύνους (immo vero τοὺς πολέμους γὰρ κ. κινδύνους)· ἐπιλαμβάνεται δὲ αὐτοῦ μετ' ὀλίγον καὶ τὰς πρώην πράξεις μετὰ κινδύνων δείκνυσιν· ἀνάγκη γὰρ καὶ τοὺς ἀποικίζοντας μάχεσθαι, ὅπως ἂν τῆς χώρας κρατήσωσιν, ἐκώλυον γὰρ οἱ βάρβαροι. 199, C.

Αἱ μετὰ τῶν κινδ.] Παρεμφαίνει καὶ τὸ πλῆθος τῶν πράξεων καὶ τὸ ἀνδρεῖον τῶν Ἀθηναίων· ἐγὼ γάρ, φησί, μᾶλλον ἔχω κίνδυνον ὃ λέγων, ἢ τότε Ἀθηναῖοι, ὅτε ἐποίουν αὐτάς (sc. πράξεις). ib.

Οὐ μὴν ἀλλ'] Ὡς δίκαιον καὶ τοῦτο προτίθησι. ib.

Καὶ τὰς ἐπὶ τῶν] Τῇ (f. τὰς) περὶ τοῦ δέχεσθαι τοὺς ἀτυχοῦντας. 199, D.

Μείζους δὲ] Ἐνὶ (sic) γὰρ πλείους μὲν, οὐ μείζω δὲ εἶναι· ἐνταῦθα δὲ ἄμφω. 200, A.

Ὅτου δεήσαντος] Vid. add. Pariss. 200, C.

Ἀφ' ὧν] Πάλιν βούλεται εἰπεῖν τὸν περὶ τῶν Ἡρακλειδῶν πόλεμον· τὸ γὰρ αὐτὸ ἐπιχείρημα καὶ εἰς τὴν ἀνατροφὴν ἐδέξατο, καὶ νῦν εἰς τὰς πράξεις· πολλάκις γὰρ ἔχομεν τὰ αὐτὰ ἐπιχειρήματα ἁρμόζοντα ἡμῖν εἰς διάφορα κεφάλαια. 200, D.

Ὑπὲρ τῶν Ἡρακλειδῶν] Τὸ αὐτὸ παράδειγμα ἔλαβε καὶ νῦν τὸ τῶν Ἡρακλειδῶν, ἀλλ' ἐκεῖ μὲν τὴν φιλανθρωπίαν δεικνὺς διὰ τῆς ὑποδοχῆς, ἐνταῦθα δὲ τὴν ἀνδρείαν διὰ τοῦ πολέμου· καλῶς δὲ τὸ τοὺς σὺν Εὐρυσθεῖ, οὐδὲ γὰρ πάντες αὐτῷ συνέπραττον· τὸ δὲ μεθ' ὅσου θαυ- 201, A.

Digitized by Google

μαστικὸν τὸ ὕτομα (f. τόμια, quae confundi docet Creuzerus V. D. ad Plot. p. 285. Bast. comm. palaeogr. p. 784.)

ib. Καὶ τὸ πρᾶγμα] Τουτέστι τὸ δεινόν· αὔξει δὲ αὐτό, ἵνα τὸ τῶν Ἀθηναίων ὑψώσῃ κατόρθωμα, ἐπεὶ (f. ἐπὶ) τυράννου καὶ δημοκρατίας τοῦτο λαμβάνει (f. λαμβάνεται).

201, B. Ὥστ' αὐτὸν οἴκοι] Ἐν γὰρ τῇ ὁδῷ τέθαπται, ἵνα ὑπὸ τῶν παριόντων καταπατῆται· ἐλεεινὸν δὲ διὰ τούτου τὸν θάνατον αὐτοῦ δείκνυσι.

ib. Καὶ τῆς ἐξουσίας] Τῆς βασιλικῆς, τοῦ γὰρ Ἡρακλέους ἦν ἡ βασιλεία τῶν Πελοποννησίων.

ib. Εὗρε κατ' ἀξίαν] Ἀντὶ τοῦ ἐν καλῷ καὶ συμφέροντι οὐχ ἑαυτοῦ, ἀλλὰ τῶν ἀδικουμένων.

ib. Τοῖς γὰρ ὑπάρχουσι] Τῷ πλούτῳ καὶ τῇ ἐξουσίᾳ.

201, C. Τοσούτῳ χεῖρον] Ὥσπερ ἀντέπεσεν αὐτῷ, τί γὰρ ἔπασχον Πελοποννήσιοι; φησὶν οὖν, ὅτι δυσχερέστερον οὕτω τῶν Ἡρακλειδῶν ἠτύχουν· ἐδούλευον γὰρ τῷ Εὐρυσθεῖ.

ib. Ἀποῤῥηθὲν] Πάλιν ἀττικῶς ἀντὶ τοῦ ἀποῤῥηθέντος καὶ ἀπειλημένου.

ib. Ὅπως μὴ] Vid. add. Pariss.

202, A. Καὶ τῷ σχήματι] Τῷ εἴδει· πάλιν δὲ καὶ ἐνταῦθα δείκνυσι διπλοῦν (sic corr. Geelius pro πλοῦν) ἐν ἑτὶ τὸ εὐεργέτημα.

ib. Ὕβριν] Ἀντὶ τοῦ τὴν ὠμότητα· καλῶς δὲ εἶπε δυστυχήσαντας, ἵνα διαβάλῃ τὴν τῶν Θηβαίων τύχην, ὅτι τύχῃ καὶ οὐκ ἀνδρείᾳ νενικήκασι.

202, B. Τῷ συνειδότι] Leid. consentit omnino cum Ap. Mon.

ib. Τοῖς δὲ τὴν τιμωρίαν] Οὐδεὶς (f. οὐδαμῶς) ἁπλῶς τὰ γενόμενα ἤποι κατορθούμενα λέγειν καὶ διηγεῖσθαι χρὴ, ἀλλ' ἀναφέρειν τὸ πραχθὲν εἴς τι μέρος τῆς ἀρετῆς, ὥσπερ ἐνταῦθα ὁμοῦ καὶ ἀνδρείας καὶ δικαιοσύνης ἐχόμενον δείκνυσι τὸ γενόμενον.

202, C. Ὥσπερ ἐκ δυοῖν] Ἀντὶ τοῦ ταχέως καὶ ἀσφαλῶς, ἐκ μεταφορᾶς τῶν πλοίων· ἢ ἀντὶ τοῦ προθύμως καὶ ἀνενδοιάστως παρὰ (f. inserend. τὸ) τοὺς σπεύδοντας ἀμφοτέροις (Cod. ἀμφοτέρως) ἐπείγεσθαι τοῖς ποσὶν (Cod. παισὶν), ἢ τινι

Digitized by Google

τοῦ δύο πηδαλίοις, ἵνα ἢ ὅμοιον τῷ ἐπὶ δυοῖν ὁρμεῖν ἔδοξαν· παροιμία δέ ἐστιν ἐπὶ τάχους λεγομένη.

Καὶ στήλης ἄμεινον] Ἐπειδὴ εἰώθασι τὰ μικρὰ, τὴν ib.
ὑπερβολὴν ἐμφαίνει τῶν πράξεων.

Οὐχ ὕσον λανθάνειν] Ὡς ἐπὶ παραδείγματος τοῦτο ib.
εἶπε· ὥσπερ γὰρ, φησὶν, ἐάν τις ἐλλογιμώτερός ἐστιν ἐν μικρῷ, οὐκ ἔστιν ἐπιφανὴς, ὁ δὲ πολὺ προέχων ἐν τῇ σοφίᾳ λήθην ποιεῖ τοῦ εἶναι τὸν ἕτερον ἐλλόγιμον (Cod. τοῦ ἑτέρου ἐλλόγιμος), οὕτω καὶ ἡ πόλις προέχουσα τῶν λοιπῶν πόλεων μεγάλως εὐτελεῖς ἐκείνους ἀποδείκνυσιν.

Εἰ δὲ βούλει] Τὸ σχῆμα διορθωτικόν· φησὶ δὲ δικαιο- 202, D
σύνην ἀντὶ τῆς φιλανθρωπίας, τὸ γένος ἀντὶ τοῦ μέρους δηλῶν· τῆς γὰρ δικαιοσύνης μέρος ἡ φιλανθρωπία.

Ὥσπερ γὰρ κήρυκες] Μεταφορικῶς εἶπεν αὐτοὺς κή- ib.
ρυκας, ὀνομάσας τοὺς καταφεύγοντας· καὶ πάλιν οἰκείως τούτῳ (Cod. τοῦτο) ἐπήνεγκεν τὴν ἀνάῤῥησιν τουτέστι τὴν ἀναγόρευσιν, ὑπερ κυρίον ἐστι κήρυκος· τὸ δὲ ἀπ' αὐτῶν τῶν ἔργων καὶ οὐ διὰ τῆς φωνῆς κηρύξαντες.

Μήτε ἀμείνους] Τὸ ἀμείνους ἐνταῦθα (f. inserend. 203, A
ἀντὶ) ἀνδρειοτέρους ἔλαβε, ἵνα δείξῃ πάλιν τὸ δίκαιον, καὶ τὸ ἀνδρεῖον τῶν Ἀθηναίων.

Ἀριθμὸν πληροῦσας] Τουτέστι μόνον ὄνομα ἐχούσας. ib.

Ὥστ' ἄμφω τὰ γένη] Τὸ σχῆμα τοῦτο χιαστὸν ἐκλήθη, 203, B
διότι δύο προτάσεων οὐσῶν τοῦτε δικαίου καὶ τοῦ δυνατοῦ, ὃ μὲν ἔδει τῷ δικαίῳ ἀποδοῦναι, τοῦτο ἀπένεμε τῷ δυνατῷ, ὃ δὲ τῷ δυνατῷ, τῷ δικαίῳ πάλιν ἀντέθηκεν (leg. ἀνέθηκεν)· ἐναλλὰξ (leg. ἐναλλάξας) τὰς ἐννοίας· καλεῖται δὲ σχῆμα τοῦτο καὶ προκειμένου κακοῦ ἀναίρεσις, λέγεται δὲ οὕτω, ἐπειδὴ παράκειται κ. τ. λ., vid. ed., Leid. ἀνεῖλε δὲ τὴν — συγκριτικὸν τοῦ ὀνόματος (f. τοήματος), δοκεῖ καὶ συγκριτικὸν, ἀλλ' οὐκ ἔστιν· ἢ γὰρ ἂν ὤφειλεν εἰπεῖν δικαιοτέραν, ἀλλ', ὡς εἴρηται, παρακειμένου κακοῦ μεθοδεύει ἀναίρεσίν· τί οὖν θέλει τὸ τόημα, ἐπειδὴ παράκειται ὡς δικαίοις τὸ πάσχειν, ὡς δὲ ἀνδρείοις τὸ ἀδικεῖν; ἀνεῖλεν, ὡς εἴπομεν, τὴν ἑκατέρου κακίαν, ἀντὶ τοῦ δικαία (ins. οὖσα) καὶ οὐ πάσχουσα, καὶ ἀνδρεία οὖσα, καὶ ἀδικοῦσα· ἄλλοι δὲ

λέγουσι τοῦτο τὸ σχῆμα διάλληλον, ἄλλοι δὲ ἐναγώνιον, παρὰ τὸ ἀγῶνα δοκεῖν ἔχειν τῇ ἐπαγωγῇ τῶν νοημάτων· ἕτεροι δὲ στρεπτόλυτον, παρὰ τῶν ἀντιστρόφων λύον (leg. ex Photio: παρὰ τὸ ἐκ τῶν ἀντιστρόφων λύειν) τὰ λεγόμενα· γένη καλεῖ τὰ συστήματα, τοὺς ἀνδρείους καὶ τοὺς δικαίους.

203, C. Ἐξειλεγμένα] Ἵνα δείξῃ, ὅτι πολλῶν ὄντων τὰ τίμια εἶπεν.

ib. Ἀμαζόσι] Ἐπειδὴ οὐδὲν ἐδόκει μέγα εἶναι τὸ τῆς νίκης, εἰ γυναῖκας ἐνίκησε, λέγει τὰς τὴν οἰκείαν φύσιν παραδραμούσας, αὔξων αὐτῶν τὴν δύναμιν, γυναῖκες γὰρ οὖσαι τοῖς ἔργοις τοὺς ἄνδρας ἐνίκησαν· πλέον δὲ αὔξων εἶπεν, οὐδεὶς αὐταῖς ἀντᾶραι τετόλμηκε· λέγει δὲ αἳ παρῆλθον τοῖς ἔργοις τὴν φύσιν, γυναῖκας γὰρ ὑπερέβαινε τὸ ταῦτα εἰπεῖν.

ib. Παιολεθρίᾳ] Vid. add. Pariss. ad Ἀμαζόσι μὲν γάρ, Leid. Ἱππολύτοις — νενίκηκε — παρὰ Θερμώδοντα ποταμόν reliquis, quae inde sequuntur, omissis.

ib. Ὥσπερ ἀπό] Τοῦτο κατὰ γεωμετρίαν εἶπε· πάντος γὰρ κύκλου αἱ ἀπὸ τοῦ κέντρου ἐκφερόμεναι (Cod ἐμφ.) εὐθεῖαι ἴσαι ἀλλήλαις εἰσίν· ἀπὸ κοινοῦ δὲ τὸ ἐξισωκεσαν τουτέστιν ἴσως ἦσαν νενικηκυῖαι.

204, A. Παρατείνουσαι] Ἐν σκήνῃ, ἵνα δείξῃ τὸν δρόμον, ὅτι ἐσκήνουν μᾶλλον ἢ ἐμάχοντο.

ib. Ὥσπερ κάλου] Γράφεται καὶ κάλω ἀττικῶς, ἀπὸ εὐθείας τῆς ὁ κάλως· τὸ δὲ ῥαγέντος ἐμφαίνει τοῦ δρόμου τὸν τόνον· σχοίνῳ γὰρ τὸν δρόμον παρέβαλε τεινομένῳ καὶ τελευτῶν ῥαγέντι.

ib. Κἀνταῦθα] Τῇ φύσει λέγει αὐτῆς (l. αὐτήν) βεβοηθηκέναι, διὰ τὸ ὑπὸ γυναικῶν ἄνδρας ἡττᾶσθαι· τὸ δὲ κἀνταῦθα ὡς ἐπὶ τῶν Ἀργείων.

204, B. Οἶμαι δ' οὐδὲ] Καὶ οὗτοι γὰρ ὥσπερ αἱ Ἀμαζόνες ἡττήθησαν· συμφορὰν γὰρ καλεῖ τὴν ἧτταν· ἔστι δὲ διπλῆ ἡ γραφὴ αὐτοῖς καὶ αὐταῖς καὶ διπλῆ ἡ ἐξήγησις· ἢ γὰρ αὐτοῖς οὐκ ἐμέμψαντο, ὡς ἀναξίως ἡττηθῆσιν (f. ἡττηθεῖσιν, Paris. ἡττηθῆσαν), ἢ αὐταῖς ἀνεμέμψαντο (sic), ὡς καὶ αὐτὸν ἡττηθέντες ὑπ' αὐτῶν· ὁ γὰρ τὰ αὐτὰ πάσχων ἑτέρῳ ἐγκαλεῖν οὐ δύναται (sic Geelius V. D. pro δι-

Digitized by Google

ναιον). *Κατὰ τὸν αὐτὸν δὲ χρόνον κ. τ. λ.* vid. ed. ad 204, B. *Οἶμαι δ' οὐδὲ Θρᾷκας.*

Ἐπὶ τῷ τάφῳ] *Ἐπειδὴ ἁρμόζει τοῦτο τὸ ἐπιχείρημα ἐπιταφίῳ, μέμφεται τοῖς ἐν τῷ ἐπιταφίῳ παραλιμπάνουσι τὸ λεγόμενον.* 204, C.

Βουλόμενοί τινες] *Πολλοὶ γὰρ ὑπὲρ τῆς πόλεως δεδώκασιν ἑαυτοὺς εἰς σφαγάς· τὸ δὲ χρήσασθαι εἶπεν ὡς ἀπολαύσεσθαι.* ib.

Ὧι γὰρ ἑώρων] *Παράδειγμα τῆς εὐψυχίας ἐποιοῦντο τὴν πόλιν.* 204, D.

Καὶ ἐκ τῶν κοινῶν] *Κοινῶν λέγει ὧν ἐποίησεν ἡ πόλις, ἰδίων δὲ, ὧν ἕκαστος ἑαυτὸν ἐπεδέδωκε· διὸ καὶ διπλῆν εὐδοξίαν ἔχει ἡ πόλις.* 205, A.

Τὴν θυγατέρα] Vid. ed. ib.

Λέγεται γὰρ Ἐρ.] Vid. ed. ib.

Κόδρος δὲ] *Τοῦτον τὸν Κόδρον εἶπεν ἄνω ξένον καὶ ἐπιδεδωκέναι πρὸς σφαγὴν* (Cod. φυγήν)· *λέγεται δὲ κατὰ χρησμὸν τοιοῦτον· Ἀθηναίων καὶ Λακεδαιμονίων πολεμούντων ἔχρησεν ὁ θεὸς, τοὺς καταρχομένους* (Cod. κατὰ ἀρχ.) *ἡττᾶσθαι· προσποιησάμενος οὖν προσαιτεῖν ἀπῆλθε πρὸς Λακεδαιμονίους παροξύνων αὐτοὺς εἰς πόλεμον· εἶτα ἐκεῖνοι ἀγνοήσαντες ἀνεῖλον αὐτὸν καὶ οὕτως ἡττήθησαν.* 205, C.

Καὶ οὗτος] Vid. ed. ib.

Ὥστε καὶ οἷς ὑπ.] *Ἀντέπιπτεν αὐτῷ, ἀλλὰ Κρέων ἐν Θήβαις Μενοικέα τὸν υἱὸν ἐπιδέδωκεν εἰς σφαγὴν ὑπὲρ τῆς πόλεως· λύει οὖν τοῦτο λέγων, ἀλλ' ἀρχηγὸς ἡ πόλις γέγονε τούτου· ἠρίστευσε δὲ Κρέων τὴν Ἀθηναίων πόλιν ἔχων διδάσκαλον, οἷον κἂν ἔχωσιν εἰπεῖν Ἀργείους καὶ Θηβαίους ὅτι ὑπὲρ αὐτῶν ἀποθνήσκειν ἠρήσαντο, τούτων τῶν παρ' ἡμῖν μείζων οὐ γεγένηται παρ' αὐτοῖς, ἀλλ' ἀρχηγὸς, φησὶ, τούτων ἐγένετο ἡ πόλις, ὥστε κατὰ μίμησιν ἐκεῖνοι ἐπέδωκαν ἑαυτούς· οὐ πρὸς τὸ ξένον δὲ ἀπήντησεν, ἀλλὰ προσέταξε πρῶτον τοὺς πολίτας, ὕστερον δὲ λέγει περὶ τῶν ξένων, ἔνθα λέγει τὸν Κόδρον· ἐπαινεῖ δὲ πάλιν τὸ ἀνδρεῖον.* ib.

Οὐδὲ παθ' ἓν] *Βούλεται δεῖξαι καὶ τὴν πόλιν τῆς προθυμίας αὐτοὺς ἀμειψαμένην· οὐ γὰρ μόνον τῶν πολεμίων* ib.

Digitized by Google

ἐκράτει, ἀλλ' οὐδὲ τῶν εὖ ποιησάντων ἡττήθη· οὐκ ἐφάνη, φησὶν, ἀγνώμων (Cod. ἀγώμων) ἡ πόλις πρὸς αὐτοὺς ἀλλὰ χάριτας ἀποδέδωκεν.

106, A. Κοδρῳ μὲν] Vid. ed , Leid. δωρέαν. — Cant. post Ἰώνων insertum vult ἀποικίας, ut est in bomb.

ib. Πάρεδρον] Ἀντὶ τοῦ ἱερέα· θεικῶς δὲ εἶπε πάρεδρον οἱονεὶ συγκαθήμενον.

ib. Καὶ ταῦτα μὲν] Τὸν λόγον τὸν περὶ τῶν πράξεων διεῖλεν ἔς τε τοὺς ἀγῶνας τοὺς ὑπὲρ τῶν καταπεφευγότων (Cod. καταπεφευγόντων) εἰς αὐτὴν, καὶ εἰς τοὺς ὑπὲρ αὐτῆς· ἔνθα καὶ μέμνηται τῶν ἰδίᾳ προθυμηθέντων ὑπὲρ αὐτῆς ἀποθανεῖν, πολιτῶν τε καὶ ξένων· πάλιν δὲ τῶν Ἀθηναίων πόλεμον διαιρεῖ εἴς τε τὰς μετὰ τῶν ἄλλων Ἑλλήνων πράξεις καὶ εἰς ἃ αὐτοὶ μόνοι ἐπεδείξαντο· ἐπιλογίζεται δὲ ἐνταῦθα, εἶτα εὐθὺς προοιμιάζεται (Cod. παροιμ.) περὶ τῶν νέων πολέμων.

106, B. Καὶ ἑαυτῶν] Ἵνα μὴ ἁπλῶς δείξῃ εὐτελεῖς τοὺς ἐπιδόντας ἑαυτοὺς, εἶπε τὸ ἐπιφανῶν τουτέστι δυνατῶν.

106, C. Καὶ μὴ πολὺ] Ἀντὶ τοῦ μὴ τὰ πρῶτα ὕστερον λέγειν καὶ τὰ ὕστερα πρῶτον διηγεῖσθαι.

ib. Ἔξεστι] Ἵνα μὴ μηκύνῃ τὸν λόγον, ἐν τῇ τῶν ἀκροατῶν (sic Geelius pro ἀκρατῶν) κρίσει καταλιμπάνει τὸ πρᾶγμα· ὅτε, φησὶ, λέγω τὰ Περσικὰ, ὑπονοεῖτε εἶναι κοινὸν, ὅταν παρὰ (Geelius mavult δὲ περὶ) Θηβαίων ἢ ἄλλων, μερικόν.

ib. Εἰ μὲν οὖν περὶ] Τεχνικὸν τὸ προοιμιάζεσθαι, μὴ μόνον κεφαλαίων ὀρχομένων τεχνικῶς, ἀλλὰ καὶ πράξεων, ὅπερ κἀνταῦθα ὁ ῥήτωρ πεποίηκεν· αὔξησιν γάρ τινα καὶ μέγεθος βούλεται παραδεῖναι (f. περιθεῖναι) τοῖς πράγμασιν. μέλλων γὰρ ἅπτεσθαι τῶν Περσικῶν παραιτεῖται συγγνώμην αὐτῶν, εἰ μὴ περὶ τῶν ἀρχαιοτέρων δύναται μνησθῆναι· πρὸ μέντοι τῶν ἐν Μαραθῶνι μίαν διέξεισι πρᾶξιν, τὴν περὶ τῶν τριῶν ἐθνῶν, περὶ ὧν ἐξῆς φησι.

ib. Ἃς νῦν δηήσει] Τὸ σχῆμα ἐγκωμιαστικόν· σοφίζεται δὲ, οὐδὲ γὰρ παραλιμπάνει, ἀλλὰ ὑποκρίνεται, βουλόμενος δεῖξαι τὸ πλῆθος τῶν ἐγκωμίων.

Digitized by Google

Τυΐτης ἁπάντων] *Τί διαφέρει τοῦτο τῶν ἄνω;* (Cod. *τὸ διαφέρειν τοῦτο τῶν ἄνω· λέγω μὲν*) *λέγομεν, ὅτι ἐπειδὴ ἐν τῷ προειρημένῳ ἠνίξατο, ὡς καὶ ἄλλων ἐπαινεθείσων πόλεων σὺν αὐτῇ, ἐνταῦθα πλέον τῶν πασῶν αὐτὴν ἐπαινεθεῖσαν ἀποδεῖξαι προήρηται* (Cod. *προείρηται*). 207, A.

Ἀλλ' ἀνάγκη] *Οὐκ εἶπε τὰ μικρὰ, ἀλλὰ τὰ πλεῖστα, ὡς καὶ ὄντων αὐτῶν μεγάλων.* 207, B.

Τριῶν γὰρ ἐθνῶν] Vid. ed., Leid. *Κύκλων — ἀναγῶν — Κλησθένης.* ib.

Ἐπιθεμένων] Vid. ed., Leid. post *Λαβόντες τοίνυν τὸν χρησμὸν Λακ.* pergit ita: *ἔπεμψαν κατὰ τῶν Πεισιστρατιδῶν Ἀγχιμόλιον μετὰ στρατιᾶς, ὃς ἐτελεύτησεν ἐν τῷ πολέμῳ· ὀργισθέντες ἐπὶ τούτῳ Λακεδαιμόνιοι ἀπόστειλαν κατὰ τῶν, κ. τ. λ.*, quae omnia exciderunt propter duplex *Λακεδαιμόνιοι*, Leid. *κατεκαλέσατο.* — ib.

Τὸ μὲν αὐτῷ] Vid. ed. Leid. *καλεῖ.* ib.

Βοιωτοὶ δὲ] Vid. ed. 207, C.

Τῆς πόλεως] *Τῇ φιλοτιμίᾳ· οὐ γὰρ τῇ φιλοτιμίᾳ τῶν χρημάτων τῶν τὰ μεγάλα λέγειν ἀντὶ μικρῶν* (sic). ib.

Ὅτε γὰρ τοῖς Ἕλλησι] *Ἐν τῷ θέλει ἄρχεται* (noli *ἐν τῷ θέλει ἄρχεται*, sed *ἐνταῦθα θέλει ἄρχεσθαι*) *τῶν Μηδικῶν· καὶ πρῶτον λέγει τὰ κατὰ Μαραθῶνα, ὅτι καὶ πρῶτα ἐπράχθη· ἐκρίνετο δὲ οἱονεὶ ἐδοκιμάζετο, διάκρισις γὰρ, ἣν τότε Ἑλληνικῆς καὶ βαρβαρικῆς φύσεως.* 207, D.

Πρὸς πολὺ] *Ὥσπερ πρὸς ἅπασαν τὴν Ἀσίαν μικρόν ἐστι μέρος τὸ τῆς Ἑλλάδος.* ib.

Καλλίον εὐχῆς] *Ἀντὶ τοῦ ὑπὲρ ὅσον εὔχεταί τινι κἂν* (εὔχεταί τις νικᾶν), *ἐδεέχθησαν νικήσαντες· ὡς ἂν εἰ ἔλεγε, παρῆλθον τὰς ἐλπίδας ταῖς πράξεσιν.* 208, A.

Τὸ δὲ πλέον] *Τὸ βαρβαρικόν· λέγει δὲ ὑπὲρ ὃ ἦν χεῖρον ἐφάνη τῇ κακίᾳ* (sic). ib.

Ἔξεστι μὲν οὖν] *Ὡς πρὸς τὴν ἐπιθυμίαν εἶπε τοῦ κρείττονος, ἀντὶ τοῦ συνηγωνίσατο αὐτῇ τῇ ἐπιθυμίᾳ· ὥσπερ, φησὶ, μαντευομένη τὸν παρόντα λόγον οὐκ ἐτόησε, δι' οὗ ἐγκωμιάζεται· τὸ δὲ αἰτιάσασθαι ἀντὶ τοῦ αἴτιον ὀνομάσαι· οὐ γὰρ λέγει μέμψασθαι.* ib.

Digitized by Google

208, B. *Καθάπερ τοὺς εἰωθότας*] *Οἷον τὰ Ὀλύμπια, τὰ Ἴσθμια, τὰ Νέμεα καὶ τὰ Πύθια καὶ τὰ κατὰ μέρος.*

ib. *Συνεβάλετο*] *Τῇ ἐπιθυμίᾳ τοῦ δαίμονος, οἷον τῆς μελλούσης νίκης τοῦ πολέμου· εὔλογον* (f. *νίκης· τοῦ πολέμου εὔλογον*) *ἔσχε πρόφασιν καὶ ἀξίαν τοῦ* (f. *τὸ*) *ὑπὲρ Ἰώνων παίδων ὄντων ἀγωνίσασθαι.*

ib. *Καὶ μετ' ἀξίου*] *Μετὰ καλλίστης προφάσεως εἶναι* (f. *καὶ*) *ἀξίας τῆς μελλούσης εὐτυχίας· συνεβάλετο οὐκ ἐλάχιστον μέρος ἡ πόλις· πρόφασιν δὲ λέγει τὸ ἀμύνασθαι· ὑπὲρ Ἰώνων.*

208, C. *Οὕτως ἐφειλκύσατο*] *Ἀντὶ τοῦ, οὐκ αὐτὴ τῶν πολέμων ἀρξαμένη καὶ τὴν αἰτίαν παρασχοῦσα, ἀλλ' ἀμυνομένη καὶ ὑπὲρ τῶν Ἰώνων ἐστρατεύσατο κατὰ τῆς Ἀσίας.*

ib. *Οἱ ὕστερον*] Vid. ed.

209, A. *Στρατιᾷ κοινῇ*] *Τότε γὰρ μετὰ τῶν Ἀθηναίων ἐστράτευσαν εἰς τὰς Σάρδεις· ἐπεὶ δὲ ὕβριν ἐποίει τοῖς Ἀθηναίοις τὸ Ἐρετριέως συνάψαι αὐτοῖς, παρενθήκην αὐτοὺς ἐκάλεσεν· εἶπε δὲ, ὅτι πορθήσαντες, μὴ νομισθῇ διὰ δουλείας ἐπέρχεσθαι, ἀλλὰ πολέμων.*

ib. *Τέως δὲ ἐν Βαβ.*] *Τέως λέγει ἀντὶ τοῦ ἕως τότε καὶ πρώην· λέγει δὲ Βαβυλῶνος τῆς Περσίδος· λέγεται γὰρ ἰσχυρότατα τείχη ἔχειν Βαβυλών.*

ib. *Καὶ τῶν ἐν Ἰνδοῖς*] *Λείπει τὸ θαυμάτων· ἴσως δὲ διὰ τοὺς ἐλέφαντας λέγει τοῦτο· ἵνα δὲ μὴ νομίσῃ τις, πόλιν εὐτελῆ τὰς Σάρδεις εἶναι, λέγει Σάρδεις ἐθαυμάζοντο.*

209, B. *Παρενθήκην γὰρ τοὺς Ἐρετριέας*] *Καὶ αὐτοὶ γὰρ μετὰ Ἀθηναίων ἐστράτευσαν ἐπὶ τὰς Σάρδεις.*

ib. *Δύο δ' ὡς ἀληθῶς*] *Ἀληθῶς τὸ τῆς ὀργῆς· λέγει δὲ μὴ εἶναι τοῦτο.*

209, C. *Ἀλλὰ καὶ πάσης*] *Ἀντὶ τοῦ μὴ μόνης τῆς Ἀσίας.*

ib. *Ἀνέλπιστον ἦν αὐτῷ*] *Τοῦτο εἶπεν, μὴ δόξῃ ἀδυνάτων ἐρᾶν.*

ib. *Καὶ ψιλῇ πορείᾳ*] *Οἷον διοδεῦσαι τὰς δεδουλωμένας αὐτῷ διὰ πολέμου καὶ στρατιᾶς.*

209, D. *Μέσην*] *Ἀμφοτέρων ἐγένετο καὶ τοῦ φόβου καὶ τῆς ἐπιθυμίας.*

Digitized by Google

Καὶ τοῦ μετ' ἐκεῖνον] Ὑπ' ἐκείνου μέν, τοῦ Δαρείου· μετ' ἐκεῖνον (sic) δὲ, Ξέρξου. 210, A.

Περὶ τῆς γῆς] Ἤτοι βουλόμενος γῆν καὶ θάλατταν αὐτῷ ἀποδοθῆναι. ib.

Ἐν τε ταῖς ἐπιστολαῖς] Τὰς πρὸς τοὺς Ἕλληνας λέγει γραφείσας, ἐν αἷς ἔλεγεν, ἔκδοτέ μοι τοὺς Ἀθηναίους. 210, B.

Τοῖς ὑπάρχοις] Διὰ τὸ ψήφισμα τῆς ἀναιρέσεως τῶν κηρύκων· ὑπάρχοις δὲ λέγει τοῖς σατράπαις, ὑπάρχοις δὲ τῷ Ἑλληνικῷ ὀνόματι. ib.

Καὶ μὴν ὕσα] Τούτοις τοῖς Ἕλλησι, τοῖς κήρυξι ἢ τοῖς πράγμασιν, καὶ τοῖς διὰ τῶν κηρύκων ἐπιτάγμασι. ib.

Ταῖς ὑποκρίσεσι] Αὐτὸς πρωϊῶν λέγει τὴν ἀπόκρισιν, ὅτι τὴν ἀναίρεσιν ἀπόκρισιν δηλοῖ τῶν ἀγγέλων. 210, D.

Ὅτι Ἀθηναίων καὶ Περσῶν] Τῶν πραγμάτων λέγει, τοῦ τε τὸν βάρβαρον ἀπειλεῖν καὶ τοῦ τοὺς Ἀθηναίους ἀντιτετάχθαι. ib.

Ἔργα λόγων] Λόγους λέγει τὸ ψήφισμα τῶν Ἀθηναίων περὶ τῶν ἀγγέλων, ἔργα δὲ αὐτῶν τὴν ἀναίρεσιν αὐτῶν· μᾶλλον δὲ οὕτως· ἔργα λέγει τὰ ἐν τοῖς ἄλλοις χρόνοις γινόμενα τοῖς Ἕλλησι ἡττῆσθαι τῶν τότε λόγων τῶν Ἀθηναίων. 211, A.

Τῷ Διαφθεῖραι τοὺς ἀγγ.] Ἐμβαλόντες γὰρ αὐτοὺς εἰς φρέατα κατέχωσαν, ἀμφότερα αὐτοῖς παρέχοντες, καὶ ὕδωρ καὶ γῆν. ib.

Διὰ χειροτονίαν] Διάσκεψιν, ἵνα μὴ ἄκριτος ἀποθάνῃ. 211, B.

Καὶ τὸ ἰσχυρὸν] Ἀντὶ τοῦ ἓν καὶ τὸ ἐναντίον αὐτῷ περιέστη (sic Geelius pro περίεστιν). ib.

Ἑρμηνέα] Vid. ed. ad Τῷ δ' ἑρμηνεύσαντι. 211, C.

Οὗ τὸ διαλλάττον] Οἱ μὲν γὰρ τριάκοντα μυριάδας εἶπον (Cod. εἶδον) αὐτούς· διὸ Ἀριστείδης φησὶν ἐν ἑτέρῳ λόγῳ ἔπειτα φίωαὐτοῦ (f. αὐτῶν vel αὐτοὺς) πεντήκοντα μυριάδας εἶναι· λέγει γὰρ αὐτὸς, οἱ μὲν ἐλάττους ὄντες σύμπαντες ἐναντία ϟτ μυριάδας ἐτάξαντο ἐν Μαραθῶνι, τοσοῦτοι γὰρ ἦσαν πρῶτος στόλος, ὃν κατέπεμψε Δαρεῖος· διαλάττον λέγει κ. τ. λ. vid. add. Pariss., Leid. ἀφηγουμένοις — μ̄ pro μᾶ — οἱ δὲ μ̄στ τότε οὖν, φησί, 212, A.

Digitized by Google

τὸ διαλλαττόμενον καὶ (f. στ.) μυριάδες ἐποίουν μέγιστον ὕρον στόλου, ἀντὶ μέτρον (Cod. μέτρου) στρατεύματος ἑκατόν.

212. B. Ὡς δὴ προειρήκειν] Τὰς Περσικὰς ἀπειλὰς μιμεῖται· ἀδύνατον γὰρ θνητὸν καταπονῆσαι τὰς Ἀθήνας.

212, C. Ὑπερηχοῦντες] Ἀντὶ τοῦ πλέον ἠχοῦντες τοῦ Αἰγαίου πελάγους.

ib. Ἀποστεροῦντες] Τῷ φόβῳ δηλονότι, ὡς μηδένα τολμᾶν ἰδεῖν τὴν ἔφοδον αὐτῶν τῷ τάχει, ὡς μὴ συγχωροῦντες (sic) ἰδεῖν, ὡς καὶ Ὅμηρος· παρήϊξαν δέ με ἵπποι.

212, D. Ὥσπερ τι] Προοίμιον καλεῖ τὴν Ἐρετρίαν, πόλεμον δὲ τὸν τῶν Ἀθηναίων, καὶ δόξαν ἀντὶ τοῦ δόξαντος· ἔστι δὲ Ἀττικόν.

213, A. Σαγήνην] Τὰς χεῖρας αὐτῶν συνδεσμεύοντες καὶ μηκυνδῶς περιλαβόντες, ὅπως μηδεὶς φύγῃ· ἰστέον δέ, ὡς τὸ σαγηνεῦσαι κυρίως εἴρηκε καὶ οὐ μεταφορικῶς.

213, B. Τῷ λόγῳ] Τῷ λέγοντι δηλονότι τῇ παροιμίᾳ· ἔστι δὲ ἡ παροιμία ἐπὶ τῶν Ἀθηναίων (V. D. Geelius marult ἀσθενῶς, vid. add. Pariss.) ὅτι τὰ φεύγοντα διώκουσιν.

ib. Ἐκ τοῦ πελάγους] Τινὲς ἱστορικῶς τοῦτο ἐξηγοῦνται κ. τ. λ. vid. add. Pariss., Leid. κήτους — κατὰ Τροίας — ἐκπεσεῖν — Πειραῖα, ἢ ἄλλως σημαίνει κατακλυσμὸν ἢ σεισμὸν ἢ θύελλαν ἢ λοιμὸν καθ' ὃν (f. καθὸ) ἡ τώσος ἡ τῶν Ἀθηναίων πρῶτον ἥψατο τοῦ Πειραιοῦς.

213, C. Τὸ μέλλον] Ἀντὶ τοῦ τὴν ἀπάλειαν μόνην λογιζόμενοι· τὸ δὲ ἐκάθηντο κατὰ ἀποκοπήν ἐστι· παροξυτόνως δὲ ἀναγνωστέον.

ib. Ἡ δὲ πόλις] Ἔθος κ. τ. λ. Vid. add. Pariss., in Leid. Demosthenis testimonium desideratur.

213, D. Κεκοσμημένη (ed. κοσμουμένη)] Ἀντὶ τοῦ καλλωπιζομένη· ὡς ἐπὶ πομπῆς δὲ εἶπε τὴν λέξιν.

ib. Ἱερά τε γὰρ] Vid. add. Pariss., Leid. ἐφόδοις. —

ib. Διεπρεσβεύετο] Πάλιν ὡς ἐπὶ πομπῆς τοῦτο εἶπεν, ὥσπερ ὁπλίτας, φησὶ, τούτους ὁπλίζουσι· λέγει δὲ Κήρυκας καὶ Εὐμολπίδας· τὰς δὲ εὐχὰς πρεσβείαν ἐκάλεσεν, ὡς πρὸς ὁμοίους.

Digitized by Google

Ἥσκητο] Ἀντὶ τοῦ, ὅτε ἐθεραπεύετο (l. ἐτεθ.) καὶ τετίμητο. 214, A.

Τοὺς ἐν τοῖς] Τοὺς μεγάλους λέγει ἀγῶνας, ἐν οἷς ἐδίδοντο στέφανοι· τὸ δὲ ἀπέκρυψαν ἀντὶ τοῦ ὑπερεβάλοντο. ib.

Ἔπειτα κρείττους] Τοῦτο εἶπεν κ. τ. λ. Vid. ed. 214, B.

Καὶ τῶν ἄλλων ἐφ.] Vid. ed. ib.

Χρείας] Vid. ed. 214, C.

Ὑπερβάλλοντες (ed. ὑπερβαλόντες)] Vid. ed. ib.

Ὑπερηφανία] Vid. ed. cum add. Pariss. ib.

Ἀκοντὶ] Εἰκότως ὡς πρὸς τοὺς Ἀθηναίους ἐπήγεγκε τὸ ἀκοντί. 214, D.

Δημοτελὴς] Ἀντὶ τοῦ κοινῇ ὑπὸ δήμου τελεσθεῖσα, ἀπὸ μεταφορᾶς τοῦ παντὸς πλήθους· ὥσπερ γὰρ ὁ πᾶς δῆμος ἅπας ἐν πανηγύρει συνάγεται, οὕτω συνάπαντες ἄνθρωποι· εἰ δὲ καὶ ἐπὶ τῆς Τρωϊκῆς κρίσις ἐγένετο, ἀλλὰ (f. ἀλλ' οὐ) πάντων ἀνθρώπων· πρώτη δὲ εἶπεν, ἐπειδὴ καὶ ἐν Σαλαμῖνι δημοτελὴς κρίσις ἐγένετο. 214, A.

Οὐ γὰρ εἰς φόβον] Ὡς τοῦ μὲν πλήθους τοῦ βαρβαρισμοῦ (f. βαρβαρικοῦ) φύβον ἀπειλοῦντας, τῶν δὲ Ἀθηναίων εἰς προθυμίαν μεταβαλόντων τὴν θέαν. ib.

Τὴν ἀήθειαν] Εἶπε τὸ ξένον, ἅπερ ἄνω ἐκάλεσε φάσματα. 215, B.

Ὥσπερ χρήμασιν (Cod. χρῆμα)] Ἀπολαύσει χρημάτων παραβάλλει τῶν βαρβάρων τὸν φόνον. 215, C.

Καὶ νῆες] Νῆες εἶπεν, αἷς προσορμοῦσι τῶν βαρβάρων (sic) τῷ Μαραθῶνι· στρεπτοὶ (Cod. στρεπτὸν) δὲ τὰ ματιάκια. ib.

Τῆς τύχης] Τὸ Δημοσθενικὸν, φύσει δὲ ὑπάρχει τὰ (Cod. τὴν) τῶν ἀπόντων. ib.

Ταῦτα καὶ] Δέκα ἦσαν οἱ στρατηγοὶ, καθ' ἑκάστην δὲ ἡμέραν ἀλλήλους διεδέχοντο καὶ ὁ ἄρχων κύριος (Cod. κύριον) ἐγένετο τοῦ τὴν ἡμέραν στρατεύσαντος (f. στρατεῦσαι)· κατ' ἐκείνην οὖν τὴν ἡμέραν, ὅτε οἱ Πέρσαι ἐπέβησαν τῷ Μαραθῶνι, Μιλτιάδης ἦν ὁ κύριος. 215, D.

Παιᾶνος (ed. παιῶνος)] Παιὼν ἐστὶν ἆσμα πολεμικόν· φίλου δὲ λέγει, οὐ πᾶσιν ἀνθρώποις, ἀλλὰ μόνοις Ἀθη- ib.

Digitized by Google

ταίοις (Cod. ἐν Θηβαίοις, vid. supra pag. 36.). τοιτέστι τοῦ συνήθους.

216, A. Καὶ τοῖς βαρβάροις] Ἔπασχον, φησὶ, οὐκ εἰδότες οἱ βάρβαροι, τὴν ὀξύτητα δηλῶν τῶν Ἀθηναίων· καὶ Ὅμηρος· Τυδείδην δ' οὐκ ἂν γνοίης . . . .

ib. Τάξεις ἐρρώγεσαν (Cod. ἐρρώγησαν)] Vid. ed.

ib. Καὶ ἄνδρες] Δοκεῖ κουφὸν εἶναι τὸ λεγόμενον, πέλαγος γὰρ αἵματος ὑποτίθεται· ἀλλ' ὅτε, φησὶν (An scholiorum, unde haec excerpta sunt, auctor?), ἔνδοξον τὸ πρόσωπον τὸ ἐγκωμιαζόμενον, εἴτε βασιλεὺς, εἴτε πόλις ἐπίσημος, ἔξεστι χρῆσθαι τῇ ὑπερβολῇ.

ib. Καὶ νῆες εἵλκοντο] Vid. ed., Leid. ἐπιβαλών.

ib. Καὶ χορεία Πανός] Vid. ed.

ib. Ἤδη δέ τις] Εἰς Καλλίμαχον ἀποτείνεται· οὗτος γὰρ ὑπὸ τοῦ πλήθους τῶν βαρβαρικῶν τόξων στηριχθεὶς ἐπὶ τῆς γῆς εἱστήκει πεσεῖν μὴ δυνάμενος· εἰπὼν δὲ ὥσπερ ἀθάνατος τὸ ἄτοπον τοῦ λόγου τῇ προσθήκῃ ἐκόλασε.

216, B. Καὶ τρόπαια] Βαρβαρικῷ φρονήματι Πέρσαι κ. τ. λ. vid. add. Pariss., Leid. διὸ ἐπὶ —

ib. Πλείους αὐτοῖς] Ἀντὶ τοῦ ἐκ τῶν πεπτωκότων ἔγνωσαν Ἀθηναῖοι τῶν βαρβάρων τὸ πλῆθος· δεικνὺς, ὅτι ζῶντας αὐτοὺς ὀλίγους ἐνόμιζον.

ib. Ὅλος] Vid. add. Pariss., Leid. χωρίζον pro χωρίον — τῆς μάχης τὸν Μαραθῶνα.

216, C. Οὐδὲ διέξοδος] Ἀντὶ ὑπὸ τῶν κακῶν καὶ τοῦ πλήθους τῶν νεκρῶν οὐκ ἦν τοῖς βαρβάροις διαφυγεῖν (Cod. διαφύγειν)· διὸ ἐπήγαγε μέγιστον ἐναντίωμα αὐτοῖς ὑπῆρχεν.

ib. Ὄχλος] Ὄχλον καλοῦσιν οἱ ῥήτορες τὸ ματαιὸν πλῆθος· καὶ ὁ ῥήτωρ, ὡς ὁ μὲν δῆμός ἐστιν ὁ ὄχλος.

ib. Ἢ ὅσοις ἄν τις — ἀνιστῆναι] Ἥττους ἐγένοντο, εἰς τὸ κατὰ πόδας τῆς συντάξεως· ὁ δὲ νοῦς· ἀπώλοντο, φησὶ, πλείους στρατιᾶς οὐ μόνον ἐξαρκούσης εἰς πόλεμον, ἀλλὰ καὶ δειλίαν τοῖς ἀντισταμένοις ἐμποιούσης (Cod. ἐκπ.) τοσοῦτῳ πλήθει· ἥττους οἱ ὑπολειφθέντες τῶν Περσῶν ἐγένοντο· ὑσαφὲς δὲ τὸ χωρίον, ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· τὸ πλεῖον τοῦ στρατοπεδεύματος ἀπώλοντο, ᾧ καὶ μόνῳ τῷ

Digitized by Google

ἀπολομένῳ χαλεπὸν ἦν ζῶντι πολεμεῖν· τὸ πλῆθος δὲ τῶν πεπτωκότων δεῖξαι βουλόμενος τοῦτο εἶπεν.

Ἥρκουν ἐν νοτίῳ] Vid. ed., Leid. item ἱλατώδει. ib.

Τῆς νίκης] *Ἀντὶ τοῦ τὸ μέγεθος τῆς νίκης· καινοπρεπῶς δὲ εἶπεν οὐκ ἀνίσταται* (vide supra), *ἢ ὑπὸ τῆς ἡδονῆς ἢ ὅτι εἰς ἀνδρείαν κινεῖται.* 216, D.

Τῶν κατὰ τὴν] *Ἐπειδὴ πρώτη ἐκινδύνευσεν Ἐρετρία,* 217, A. *διὰ τοῦτο εἶπε τὸ κατὰ τὴν ἤπειρον, νῆσος γὰρ ἡ Ἐρετρία.* (Cod. bis *Ἐρέτρια*).

Καὶ τοῦτο] *Φησὶ πρῶτον τὴν διάδοσιν σίτου, εἶτα* 217, C. *τὴν ὑποδοχὴν τῶν φευγόντων, εἶτα τὴν ἀποικίαν.*

Τοῖς πρὸ τοῦ (vulg. *προτοῦ*)] *Τοῖς ῥηθεῖσι περὶ τοῦ* ib. *σίτου καὶ τῶν ἄλλων.*

Συγκληρωθῆναι] *Τουτέστι κατὰ κληρονομίαν καὶ εἱ-* 217, D. *μαρμένην· ἐκεῖθεν γὰρ εἶπε τὴν λέξιν, ἀντὶ τοῦ εἵμαρτο ἄρα δὲ* (f. *εἵμαρτο· ἆρα δι'*) *εἱμαρμένης τινὸς ὁ πόλεμος ὁ κατὰ Μαραθῶνα γενόμενος· τῇ τύχῃ οὖν κατὰ γένεσιν καὶ εἱμαρμένην.*

Εἰ καὶ νεανικώτερον] *Ἀντὶ τοῦ μειρακιῶδες ἢ τυλμη-* ib. *ρότερον, ἐπειδὴ δοκεῖ τοὔνομα τῆς μητροπόλεως κουφότερον εἶναι· ἀφορμὴ δὲ οἷον ἀρχὴ καὶ πρόφασις.*

Ἀντὶ κρηπῖδος] Vid. ed., Leid. *Περσίδι* pro *πατρίδι.* 218, A.

Οὕτω διήνεγκεν] Vid. ed., Leid. *ἤνεσε*, addit autem: ib. *τὸ δὲ ἅπαντ' ἂν ἔῤῥει ἀντὶ τοῦ ἐφθείροιτο.*

Ὅσας μυριάδας] *Ἀποδείκνυσιν, ὅτι οὐ μόνον τοὺς βαρ-* 218, B. *βάρους νενικήκασιν, ἀλλὰ πάντας ἀνθρώπους, συλλογιστικῶς.*

Παραιτησάμενον] *Τοῦτο δε ἐπήγαγεν διὰ τοῦ εἰπεῖν* ib. *πάντας ἐνίκησε.*

Τοῖς ὑπάρχουσι] *Τοῖς οὖσιν αὐτοῖς πλεονεκτήμασι· λε-* 218, C. *γίζεται δὲ, δι' ὧν κατασκευάζει, ὅτι πάντων κρείττους εἰσί.*

Οἶμαι μὲν οὖν] Vid. ed., add. Leid. *ὅπερ καὶ οὗτος* ib. *ἐνταῦθα ποιεῖται, τὴν ἀνακεφαλαίωσιν· ἐν τῷ ἑξῆς δὲ σελιδίῳ ἐστὶν ἡ ἀπόδοσις πρὸς τὸ οὐ μὴν ἐῶσιν αἱ πράξεις* (219, B), *ἵνα ᾖ οὕτως· οἶμαι μὲν οὖν, εἰ καὶ μόνα ταῦτα εἶπον, ἔχειν ἂν πέρας τὸν λόγον, οὐ μὴν ἐῶσιν ἀπελθεῖν αἱ πράξεις.*

Digitized by Google

218, D. Ἰνεῖσαν] Ἀναδοῦσαν, σημαίνει τοὺς Ἀθηναίους αὐτόχθονας.

219, A. Ἀλλὰ καὶ πάντας] Καὶ τὴν ὑποδοχὴν σημαίνει τῶν εἰς αὐτὴν καταφευγόντων.

ib. Πρώτην τε] Εἰ γὰρ ὁ μὴ ἔχων, φησὶ, τὰ ἴσα ἐλάττων ἐστὶ τοῦ ἔχοντος, πάντως ἄρα νενικήκασι, τῷ ἔχειν (Cod. τῷ ἔχον) τὰ πλείονα.

ib. Τῶν ἐν τῇ ὑπ.] Vid. ed. ex Cod. Schell., Leid. post Ἰώνων addit λέγει.

ib. Τῆς ἀρχαίας Ἑλλ.] Vid. ed ex Cod. Schell., add. Leid. λέγει δὲ τὸν ἐν Μαραθῶνι πόλεμον· τὸ δὲ οὐ διὰ παντὸς πῶς φησὶ; οὐ διὰ τοῦ ὕλου εἶπόι τις εὐεργετήματος τὴν πόλιν ἐλθεῖν τοῖς Ἕλλησιν.

219, B Τὸ γιγνόμενον] Τουτέστι τὸ ὀφειλόμενον τέλος πεπληρωκέναι (f. πεπληρωκὼς) δηλονότι τέλος τοῦ δρόμου, ὡς ἐπὶ ἀγῶνα (leg. ἀγῶνος) δὲ εἶπε τὴν λέξιν, ἐπειδὴ καὶ δρομέων ἐμνημόνευσε.

ib. Ἑτέρους] Τὸ ἑτέρους εἰς Λακεδαιμονίους αἰνίττεται.

ib. Οὐ μὴν ἐῶσί γε] Vid. add. Pariss.

219, C. Ἐξήτασται] Ἢ ἑαυτῷ λέγει ἐξήτασται, ἐπεὶ δοκεῖ φιλοτιμότερον εἰρηκέναι τὸν Δαρείου πόλεμον, ἢ τῇ πόλει ἐξήτασται.

ib. Τοῖς ἐφεξῆς] Τὰ εἰρημένα ἐδήλωσεν· ἐφεξῆς γὰρ τοῦ Μαραθῶνος τὰ κατὰ Ξέρξην συμβέβηκε· τοῖς ἐφεξῆς οὖν λέγει τοῖς κατὰ Ξέρξην.

ib. Ὅσον περ] Μύνη γὰρ αὕτη τὰ κατὰ Μαραθῶνα ἔπραξε.

219, D Τολμήματος] Ἀστείως εἶπεν· οὐ γὰρ εἶπεν κατορθώματος, ὅτι ὀλίγοι πρὸς πολλοὺς ἀντετάξαντο.

ib. Ὥσπερ κονιορτοῦ] Ἢ διὰ τὸ ἐλαφρὸν ἢ διὰ τὸ ἀηδές.

220, A. Ὑποπεπτώκει] Τεταπείνωτο πρὸς τὴν πόλιν· αἰτίους δὲ εἶπε διὰ τὸν Ἱππίαν (sic Cant., Cod. τὴν αἰτίαν)· οὗτος γὰρ ἐκπεσὼν ἐκ τῶν (Cod. τοῦ) Ἀθηνῶν ὡς τύραννος ἔπεισε τὸν Πέρσην κατ' Ἀθηναίων στρατεύσασθαι καὶ τοὺς Ἀλευάδας, καὶ αὐτοὶ γὰρ ἐκπεσόντες τῆς Θετταλικῆς τυραννίδος ἔπεισαν αὐτόν· σαφέστερον δὲ τοῦτο λέγει ἐν τῷ Μιλτιάδῃ.

Digitized by Google

Καταλιπὼν] *Οὐδὲν κατέλειψεν ἄτοπον νομισθῆναι παράδοξον τῷ πάντα δεικνύειν* (f. *νομισθῆναι· παράδοξον τὸ π.*) ib.

Ξέρξης] *Ἐμφατικῶς τὸ ἀπὸ* (del.) *τοῦ πατρός· ἀτοπότερος* (Cod. *ἀτοπότερον*) *ὁ νικήσας τῇ πονηρίᾳ τὸν φύσαντα.* 220, B.

Τῇ περιβολῇ (vulg. *ὑπερβολῇ*)] *Τῇ προσθήκῃ καὶ τῇ δυνάμει.* 220, C.

Ὡσπερεὶ. παιδιὰν] *Τὴν τοῦ πατρὸς· ἦλθε γὰρ, φησὶ, χιλίας ἔχων τριήρεις, ὅπερ Ξέρξης εὐτελὲς ἡγήσατο* (Cod. *ἠτήσατο*)· *ἀπὸ κοινοῦ δὲ τὸ ἀμιλλήσασθαι· τὰ δὲ ἐξ οὐρανοῦ δεινὰ καλοῦσι διοσημείας, οἷον βροντὰς καὶ κεραυνοὺς, ἃ δὲ καὶ οὐράνια βέλη καλεῖ.* ib.

Ὅτι αὐτοῦ] Vid. ed. ib.

Λήθεις ἀστέρας] Vid. ed. ib.

Ἑστῶσι] *Ἀντὶ τοῦ θαῤῥοῦσιν, ὅ ἐστι* (f. ins. *οὐ*) *κάμπτεσθαι ὑπὸ τοῦ φόβου, ἀπὸ μεταφορᾶς τῶν ἀλόγων ζώων, ἅπερ ὅτε θορυβοῦνται τὰ ὦτα κλίνουσι συνεχῶς καὶ οὐκ ἐῶσιν ὀρθά.* 221, A.

Τῆς δ' ἀγνωμοσύνης] *Ἀγνωμοσύνης λέγει ἐνταῦθα τῆς ἀδικίας. ἀδικίαν γὰρ ὁ βάρβαρος ἐκάλει τὸ τολμῆσαι τὴν πόλιν ἐπὶ τοῦ Μαραθῶνος ἀντιπαρατάξασθαι· ἔστι γὰρ ἡ ἀγνωμοσύνη ἐν ἄλλοις χωρίοις ἀχαριστία.* 221, B.

Καὶ μετὰ τῶν] *Ὡς ἤδη πάσης τῆς ἄλλης γῆς δουλευούσης.* ib.

Μετὰ τῶν προπατόρων] *Ἀλαζονείαν ἐμφαίνει βαρβαρικὴν· τοὺς γὰρ θεοὺς ἐκάλει αὐτοὺς προπάτορας ὄντας.* ib.

Καὶ Ξέρξῃ] *Τὸ Ἀθηναίους γνωρίσαι δεσπότην τὸν Ξέρξην.* ib.

Ἱππόκροτον] *Στάδιον ἵππων κροτούμενον τοῖς τῶν ἵππων ποσί· δηλοῖ δὲ διὰ τούτου ἐρημῶσαι αὐτὴν, ὡς εἶναι πρὸς ἱπποδρομίαν ἐπιτηδείαν.* 221, C.

Καὶ θήκας] *Βαρβαρικὺν τὸ φρόνημα, ὅτι καὶ θεοῖς καὶ νεκροῖς ἠπείλει* (sic em. Geelius V. D., Cod. *ἔπειλε*). ib.

Ἱερά τε] Vid. ed., Leid. *εἰς τὸ αὐτὸ*, quasi alterum scholion excidisset. Geelius amplius de iis pronuntiandum statuit. ib.

Digitized by Google

ib. Ἀτλαντικοῦ] Τὴν μεταβολὴν σημαίνει τῶν στοιχείων· περὶ δὲ τὸν ὠκεανὸν εἶναί λέγεται τοῦτο τὸ πέλαγος· ἠπείλει οὖν καὶ τοῦτο γεωργῆσαι τὸ πέλαγος, δηλονότι ἀπαντλοῦντας, πέτρας δὲ ὀρύττοντας. Κληρουχίας δὲ καλεῖ (sic Geel. pro κατὰ) τὰς γεωργίας, ὥσπερ ἔχομεν καὶ παρὰ Δημοσθένει, κληρούχους γὰρ γεωργούς.

ib. Κληρουχίας ἀτίμους] Ἀντὶ τοῦ δυστυχεῖς, οὐδὲ γάρ ἐστι γεωργία ἄτιμος· τοῦτο οὖν λέγει κληρουχίαν ἄτιμον· ἠκρωτηριασμένους λέγει προχοῦντας εἶναι, ἵν' ἡ σύνταξις οὕτως ᾖ, ἠπείλει γὰρ ποιήσειν αὐτοὺς προχοῦντας εἰς τὸ πέλαγος καὶ οὐχ εὑρίσκεται ἀντὶ μετοχῆς ῥῆμα κείμενον· τὸ προχοῦν ἐστιν ἀντὶ τοῦ προχοῦντας· ἐπ' εὐθείας γὰρ οὕτω προβαίνει, ἠπείλει κληρουχίας γῆς ἀτίμους ποιήσειν, ἣν (f. ἢν) γῆν προχοῦν ἀναγκάζειν εἰς τὸ πέλαγος ἠπείλει (Cod. ἀπ.) καὶ τὰ ἑξῆς.

222, A. Τοσαῦτ' ἔχοντας] Χεῖρας καὶ πόδας, δι' ὧν εἰργάζοντο.

ib. Καὶ οὐκ ἠπείλει (Cod. ἐπειδὴ) μὲν] Ὥσπερ ἀντιπίπτον λύει, ἵνα μή τις εἴπῃ (Cod. εἶποι), καὶ τί μέγα πεποίηκε (sic Geel. V. D., Cod. μεταπ.) μόνον ἀπειλῶν; ὁ δὲ λέγει, ὅτι τοῖς ἔργοις ἀπέκρυπτε τὰς ἀπειλάς.

ib. Χρήσασθαι] Πάντα, φησὶν, ἐποίει, πλὴν τοῦ τὴν πόλιν τιμωρήσασθαι· ῥαχία δὲ καλεῖται ὁ πετρώδης τόπος καὶ τοὺς τὴν ῥαχίαν οἰκοῦντας ἐπὶ τὸν πόλεμον ἤγαγεν.

222, B. Ἀπὸ τῆς ἔξω] Τουτέστι τῆς πλατείας, ἐξ ἧς οἱ κόλποι γίνονται. Φᾶσις δὲ ποταμὸς Σκυθίας· ἄνω δὲ περσικὸν λέγει τὴν καλουμένην Κασπίαν θάλατταν.

ib. Οὐχ Ὑρκανίαν] Τὸ (Cod. τὸν) μὲν πρῶτον σχῆμα κατ' ἀπόφασιν, τοῦτο δὲ κατὰ ἐρώτησιν.

222, C. Ἡ Δᾶτις] Τοῦτον τὸν Δᾶτιν ἔπεμψε Δαρεῖος ἀφ' ἑαυτοῦ στρατηγὸν, ὃς ἐπιβὰς Ἐρετρίας (Cod. Ἐρετρείας), ὡς καὶ ὄπισθεν εἶπεν, καὶ πᾶσαν καταστρεψάμενος τὸ λοιπὸν τῶν ἀνδρῶν εἰς Ἀσίαν ἔπεμψε· ἐσχατιαῖς δὲ τοῖς τελευταίοις τόποις.

ib. Οὐχ οἱ ποροθμοὶ] Ταὐτὸν πάθος ἔπασχον καὶ ποροθμοὶ καὶ ποταμοὶ ξηραινόμενοι, οἱ μὲν πινόμενοι (Cod. πιόμενοι) οἱ δὲ ξηραινόμενοι, ὡς πατούμενοι.

Digitized by Google

Διαφέρειν] *Ἴσμεν, ὅτι οἱ πορθμοὶ* (sic Geel. pro πολ- 222, D.
λοὶ, sensu id postulante) *στενοὶ ὄντες φοβεροί εἰσι τοῖς διαπλέουσι, τῶν πελαγῶν εἰς αὐτοὺς προσρηγνυμένων· οἱ δὲ ποταμοὶ εὐχερεῖς· βούλεται οὖν εἰπεῖν, ὅτι τῷ μὴ πίνειν μόνον διέφερον τῷ βασιλεῖ τῶν ποταμῶν· ἄλλοι δέ φασιν, ἐπειδὴ οἱ πορθμοὶ πολλοῦ ὕδατος οὐκ εὐπυροῦσι* (l. ἀπ.) *τοῦτο εἶπεν ἀντὶ τοῦ πάντα ἐνόμιζε τοὺς πορθμοὺς ἔχειν τῶν ποταμῶν ὅμοια, πλὴν τοῦ μὴ ἔχειν ἄφθονον ὕδωρ.*

Καὶ νῦν] *Ὅτι* (f. ὅτε) *διώρυξε τὸν Ἄθω· ἐγκωμιάζων* 223, B.
δὲ τὸν Πέρσην μεταβολὴν αὐτὸν στοιχείων λέγει πεποιηκέναι· λέγει δὲ, ὅτι νέα θάλαττα φαίνεται, ἀφ' οὗ διέβη ἕως νῦν.

Καμηλοι] *Ὥσπερ χιλίας διακοσίας εἶχε τριήρεις, οὕτω* ib.
καὶ τοσαύτας καμήλους.

Κατέλαμπον] *Οὐχ ἁπλῶς κατέλαμπον· βούλεται* 223, C.
γὰρ δεῖξαι αὐτὸν οὐ μόνον θάλατταν μεταβεβληκότα, ἀλλὰ νύκτα καὶ ἡμέραν.

Ὅσον μήκιστον] *Ὅσον, φησὶν* (Cod. φασὶν), *ἔστιν ἀνύ-* ib.
σαι (Cod. *ἀνῶσαι*) *τῷ βαδίζοντι· διὰ δὲ τούτου τὸ πλῆθος ἐμφαίνει τῶν καμήλων· οὐχ ἁπλῶς δὲ, ἀλλ' ὅτι χρείαν ἐπλήρουν· οὐ πρὸς τὰ δύο δὲ παραδείγματα ἡ αἰτία, πρὸς τὴν σκίαν καὶ τοὺς καμήλους, ἀλλὰ πρὸς τὴν μεταβολὴν καὶ τὴν κίνησιν.*

Δένδρον] Vid. ed. ib.

Πολλοῖς δ' ἦν] *Ἐπειδὴ εἶπεν, ὅτι πᾶσαν τὴν οἰκου-* ib.
μένην εἶχε στρατόπεδον, ἀναγκαίως τὸ πλῆθος ἐπόμενον ἠγνόει· ποῦ ἄρα ὁ προηγούμενος ἐτύγχανε τοῦ στρατεύματος.

Οὐδὲν δ' ἦν] *Τυχὸς ἡ ἑκατὸν σταδίων ἦν Θρακη* (f. 223, D.
Τεῖχος — vide infra — *ὃ ἑκατὸν σταδίων ἦν· Θρᾴκη*) *ἐκρύπτετο ὑπὸ τοῦ στρατεύματος καὶ οὐδὲν ἔθνος οὕτω μέγιστον ἦν καὶ ἐπὶ πολὺ ἐκτεταμένον, ὥστε δύνασθαι μὴ καλύπτεσθαι ὑπὸ τοῦ πλήθους· ἢ οὕτως, ἀντὶ τοῦ οὐχ οὕτω μέγα τὸ* (f. τι) *ἔθνος ἐτύγχανε, ὡς μὴ τῷ πλήθει τῷ ἑπομένῳ καλύπτεσθαι.*

Γενέσθαι] *Ὡς ἀδυνάτου ὄντος τοῦ ἀριθμῆσαι το-* 224, A.
σούτους.

Digitized by Google

ib. *Καὶ μέτρον*] *Ἐμέτρει μὲν διὰ τὸ πολλοὺς εἶναι, ἠρίθμει* (Cod. *ἀριθμεῖν*) *δὲ διὰ τὸ πολλὰς εἶναι τὰς μυριάδας· τίνι δὲ διαφέρει τὸ μέτρον τοῦ ἀριθμοῦ, αὐτὸς ἐν τοῖς προοιμίοις εἶπεν.*

221, B. *Καὶ πάντα*] *Οὐ μόνον, φησὶ, τὰ βάρβαρα, ἀλλὰ καὶ τὰ Ἑλληνικά· διὰ τί δὲ οὐκ εἶπε κατὰ Ἀσίαν; λέγομεν οὖν, ὅτι, ἐπειδὴ νῦν κατὰ τῆς Εὐρώπης ἐπῆει, ὅλως δὲ* (f. *δὴ*) *τῷ εἰπεῖν τὰ ἐπὶ γῆς παντα* (legerat igitur sch. *τὰ ἐπὶ γῆς πάντα*) *περιέλαβε καὶ τὴν Ἀσίαν.*

ib. *Ὥσπερ τὰ κοῦφα*] *Οἱονεὶ τὰ φύλλα ὑπὸ τοῦ ἀνέμου φερόμενα.*

ib. *Τῆς ὑπερηφανίας*] *Ἀντὶ τοῦ μεγέθους· οὐ γὰρ ἐπὶ ἀλαζονείας νῦν κεῖται.*

ib. *Ἢ θορύβου*] *Ὡς ἄνωθεν ἀπὸ οὐρανοῦ πνεύματός τινος κατιόντος.*

224, C. *Τοῖς περὶ τὰς ἐπ.*] *Ἐντεῦθεν ἄρχεται λέγειν τὰ πρὸ τοῦ πράγματος· εἰς τρία γὰρ διαιρεῖ καὶ λέγει τὰ πρὸ τοῦ πράγματος, τὰ ἐν τῷ πράγματι, τὰ μετὰ τὸ πρᾶγμα· ἡ δὲ λέξις ἡ τοῖς ἀκροβολισμοῖς εἴρηται ἀπὸ τοῦ πόρρωθεν βάλλειν κατάκρας ἀλλήλους βούλονται πολεμεῖν* (sic, forte *εἰ κατ. ἀλλήλοις*)· *λέγει οὖν ὅτι τοῖς ἀκροβολισμοῖς τοῖς διὰ τῶν ἐπιστολῶν, διάπειραν γὰρ ἐποίει διὰ τῶν ἐπιστολῶν ὁ βάρβαρος τῶν Ἀθηναίων· αὐτὸς δὲ εἰρηκὼς καὶ πείραις ἐξηγήσατο, τί ἐστὶν ἀκροβολισμός· ἀκροβολίζειν γάρ ἐστι τὸ ἀποπειρᾶσθαι, εἰ θέλουσιν οἱ ἐνάντιοι πολεμεῖν.*

225, A. *Αὐτῇ σκευῇ*] *Σκευὴν καλεῖ τὴν ποικίλην ἐσθῆτα· τοιαύτη γὰρ ἡ Περσική.*

ib. *Καὶ τοῖς εὖ φρ.*] *Εἰς Λακεδαιμονίους αἰνίττεται, καὶ αὐτοὶ γὰρ ἀπέκτειναν τοὺς ἐλθόντας παρ' αὐτοῦ ἀγγέλους.*

225, B. *Κερδαινοῦσιν*] *Οὐ τῷ* (sic Geel. V. D. pro *αὐτῷ*) *σώζεσθαι, ἀλλὰ τῷ* (sic G. pro *τοῦ*) *τελευταῖοι πεσεῖν· οὐδὲν μᾶλλον ὑφεῖτο, οὐχ ὑπεχώρησεν, οὐχ ὑπῆρξεν.*

225, C. *Οὐδὲ ἐμέμψατο*] *Ἀπόκρισιν λέγει τὴν σφαγὴν τῶν ἀγγέλων.*

ib. *Μόνη φανῆναι*] *Ἵνα μή τις εἴπῃ, ὅτι ἀσθενὴς οὖσα καὶ δεομένη τῆς συμμαχίας αὐτῶν συνήγαγεν αὐτούς.*

Digitized by Google

Τπῆρχεν ἀμφοῖν] Ἀμφοτέρων, τοῦτο (f. τῷ, quodsi sequeretur καὶ, mallem τοῦ τε) μὴ ἔχειν ἐν ἄλλοις ἐλπίζειν τοὺς Ἕλληνας· ἤλπιζον γὰρ, ὅτι ὡς πάντας ἐν Μαραθῶνι ἐνίκησαν Ἀθηναῖοι τοὺς Πέρσας, οὕτω καὶ ἐν Σαλαμῖνι μέλλουσι νικᾶν. 226, A.

Μετοικίζεται] Ἐπειδὴ οὐ μέγα ἦν τὸ μετοικίσασθαι, προσέθηκε τὸ γῆς μὲν οὐδαμοῦ· ἐνταῦθα δὲ ηὐτέλισεν, ἅπερ πρὸ ὀλίγου ηὔξησε· διὰ τοῦτο ηὐτέλισε, διὰ τὸ συγκρίνειν αὐτὰ ὡς παρὰ τῶν Ἀθηναίων γενόμενα. ib.

Τὸν Ἀλέξανδρον] Vid. ed., Leid. ἐκφερήθη. 226, C.

Πλήν γε δὴ] Ἀντὶ τοῦ ὅμως δέ· ἐπειδὴ δὲ τὸ μὴ εὑρεῖν φυγῆς ἐστι τεκμήριον, ἐθεράπευσεν αὐτὸς εἰπὼν, ὅτι καλῶς εὗρεν ἐπὶ τῆς Σαλαμῖνος. ib.

Ὥσπερ τινὸς] Ἀντὶ τοῦ ὥσπερ μυθευομένης Γοργόνος. 226, D.

Περὶ τῶν λοιπῶν] Ἀντὶ τοῦ περὶ τῆς βασιλείας. ib.

Ἀήθης] Τοῦ δεδιέναι τὸ Ἑλληνικόν. 227, A.

Φανεῖται] Ἀκόλουθα τῆς συντάξεως, φανεῖται πάντα κατεργασμένη καὶ ἐξῆς. 227, B.

Μὴ πρώτη] Τὸ πρῶτον ἔχει δεύτερον καὶ τὸ μάλιστα συγκριτικόν ἐστι, ὡς καὶ ἄλλου πολεμήσαντος· θέλει οὖν εἰπεῖν, ὅτι οὔτε μάλιστα τῆς ἐλευθερίας αἰτία γέγονεν, ἀλλὰ δῆλον ὅτι μόνη. ib.

Πρῶτον μὲν] Ἐντεῦθεν κατασκευάζει, πῶς μόνη τὸν πόλεμον κατειργάσατο λέγουσα, παρέσχε γὰρ τὸν καλῶς βουλευσάμενον, δηλῶν (l. δῆλον vel δηλονότι) Θεμιστοκλέα· τοῦτο γάρ ἐστιν ἐγκώμιον, ὅταν τὰ τοῦ ἑνὸς κατορθώματα πάσης εἶναί τις εἴπῃ (Cod. εἶποι) τῆς πόλεως. 227, C.

Καὶ ὡς ἀληθῶς] Ἴδιον γὰρ Ἑλλήνων τὸ φρόνιμον, βαρβάρων δὲ ἀνόητον. ib.

Τπερέχοντα] Τὰ γὰρ τῆς γῆς ἐπαναστήματα εἰώθαμεν (Cod. εἰώθημεν) τοῖς ποσὶν ὠθεῖν ἐπὶ τῷ ἐξισωθῆναι (Cod. ἐξισωθέναι) τὸ ὅλον. 227, D.

Κατ' αὐτοῦ (ed. κατ' αὐτὸ)] Ἀντὶ τοῦ κατὰ τοῦτο ψηφισαμένων· σοφῶν δὲ λέγει φρονίμων· ἴσως δὲ εἰς Πλάτωνα αἰνίττεται κ. τ. λ. vid. add. Pariss., in quibus quae 228, A.

Digitized by Google

quae post ὁ νῦν Πλάτων κ. τ. λ. adduntur, in Leid. desiderantur.

ib. Ἃ σώσειν, (ed. σώζειν)] Δεύτερον τοῦτο κατόρθωμα εὐβουλίας δείκνυσι, τὰ δὲ ἄλλα μάταια· τοῦτο δὲ ὁ Πλάτων εἰς ἀνανδρίαν τῆς πόλεως διέβαλε καὶ Θεμιστοκλέους; λέγων, ὅτι καταλιπὼν τὴν πόλιν εἰς τὴν θάλατταν αὐτοὺς; μετήγαγεν· ὃ νῦν Ἀριστείδης ἐγκώμιον αὐτῷ (l. αὐτῶν vel. αὖθις) Θεμιστοκλέους καὶ τῶν Ἀθηναίων.

228, B. Οὐδεὶς γὰρ] Οὐκ ἔστι τὸ αὐτὸ· σκαιὸς γὰρ ὁ πάντα ὑγνοῶν καὶ ὁ ἀμαθής· ἐναντία δὲ τοῖς οὖσι φρονῶν ὁ ἐπιστάμενος μέν, κακουργῶν δὲ περὶ τὴν ἀλήθειαν.

ib. Οἱ μὲν γὰρ εἰς Πύλας] Vid. ed.

229, A. Χειμάῤῥους] Vid. ed., Leid. Ἡ μὲν ἐν πᾶν τῶν.

229, C. Πρός γε τὸν] Ἀντὶ τοῦ σύγκρισιν τοῦ ἀριθμοῦ τοῦ ταυτικοῦ.

229, D. Ὥστ' εἴ τις] Καθ' ὑπόθεσιν· πανταχοῦ δὲ τὸ σχῆμα ἀγωνιστικὸν καὶ ἀποδεικτικόν· ἐκ θεοῦ δὲ τὴν ἐρώτησιν εἶπεν, ἵνα πιστώσηται τὸν λόγον.

ib. Μηδ' ἐξείη] Μετὰ δὲ (f. μήτε) δυνατὸν εἴη, ἵνα δείξῃ ἀναγκαίαν τὴν αἵρεσιν.

230, A. Εἰς τὸ κοινὸν] Ἦσαν γὰρ αἱ μὲν τῶν ἄλλων (rectius, quam ὅλων, quod — diversis item numeris — est in marg. Schell. ad Τῷ πλήθει τῶν τρ. p. 229, C.) Ἑλλήνων ἑκατόν, αἱ δὲ τῆς πόλεως διακόσιαι.

230, B. Ἀλλὰ μὴν] Πληρώσας τὴν εὐβουλίαν κ. τ. λ. vid. add. Pariss.

ib. Ὑπὲρ τοῦ μὴ] Ὅπερ ἐκ τῆς τύχης συνέβη, εἰς τὴν τῶν Ἀθηναίων ἀναφέρει προαίρεσιν.

230, C. Ἐξωκίσθησαν] Τὸ (f. τῷ) ἐκβληθῆναι καὶ φυγαδευθῆναι.

ib. Ταῦτ' εἰς ἀρετὴν] Ἀντὶ τοῦ ἐξέβαλον αὐτοὺς ἀπὸ τῆς πόλεως ὅπως νικήσωσιν.

230, D. Τὸ καθ' αὑτούς] Ζητήσειεν ἄν τις, διατί εἶπε τοὺς (l. τὸ) καθ' αὑτούς, δηλοῖ γὰρ, ὅσον ἦκεν, εἰς αὐτούς; τουτέστιν ἠθέλησαν μὲν (sic)· λεγόμεν, ὅτι καθ' ἑαυτούς; εἶπεν ἀντὶ τοῦ μόνοι, ἄνευ τῶν ἄλλων Ἑλλήνων.

Digitized by Google

Ἀλλ' ἀπέραντα] Vid. ed., adde, quod habet Lcid. ποτεῖ pro ποιεῖ, quod praefero. 231, A.

Ἐξετάζοιτι] Πάλιν τὰ δοκοῦντα ὑπαίτια (sic Geel., Cod. ὑπαι) τῶν Ἀθηναίων προσποίηται (leg. vel. προσποιεῖται vel προσπεποίηται) ἐγκώμιον. ib.

Ἀφορμὴν] Τοὺς Ἕλληνας λέγει πάντας· πάλιν δὲ ἐκ τοῦ ἀποβάντος κατεσκεύασεν, ἐπειδὴ τῇ νίκῃ τοῦτο ἐπισυμβέβηκε. 231, B.

Πρὸ τῶν κινδύνων] Πρὸ τῆς μάχης· οὕτω γὰρ ἤρξαντο τοῦ πολέμου. ib.

Οὕτως ἄλογος] Ἀντὶ τοῦ παράδοξος εἶπε, μᾶλλον δὲ εὔλογος, τὸ γὰρ ἄλογον καὶ ἐπὶ τῆς ἀνοίας (Cant. in marg. τοῦ ἀνοήτου, quam correctionem Geelius non necessariam existimat) λέγεται. ib.

Παρ' αὐτὸν] Ἀντὶ τοῦ ἐν αὐτῷ τῷ πολέμῳ. ib.

Βούλομαι δὲ] Ἐνταῦθα ὁ Ἀριστείδης βούλεται εἰπεῖν περὶ τῆς ἐπιεικείας καὶ σοφίας τῶν Ἀθηναίων, ὅτι τοσαῦτα παρασχόμενοι εἰς τὸν πόλεμον ὑπεῖκον τοῖς Λακεδαιμονίοις· βούλεται δὲ, ὡς καὶ αὐτός φησι, περὶ τῆς ἡγεμονίας εἰπεῖν, ἐπειδὴ καὶ τῇ τάξει πρὸ τῆς μάχης τοῦτο πρῶτον ἐτύγχανε· θαυμασίως δὲ ὁ Ἀριστείδης, ὅπερ (Cod. ὅσπερ) ἐδόκει τοῖς Ἀθηναίοις ἀσθενείας ὑπαίτιον, τὸ παραχωρῆσαι στρατηγίας Λακεδαιμονίοις, εἰς ἔπαινον μεταφέρει. ib.

Εἰς μέσον] Ἐπειδὴ, ὡς εἴπομεν, αἰσχύνην ἔφερεν ἡ παραχώρησις τῆς ἡγεμονίας, Λακεδαιμόνιοι γὰρ ἡγοῦντο κατ' ἐκεῖνον τὸν χρόνον· λέγει οὖν, ὅτι μεῖζόν ἐστι τοῦτο τὸ τῆς πόλεως ἐγκώμιον, εἴγε ἐκεῖνοι μὲν ἡγοῦντο, οὗτοι δὲ κατώρθουν. 232, A.

Τὰς Ἀθήνας] Ἐπειδὴ τότε ἐν τῇ θαλάττῃ ἦσαν. 232, B.

Τῇ δ' ἐπιεικείᾳ] Τῇ φιλανθρωπίᾳ, ὡς καὶ δι' αὐτὴν παραχωρήσαντες τῆς στρατηγίας.

Τοσαύτην] Προθυμίαν μὲν λέγει τὴν κατάλειψιν τῆς πόλεως, εἰσφορὰς δὲ τὰς τριήρεις. ib.

Ὁρμούντων] Τροπικῶς εἶπεν ὡς ἐπὶ λιμένος. 232, D.

Ἐξάρνων] Ὧδε τὸ ὑπέρβατον πρὸς τὸ εἰρημένον ἄνω τὸ γὰρ τοσαύτην προθυμίαν παρεχομένους. ib.

Digitized by Google

233, A. *Τὴν ἐπὶ σχήματος*] *Οὐκ εἶπεν ἔργων, ἀλλὰ σχήματος δηλῶν Ἀθηναίων τὸ μεγαλόψυχον.*

ib. *Οἱ νωθρότατοι* (sic Geelius pro *σίναθροι*)] *Οἱ δυσκίνητοι καὶ βραδεῖς καὶ ῥάθυμοι.*

ib. *Μήθ' ὕλως*] *Ἐπειδὴ εἶπε φωτὴν ἀφιέναι, ὅπερ ἦν βλάσφημον, ἐπήνεγκε τὸ τούτων ἕνεκα, ὅπερ ἦν τῆς ἡγεμονίας· ἐνταῦθα δὲ διὰ μακροῦ ἡ ἀπόδοσις.*

ib. *Οὐ πᾶσαν*] *Ἦν εἶπεν ἄνω ἐπιείκειαν καὶ πραότητα, ἐνταῦθα σοφίαν καλεῖ, ὁ ἐστι σύνεσις, καὶ ἑρμηνεύει λέγων οὕτως· εἰ ἦσαν, φησὶ, φιλονεικήσαντες, ἀπώλετο ἂν τὰ πράγματα, νῦν δὲ ὑπὸ φιλοσοφίας ἡσύχασαν.*

233, B. *Κατὰ ἔθνη*] *κατὰ συστήματα ἢ φυλάς· κατεχρήσατο γὰρ ἐπὶ μιᾶς πρότερον εἰρηκὼς ἔθνη.*

ib. *Ἤ τίς τῶν*] *Καθ' ὑπέρβατον· ὁ δὲ νοῦς τοιοῦτος, ἤ τίς, φησὶν, ὑπῆρξεν* (l. *ὑπῆρξε*) *ἂν εἰς τὸ δέον τοῖς Ἕλλησι, τῶν εὖ τε πλείους, εἴ τε ἥττους ναῦς παρασχομένων, ἐπειδὴ κατὰ μέρος οἱ ἄλλοι Ἕλληνες εἰσήνεγκαν τὰς τριήρεις.*

234, A. *Ἐκλέλειπται τὰ κοινά*] *Τὸ χωρισθῆναι πατρίδος καὶ γυναικῶν καὶ παίδων.*

234, B. *Οὗτοι δὲ*] *Δέκα γὰρ ναῦς ἔδωκαν οἱ Λακεδαιμόνιοι.*

234, C. *Ὅτι εἰ μὲν δέχεσθε*] Vid. ed.

235, A. *Ἤ ταῖς παρούσαις*] *Δηλοῖ, ὅτι καὶ ἡ παροῦσα ἀνάγκη μεγάλη ἦν, ὥστε μὴ παριδεῖν τοὺς λόγους αὐτῶν· ἐν γὰρ ταῖς μικραῖς ἀνάγκαις παρορῶμεν πολλάκις τὸ δίκαιον· ἀπὸ κοινοῦ δὲ τὸ ἐνεχώρει* (praestare hoc, judicat Geelius; vulg. *ἀνεχ.*) *παριδεῖν.*

ib. *Εἶπον ἄν*] *Ἀντὶ τοῦ ἐνταῦθα ἔλεγον· ὁ τοῖς δὲ τοιοῦτος, οὐ λέγω, φησὶν, ὅτι οἱ Ἀθηναῖοι διὰ τόδε καὶ τόδε ὤφελον τὴν ἡγεμονίαν ἔχειν, ἀλλ' εἰ καὶ κοινὰ μὲν ἅπαντα ὑπῆρχε καὶ ἐξίσης τῶν ἀνδρῶν καὶ τῶν τριήρων ἡ εἰσφορὰ ἦν, καὶ τῶν* (Cod. *τὴν*) *μὲν κατὰ φύσιν, τῶν δὲ κατὰ τὸ πλῆθος λειπόντων, δέοι* (f. *δεὸν*) *δὲ ἦν σκοπῆσαι, τίς ὤφειλε τῶν Ἑλλήνων ἡγήσασθαι, πῶς οὐκ ἂν ἡ Ἀθηναίων ἐξέλαμψε πόλις κἀνταῦθα;*

ib. *Ἀειπομένης*] *Οὔτε γὰρ πόλεις, οὔτε οἰκίας εἶχον.*

Digitized by Google

Ἀγωνιστὰς] Οἷον ἀθλητάς· πρᾶγμα δὲ λέγει τὴν σω- 235, B.
τηρίαν.

Προβεβληκότας] Ὡς ἐπὶ προβολῇ τὴν λέξιν τέθεικε ib.
(Ad haec annotat D. V. Geelius: post τέθεικε quaedam exciderunt; refertur autem sequens scholion ad Aristidis verba, ἀλλὰ καὶ πατέρων· Hactenus Geelius. Vereor ut ex re.), ὅ ἐστι μεῖζον τοῦ ἡγεμόνος, ὁ γὰρ πατὴρ φιλοστοργότερος.

Ναύαρχοι] Vid. ed. 235, C.

Ἔρανος] Ἀντὶ τοῦ ἐξίσου συνετέλουν, τοῦτο γὰρ λέγει ib.
ἔρανον.

Ἔδει δ' ἐκ] Ἐκ τῶν ὑπαρχόντων λέγει πλεονεκτημάτων. ib.

Πῶς οὐκ ἐκεῖνοι] Ὧιδε ἡ ἀπόδοσις διὰ μακροῦ. ib.

Κατὰ τὴν ἐπιστήμην] Ἀντὶ τοῦ διὰ τὴν ἐπιστήμην· 235, D.
δὲ καλεῖ τὴν ναυτικὴν τέχνην· καὶ τοῦτο δὲ ἄλλο δικαιῳ (sic) μὴ προβάλλεται.

Οἷς γὰρ] Τὸ νόημα τοιοῦτόν ἐστι, τοῦ παρόντος πολέ- 236, B.
μου κοινοῦ ὄντος, αὐτοὶ διὰ (Cod. δὲ) τῶν ἰδίων πάντας ὑπερεβάλλοντο· διὸ, φησὶν, δίκαιοι ἦσαν τὴν ἡγεμονίαν ἔχειν· ὑπὸ τοῦ ἐλάττονος δὲ τὸ ἐπιχείρημα.

Τῶν δὲ πάντων (vulg. παρόντων)] Καὶ ἐν ταῖς ἄλλαις 236, C.
γὰρ ἁπανταχοῦ Ἑλληνικαῖς τριήρεσιν εἷς Ἀθηναῖος ναύαρχος διὰ τὴν ἐπιστήμην.

Καὶ μὴν εἰ] Τὸ σχῆμα διλήμματος, ἐξ ἀμφοτέρων γὰρ ib.
τῶν προτάσεων συλλογίζεται· τὸ γὰρ ἀμφοῖν χεροῖν ἐπιτατικῶς ὡς τὸ ἐκ δυοῖν (Cod. ἐκ δύσιν) ποδῶν.

Τὸ πρόσθεν] Τουτέστι τὸν ἴδιον χρησμόν· λέγει δὲ τὴν ib.
ἡγεμονίαν διὰ τὴν δόξαν ἢ διὰ τοὺς φόρους.

Ὑπὲρ τὴν φύσιν] Εἶπε γὰρ, ὅτι καὶ τὰ κοινὰ τῆς φύ- 236, D.
σεως ἐξέλιπε.

Πρὸς ὀργὴν] Ἀντὶ τοῦ ὑπὸ ὀργῆς· εἰ πρὸς ὀργὴν γὰρ ib.
ἐχώρησαν οἱ Ἀθηναῖοι, οὐδὲ ὄνομα ἂν ὑπελείπετο τῆς Ἑλλάδος τῆς καὶ παρὰ τοῖς βαρβάροις θαυμαζομένης, ἀντὶ τοῦ προδεδώκεσαν καὶ εἴασαν μόνους· τοῦτο γὰρ δηλοῖ τὸ ἐγκατέλιπον.

Digitized by Google

237, A. *Τὸ θαυμάζεσθαι*] *Ἀντὶ τοῦ ὑπὸ βαρβάρων θαυμαζομένης.*

ib. *Κατηνάγκαστο*] *Ἀντὶ τοῦ ἐξ ἀνάγκης ἐγίνετο.*

237, B. *Καταλειφθέντας*] *Προδοθέντας καὶ μονωθέντας.*

ib. *Ἡ δίκα*] *Μερισθῆναι πρὸς Ἀθηναίους καὶ Λακεδαιμονίους.*

ib. *Οὐκ ἔχοντας*] *Διὰ τὴν στάσιν φησὶν οὐ δυναμένους πολεμεῖν· ἀπὸ γὰρ κοινοῦ τὸ πολεμεῖν.*

237, C. *Ἐσχάτην βάσανον*] *Ἀντὶ τῆς μείστης· βάσανον δὲ λέγει τὴν δοκιμασίαν ἀπὸ μεταφορᾶς τοῦ λίθου τῆς βασάνου.*

ib. *Συνετάξαντο*] *Ἀντὶ τοῦ ἔταξαν ἑαυτούς.*

237, D. *Τοὺς δὲ ἑκόντας*] *Τῶν γὰρ Ἑλλήνων οἱ μὲν ὑπεῖξαν τῷ βασιλεῖ, ὡς Θηβαῖοι, οἱ δὲ ἄκοντες, ὡς Θετταλοί· ἢ ἑκόντας μὲν τοὺς παρόντας, ἄκοντας δὲ τοὺς μηδίσαντας.*

238, A. *Τῆς ἡγεμονίας*] *Τὸ μεῖζον πάλιν εἶπε τῆς ἡγεμονίας.*

238, B. *Κατεργάσασθαι*] *Ἀντὶτοῦ καθορμῆσαι* (Cod. *κατορμ.*) *καὶ ἀνῦσαι.*

ib. *Λακεδαιμονίους*] *Καὶ γὰρ τὰ παιδία εἰώθαμεν φιλοφρονεῖσθαι καὶ προτρέπεσθαι αὐτοὺς τῇ τιμῇ, μᾶλλον πρὸς* (sic, f. *προστάξει* aut id genus aliquid) *ἢ ἐπιπλήξει.*

238, C. *Μιμεῖσθαι*] *Μιμητὰς καθιστῶν αὐτοὺς ἐν τοῖς ψηφίσμασι.*

ib. *Καὶ τοῖς ψηφίσμασι*] *Οὐ γὰρ λόγῳ μόνον παρεχώρησαν, ἀλλὰ καὶ ἐγγράφως ψήφισμα ποιήσαντες.*

239, A. *Ἄρχοντος*] *Ἀντὶ τοῦ ἐνδοξότερον· ἡγεμόνων γάρ, φησίν, ἡγεμόνες ἐτύγχανον· ἄρχοντος δὲ τοῦ Εὐρυβιάδου αὐτοῖ· κατὰ κοινοῦ δὲ τὸ ἦρχεν.*

ib. *Τὰ ἀριστεῖα*] Vid. ed.

ib. *Καὶ ἑωρακότων*] *Καλῶς τὸ ἑωρακότων, ἔστι γὰρ καὶ ἀκοῆς μαρτυρίας, ἥτις καλεῖται ἐκμαρτυρία.*

239, B. *Καὶ μὴν*] *Προαναφωνεῖ· οὕτω γὰρ εἶχε πάντα.*

ib. *Προεστήσαντο*] *Προστάτην ἐποιήσαντο*, vid. Schell.

ib. *Οἱ σύλλογοι*] *Σύλλογός ἐστι κυρίως, ὅταν εἰς πόλιν συνάγωνταί τινες ἀπὸ μιᾶς μέντοι πόλεως, σύνοδος δέ, ὅταν ἐκ πόλεων πολλῶν εἰς μίαν συνάγωνται· πρὸς Ἀθηναίους δέ ἐστι τὸ* (Cod. *τῷ*) *ἐν τῇ πόλει τῶν Ἀθηναίων*

Digitized by Google

ἔρχεσθαι συμβουλευομένους, παρ' Ἀθηναίοις δὲ, ὅτι κἂν μὴ ὦσιν ἐν τῇ Ἀττικῇ, ἀλλ' οὖν παρ' ἀνδράσιν Ἀττικοῖς συμβουλεύονται περὶ οὓς (f. περὶ ὧν) θελήσωσι· τοῦτο δὲ ἡγεμονίας σημεῖον.

Καὶ κατέστη] Τεκμήριον ἐκ τούτου εἶναι αὐτοὺς ἡγεμόνας· παρὰ γὰρ τοῖς προὔχουσι γίνονται αἱ ἐκκλησίαι· ἐπλήρωσε δὲ τὸ μέρος τῆς παραχωρήσεως τὴς ἡγεμονίας· ὁμολογεῖ δὲ καὶ αὐτοὺς τῆς μνήμης τὸ περίεργον, διὸ θεραπεύει λέγων παρήνεγκε περαιτέρω, ὅ ἐστι παρέσυρε· οὐκ εἶπε δὲ ἔξω τοῦ προκειμένου παρήνεγκεν, ἵνα μὴ δόξῃ περιττὸν εἰρηκέναι τι, ἀλλὰ περαιτέρω. ib.

Ἐπ' ἐξειργασμένοις] Τοῦτο εἶπεν, ἵνα μή τις εἴπῃ, καὶ δυάτι ἃ εἶπες (Cod. εἶπε) πάλιν ἐρεῖς; θεραπεύει δὲ πάλιν ἐπειδὴ ἐδόκει περιττὸν εἶναι τὸ μνησθῆναι τῆς παραχωρήσεως· μέμφονται δέ τινες αὐτῷ, ὡς ταῦτα λέγοντι, καὶ τῶν Μηδικῶν γὰρ παντιχοῦ μέμνηται καὶ τῶν Ἡρακλειδῶν· διότι οὐκ ἀντέπιπτεν αὐτῷ, τί οὖν εἶτα εἰρημένα πάλιν λέγεις; τὸ γὰρ ἐπ' ἐξειργασμένοις τοῦτο σημαίνει· σκοπείτω οὖν τις, φησὶ, τὴν αἰτίαν δι' ἣς εἴρηται, ὡς οὐκ ἀργῶς ἀλλ' ἀναγκαίως. 240, A.

Καὶ τῆς (ed. τὴν) ἑκάστου] Διὰ τούτου δείκνυσιν, ὅτι οὐκ ἀργῶς ἀλλ' ἀναγκαίως ἐμνήσθη τῆς παραχωρήσεως τῆς ἡγεμονίας. ib.

Ποῖ φέρει] Ὅπου ἁρμόζει· δηλοῖ δὲ πρᾳότητα τῶν Ἀθηναίων, ἀλλ' οὐκ ἀσθένειαν. ib.

Ἐφάμιλλα] Τί οὖν, εἰ μικρὰ τυγχάνει τὰ εἰρημένα; ἀνάγκη, φησὶν, εἶπεν (leg. vel ἀτάγκη, φησὶν, εἶπεν vel ἀνάγκη, φησὶν, εἰπεῖν, quod praestat), ἵνα μὴ τῇ σιωπῇ ἀτιμάσωμεν. ib.

Τῇ τάξει] Ἀκόλουθον γὰρ ἦν εἰπεῖν πρὸ τῆς μάχης τὴν παραχώρησιν, ἐπειδὴ καὶ πρὸ τῆς μάχης ἐφιλονείκησαν περὶ ταύτης. 240, B.

Περὶ μηδενὸς] Τοῦτο εἶπεν (Cod. εἶπον), ἵνα μή τις εἴπῃ (Cod. εἴποι), ἀλλὰ περὶ σμικρῶν. ib.

Digitized by Google

240, C. Ἐκ γειτόνων] Ἢ καθόλου λέγει, ὡς οὐκ ὄντων ἀλλαχοῦ τοιούτων, ἢ εἰς Λακεδαιμονίους ἀποτείνεται· ἡ γὰρ πρὸς ἐκείνους ζηλοτυπία ἐστί (sic).

ib. Μικρολογεῖσθαι] Τουτέστι περὶ σμικρῶν λέγει, κυρίως δὲ σμικρολόγος ἐστὶν ὁ φειδωλός.

ib. Ὑπ' ἐκπλήξεως] Ἐπὶ γὰρ τῶν μεγάλων καταπλήττεταί τις, οὐκ ἐξισχύων τὸ πᾶν εἰπεῖν.

ib. Περὶ τούτων] Ὑπέρβατόν ἐστιν πρὸς τὸ ἀγωνιζόμεθα, νῦν δὲ ὑπὲρ ὧν πάντες ἥττηνται.

241, A. Οὐδ' ἀνεξέταστον] Τοῦτο εἶπε τὸ ἐνθύμημα καὶ ἀρχόμενος τῶν πράξεων ὄπισθεν.

ib. Συμβάντος γὰρ] Ἄρχεται τῆς ναυμαχίας· καλῶς δὲ εἶπε πάθους, οὐδὲ γὰρ ἡττήθησαν, ἀλλ' ἐδυστύχησαν προδοθέντες ὑπὸ Θετταλῶν· καὶ Ἰσοκράτης φησὶν ἐν τ. π. κ. τ. λ. vid. ed.

241, B. Λαμπρῶς] Λέγει μεγάλως, ἀσφαλῶς (Geelius ex ipso Aristide emendat σφαλερῶς) δὲ ἐπικινδύνως· μετὰ γὰρ τὸ μηκέτι κωλύσαι τούτων (leg ex Par. τούτους) τὴν εἴσοδον αὐτῶν, ἐσῆσαν οἱ βάρβαροι.

ib. Ὥσπερ πύλας] Ἀπὸ τῆς ὁμωνυμίας εἶπε τὸν τόπον· καλεῖται δὲ τὸ τοιοῦτον παρονομασία.

ib. Δυοῖν μερίδοιν] Ἢ καὶ κατὰ γῆν καὶ θάλατταν, ἢ ὅπερ ἐπιφέρει, ἑκόντων καὶ ἀκόντων.

ib. Οἱ μὲν γὰρ] Οὐ τὰ γένη λέγει Ἕλληνας καὶ βαρβάρους, ἀλλ' ὅτι τῶν μὲν Ἑλλήνων οἱ μὲν ἑκόντες προσετέθησαν τῷ Πέρσῃ, οἱ δὲ ἄκοντες· ἑκόντες μὲν Θηβαῖοι καὶ Θετταλοί, ἄκοντες δὲ Φωκεῖς. Τινὲς μὴ νοοῦντες ἀσύντακτον εἶναι τὸν λόγον ὑπέλαβον· ἔστι δὲ ἐνταῦθα τὸ οἱ δὲ δεικτικόν, ἵνα νοήσωμεν οὕτως, τῶν ἄλλων φευγόντων μόνοι οὗτοι οἱ Ἀθηναῖοι τόδε (Cod. τὸ δὲ) διέπραξαν.

241, C. Ἐπώνυμοι] Ὡς πολλάκις θεοῦ προσηγορίαν εἰληφότες.

ib. Τῇ τῆς θεοῦ] Λελῃθότως ἀπολογεῖται ὑπὲρ οὗ καταλέγει τὴν πόλιν.

ib. Ψήφισμα π.] Θεμιστοκλῆς μὲν ὁ γράψας, κοινὸν δ' αὐτῷ (f. αὐτὸ) φησι, πρὸς τὴν χρείαν ἁρμοττόμενος.

Digitized by Google

Διὰ τὴν πίστιν] *Ὅτι ἐπίστευσαν τῇ Ἀθηνᾷ· ἐξηγεῖται δὲ τὰ εἰρημένα.* 242, A.

Ἀπεζευγμένοι] *Χωριζόμενοι, διὸ καὶ καρτερίας εἶπεν.* ib.

Φέροντι τῷ] *Τουτέστι προαιρέσει καὶ οὐκ ἀναγκαζόμενοι.*

Ὑπὲρ τῆς τῶν] *Σοφίζεται ἀπὸ τοῦ ἀποβάντος, ὑπὲρ γὰρ αὐτῶν ἐποίησαν.* ib.

Μεγαλοψυχία] *Κυρίως κ. τ. λ.* vid. add. Pariss. initio, quae inde ab *τὰ δὲ ἑξῆς κ. τ. λ.* sequuntur, om. in Leid. ib.

Ἀλλὰ μὴν] *Ἡ εἰς πρόθεσις, ἀλλὰ μὴν εἰς τόγε γνῶναι· καὶ ἀπὸ κοινοῦ δεῖ λαβεῖν, τίς ἀνθρώπων ἐκείνοις ὅμοιος· τὸ δὲ γνῶναι ἀντὶ τοῦ καταγνῶναι· τίς ὅμοιος ἐκείνοις εἰς σοφίαν καὶ τῷ δόγματι τῆς εὐπειθείας τιμωμένη* (f. τιμώμενος) *ὑπὸ τῶν ἀρχόντων· βούλεται γὰρ τοὺς ὑπηκόους τῷ εὐπειθεῖς εἶναι αὐτοὺς νενικηκότας ἅπαντας· τοῦτο δέ φησι, ἐπειδὴ εὐπειθεῖς ἦσαν τοῖς ἄρχουσι.* ib.

Τὴν σοφίαν] *Ἀντὶ τοῦ τὴν φρόνησιν, ἀπὸ κοινοῦ δὲ τὸ παρέσχοντο· δεῖ δὲ καὶ τοῦτο ἀπὸ κοινοῦ λαβεῖν τὸ ψηφισμα ἐποίησαν, καὶ πάλιν ἀπὸ κοινοῦ τὸ παρασχόμενοι σύμβολα, ἵν' ᾖ ὁ νοῦς οὕτως, καὶ ψήφισμα ποιοῦνται παρασχόμενοι σύμβολα τῆς αὐτῶν σοφίας, δι' ἧς σοφίας καὶ τῆς τιμωμένης ἐν τοῖς λόγοις θαυμαζομένης εὐπειθείας, τῷ δόγματι τοὺς πάντας ἐνίκησαν· λέγει δὲ τῷ δόγματι τῷ ἑαυτῶν· ποῖον δὲ δόγμα; ὅπερ ἔδοξεν ἑαυτοῖς, λέγει δὲ τὸ εὐπειθεῖς εἶναι τοῖς ἄρχουσι καὶ ἀνασχέσθαι ἡγεμονεύεσθαι· ἢ οὕτως, ἔστι δὲ καὶ φρονήσεως σύμβολα παρέσχοντο,* (sic, f. *ἔστι δ' ἃ καὶ φρ. σ. π.* vel. *ἔστι δὲ καὶ φ. σύμβολα, ἃ π.*) *διὰ τὸ γνῶναι τὸ μέλλον σώζειν τὰ πράγματα· τί δ' ἐστὶ τοῦτο; ἡ σοφία, τὴν αὐτὴν γὰρ φρόνησιν καλεῖ καὶ σοφίαν, δι' ἣν σοφίαν* (C. σοφία) *καὶ τῷ* (Cod. τὸ) *δόγματι τῆς εὐπειθείας τῆς γινομένης τοῖς ἄρχουσι καὶ τῆς τιμωμένης ἐν τοῖς λόγοις πάντας ἀνθρώπους ἐνίκησαν.* 242, B.

Τιμωμένης] *Ἀντὶ τοῦ ἐπαινουμένης* (Cod. ἐπαινουμένοις)· *ἔστι δὲ ἀντίπτωσις, ἀντὶ ὀρθῆς γὰρ εἶπε γενικήν.* ib.

Ἀπεσκευασμένοι] *Ἀποτευχθέντες παίδων καὶ γυναικῶν, ἢ τὰ περιττὰ ἀποθέμενοι ἢ θαλάττιοι γενόμενοι.* 242, C.

Digitized by Google

ib. *Κατεῖχον*] *Ἑωρακότες γὰρ τὸ πλῆθος τῶν νεῶν φεύγειν ἐσκόπησαν.*

ib. *Ὁμοῦ καὶ βαρβάρους*] *Πάλιν ἢ κατὰ γῆν καὶ κατὰ θάλατταν ἢ καὶ ἔκοντας καὶ ἄκοντας.*

242, D. *Ἐνταῦθα δὴ* (Cod. δὲ)] *Ἀντὶ τοῦ τῷ καιρῷ, οὐ γὰρ τὸν τόπον λέγει.*

243, A. *Αἱ δὲ γυναῖκες*] *Ἐν γὰρ Τροιζῆνι οὖσαι καὶ ἀκούσασαι τοῦ Κυρσίλου τὸν θάνατον, τοὺς ἑαυτῶν ἐμιμήσαντο ἄνδρας εἰς τὴν ἐκείνου γυναῖκα.*

243, B. *Τῆς ἐπ' Ἀρτεμισίῳ*] Vid. add. Pariss., Leid. *Χωρίον τῆς Εὐβ.*

ib. *Διεκώλυσαν*] *Ἠνάγκασαν αὐτοῦς πολεμεῖν τῷ κωλύσαι καὶ φυγεῖν· καὶ γὰρ* vid. ed., Leid. *ἐλθόντας* pro *ἐθέλοντας* — item *οἰκίου* — *ὑτετέθη* — *ἐδυνήθησαν.* —

243, C. *Ἐκδεχομένους* (Cod. ἐνδ.)] *Ἀντὶ τοῦ δεχομένους, δῆλον δὲ διὰ τὸν φόβον.*

ib. *Περιθέντες*] *Κακουργήσαντες καὶ μηχανησάμενοι· αἰτιᾶται δὲ εἰς τὴν τοῦ Θεμιστοκλέους μηχανήν.*

243, D. *Παρόσον αἱ τριήρεις*] *Τὸν ἔξω λέγει τῆς Σαλαμῖνος, τὸν καὶ πλατὺν* (Cod. πλατήν).

244, A. *Ἀλλὰ πρῶτοι* (Cod. πρῶτον)] Vid. ed., Leid. *κεκηθέντων* pro *νικηθέντων.*

244, B. *Ὥστε* (Cod. ὥστ') *ἐν τοῖς π.*] Vid. ed., Leid. om. *ὄντες* — *μνήσθητε* — *Περσῶν* pro *πατέρων.* —

ib. *Τῶν ὑφ' ἡλίῳ*] Vid. add. Pariss.

244, C. *Ὅπερ ἦσαν*] Vid. add. Pariss., Leid. *ταυτικώτατοι.*

ib. *Παντοδαποῖς τῶν ἔργων*] Vid. ed.

ib. *Δοκοῦσι*] *Μόνοι γὰρ ἦσαν οἱ Ἀθηναῖοι ἐν τῷ Μαραθῶνι· βούλεται οὖν εἰπεῖν, ὅτι καὶ παρόντες ἴσοι ἦσαν τῶν ἀπόντων ὥσπερ καὶ ἐν Μαραθῶνι.*

245, A. *Ἀπέλαυσαν*] *Ἀντὶτοῦ οὐκ ἐπολέμησαν, ἀλλ' ἀπέλαυσαν μόνον τῶν λαφύρων.*

ib. *Ὑστέρησαν*] *Ἐν τῷ Μαραθῶνι, φησὶν, ἁπάντων ὑστέρησαν τῆς συμβολῆς, τοῦτο γάρ ἐστι τῆς τροπῆς· οἱ συντελεῖς δὲ οἱ συμπολεμοῦντες, ἀντὶ τοῦ ὑπερέβαλον* (sic), *τοῦτο γὰρ μεῖζον τοῦ πρώτου τὸ παρόντας ὑστερεῖν.*

Digitized by Google

Φιλοτιμίας] *Ὁ ἐστι τῆς νίκης· λέγει δὲ, ὅτι ἔδοξαν* 245, B.
νικᾶν μὴ καμόντες.

Ἐμπέπληστο (vulg. ἐκπ.)] *Ἐπεπλήρωτο ἐκ τῶν βαρ-* ib.
βαρικῶν ἢ τῶν ἐκπιπτόντων σκευῶν τῶν τριηρικῶν.

Πρὸς τὴν ἤπειρον) *Ἐκεῖ γὰρ ἐκαθέζετο ἐπὶ θρόνου* ib.
θεωρῶν τὴν μάχην· ἀπάδοντα λέγει ἀντὶ τοῦ ἀπαρέοντα
(l. *ἀπαρέσκοντα*)· *περινοίας δὲ λέγει τῆς περιττῆς ἐννοίας·*
περιττὰ γοῦν ἐνενόει τῷ πᾶσαν αὐτοῖς θέλειν ἐπιθεῖναι συμ-
φοράν· τρυφῆς δὲ, ἐπειδὴ ταῖς ἐλπίσιν ἐτρύφα, νικᾶσθαι
νομίσας τοὺς Ἀθηναίους.

Τῆς ἐπιθήκης] *Αὐτὸς δὲ ἐπιφέρει, τί ἐστὶν ἡ προθήκη·* 245, C.
πάρεργον καλεῖ τὴν Ψυτταλίαν, ἔργον δὲ τὴν Σαλαμῖνα.

Τὴν πρὸ τῆς Σαλ.] Vid. ed. ib.

Ἀνταίρειν] Vid. ed. 246, A.

Τοὺς ἐκπίπτοντας] *Ἀντὶ τοῦ κατὰ τῶν ἐκπιπτόντων·* ib.
ἔστι γὰρ ἀντίπτωσις.

Τὴν νῆσον] *Τουτέστι τὴν Σαλαμῖνα, ὡς ὁμολογουμέ-* ib.
νης τῆς ἐν Σαλαμῖνι νίκης.

Καὶ περιέστραπτο] *Εἰς τοὐναντίον περιέστη ἡ τύλμα.* ib.

Ἄλλον τινὰ] *Γυμνικὸν, ἀλλ' οὐ πολεμικόν.* 246, B.

Παλινῳδίαν ᾄδε] Vid. ed. 246, D.

Οὐ μετὰ τοῦ αὐτοῦ ἀξιώματος[1]] *Φυγὰς γὰρ ἐγένετο* 247, A.
ἀντὶ τοῦ βασιλέως.

Ἐν ᾗδη τοῦτ'] *Τὸ ζεῦγμα τοῦ Ἑλλησπόντου, ἵνα μὴ* ib.
λυθῇ ὑπὸ τῶν Ἑλλήνων.

Τῶν λοιπῶν (ed. *τῷ λοιπῷ*)*μέρει*] *Τοῖς περὶ τὴν δύσιν* ib.
λέγει.

Τίσι δὲ λέγω] *Τὸ σχῆμα ἔοικεν ἀνακεφαλαιώσει· ἀνα-* ib.
κεφαλαιοῦνται δὲ ὅσων (f. *ἀνακεφαλαιοῦται δὲ ὅσων*)
Ἀθηναῖοι (Cod. *Ἀθηραίων*) *νενικήκασι.*

1) Ed. *σχήματος*, quod eodem redit. Nisi autem vulgo Scholiastae negligenter agerent in auctorum verbis describendis, ex hac aliisque diversae lectionis indiciis adducerer ad suspicandum, horum scholiorum auctorem alia Aristidis editione usum esse, quam quae hodie vulgatur.

Digitized by Google

247, B. *Τοὺς σύμπαντας* (sic Cod., leg. ex Ar. *συστάντας*). *Τοὺς συμπολεμήσαντας Ἕλληνας.*

ib. *Ταῖς τοῦ Θεοῦ μ.*] Vid. ed.

247, C. *Μόνη φέρεται*] *Ὅτι αὐτῆς μὴ παρούσης ἐν Πύλαις ἀπώλοντο· τὴν τοῦ παντὸς δὲ κρίσιν τὸ τέλος τοῦ πολέμου.*

247, D. *Τῷ τοὺς Ἕλληνας*] *Εἰς τὸ μὴ φυγεῖν· μετὰ γὰρ τῷ νίκησον* (sic, f. *μετὰ γὰρ τὸ νικῆσαι*) *ἐπ' Ἀρτεμισίῳ δραπετεύειν ἠβούλοντο, καὶ διεκώλυσεν ὁ Θεμιστοκλῆς.*

248, A. *Τῷ πλεῖστον*] *Μελλούσης τῆς ναυμ.* vid. add. Paris. ad *Τοῖς ἀπ' Ἑλ. φ.*

ib. *Τοῖς ἀπ' Ἑλ.*] *Ἄκατος καὶ Δημάλατος* [1] *κ. τ. λ.* vid. ed. Addit Leid: *Τοῖς παραδόξοις Θεάμασι* (vid. Schell.)· *σημαίνει δὲ τὴν συμμαχίαν Κόρης καὶ Δήμητρος*, quae ex alio in hunc locum scholio desumta videntur [2].

ib. *Τοῖς παρὰ* [3] *τῶν ἐχθρῶν*] *Οἱ γὰρ Πέρσαι ἐνόμιζον, μὴ πρότερον κρατήσειν τῶν Ἑλλήνων, εἰ μὴ λάβοιεν πρώτους Ἀθηναίους.*

Μαρδόνιος δὲ] *Αὐτὸς γὰρ στρατηγὸς ἦν τοῦ πεζοῦ, Ξέρξης δὲ τοῦ ναυτικοῦ.*

ib. *Συνειδὼς*] *Μεταβαίνει λοιπὸν ἐπὶ τὴν ἐν Πλαταιᾷ πεζομαχίαν ἀπὸ τῆς ναυμαχίας.*

ib. *Αἴτιος γεγονὼς*] *Καὶ γὰρ αὐτὸς ἀνέπεισεν αὐτὸν στρατεῦσαι κατὰ τῶν Ἑλλήνων μετὰ Ἀλευάδων καὶ Πεισιστρατιδῶν.*

248, C. *Οὐ μὴν οὐδὲ πρὸς*] *Τῶν Ἑλλήνων οἱ μὲν ἦσαν ψηφισάμενοι τὴν ἡγεμονίαν τῶν Ἀθηναίων, οἱ δὲ ὄν·* (Geel. vel

1) Scr. *Δικαίος καὶ Δημάρατος*, ut correxit in marg. Casterus. Vid. Herod. VIII, 65. ibiq. Valcken. partem hujus scholii proferentem. Herodotum autem negligenter inspexit scholiastes. Ille enim narrat, Dicaeum haec non regi, sed Demarato praedixisse. Quibus hunc Dicaeo suasisse, ut sileret, ne regem sibi iratum redderet. — 2) Valck. in hoc sch. post *τεκμήριον* addit *ἦν* et distinguit post *βασιλέα*, ut *γέγονε τοῦτο* significet: *itaque evenit*. Nihil mutare malim, nisi *τὸ* in *τοῦ*. Vide praeterea Herod. VIII, 65. *τὴν δὲ ὀρτὴν κ. τ. λ.* Hanc autem Herodoti narrationem saepius respexit Aristides, quem vide omnino t. I, p. 451. — 3) Cod. *τῆς περί*, quod nihili est, quamvis concisa Aristidis oratio h. l. subobscura sit, nec mihi Jebbii conjectura expediri videatur.

Digitized by Google

delend. vel in οὖν mutandum existimat, sed leg. οὔ). *Καὶ διὰ τὸ μὴ στάσιν γενέσθαι παρεχώρησαν οἱ Ἀθηναῖοι τῆς ἡγεμονίας· ἦσαν δὲ καὶ οἱ Ἕλληνες πέμψαντες πρὸς Γέλωνα ἐπὶ τῷ συμμαχῆσαι αὐτοῖς· ὁ δὲ φήμη (leg. ὁ δ' ἔφη μὴ) πρότερον συμμαχεῖν, εἰ μὴ λάβοι τὴν ἡγεμονίαν· μᾶλλον δὲ νοῆσαι (f. δεῖ v.), ὅτι μετὰ τὸν πόλεμον εἵλοντο Ἀθηναίους ἡγεμόνας οἱ Ἕλληνες.*

Καὶ τοῦτο προσεξειργάσατο] *Σοφίζεται ἐνταῦθα· μᾶλλον γὰρ τῶν Λακεδαιμονίων ἦν τὸ ἔργον, Παυσανίου στρατηγοῦντος, ἐπειδὴ δὲ καὶ οἱ Ἀθηναῖοι συνέπραξαν, σοφίζεται.* ib.

Τοὺς στεφάνους] *Εἰς τὸ πένταθλον αἰνίττεται τὸ ἔχον τὰ ἀγωνίσματα.* ib.

Ὅσοι δὴ καὶ παρ.] *Οὐ γὰρ πάντες οἱ Ἕλληνες παρῆσαν, τινὲς γὰρ αὐτῶν ἦσαν μετὰ τοῦ Πέρσου.* 248, D.

Ὡς ἀληθῶς] *Τὴν καταφρόνησιν λέγει τῶν χρημάτων, ὧν ἐπηγγέλλετο ὁ Πέρσης αὐτῇ· τοῦτο γὰρ ἴδιον αὐτῆς πλεονέκτημα· καὶ παρὰ Δημοσθένει τοῦτο συνεχῶς.* 249, A.

Ὃ καὶ φρόνιμον] *Φρόνιμον, εἰ πρὸς τέλος ἦκεν, εὐηθὲς, εἰ διαφθεῖραι ἤλπισε χρήμασιν Ἀθηναίους· αὐτὸς δὲ ἐξηγεῖται, πῶς καὶ φρόνιμον καὶ εὔηθες.* 249, B.

Τὸ πάιτων] *Ἀδύνατον γὰρ ἦν τὸ Ἀθηναίους διαφθεῖραι χρήμασιν.* ib.

Τῶν ἐκ Δελφῶν λ.] Vid. edd. ex Mon., quibuscum ad verbum usque consentit Leid. 249, C.

Ἀντὶ γὰρ ὧν ἤτει] *Τότε γὰρ ἤτει βῶλον γῆς καὶ ὀλίγου* (f. *ὀλίγον*) *ὕδατος, νῦν δὲ ἐδωρεῖτο πᾶσαν γῆν Ἑλληνικὴν καὶ θάλασσαν.* 250, A.

Οὐκ ἀπὸ ἴσου] *Ἀντὶ τοῦ οὐκ ἐπὶ τοῖς ὁμοίοις.* ib.

Ἀλέξανδρος] *Οὗτος ἦν ἐπὶ Ξέρξου, ὁ καὶ φιλέλλην καλούμενος, πάνυ γὰρ ἐδόκει φιλεῖν τοὺς Ἕλληνας· ἤυξησε δὲ τῷ ὀνόματι τοῦ βασιλέως τὴν πρεσβείαν.* 250, B.

Ἄξια σφῶν] *Ὡς ἐπὶ ἀγορασίας καὶ ὠνῆς εἶπεν ἄξια αὐτῶν.* 250, C.

Τοῦ λοιποῦ πρ.] Vid. ed., Leid. *λέγει τὴν μυρίαν.* ib.

Ὡς οὐκ ἄνευ] *Ἡ σύνταξις οὕτως, ἀπέστειλαν οὐκ ἄνευ θανάτου τοιαῦτα πρεσβεύσοντα τοῦ λοιποῦ.* 250, D.

Digitized by Google

251, A. *Εἰς μὲν γὰρ*] *Συγκρίνει τὴν μάχην τὴν* (l. τῇ) *ἀποκρίσει.*

251, B. *Οἱ καὶ χρυσῷ*] *Ὅτι κατεφρόνησαν χρημάτων, σιδήρῳ δὲ, ὅτι οὐκ ἔδεισαν τὸν πόλεμον.*

251, C. *Ἐκρύπτετο*] *Ταῦτα γὰρ μέταλλά εἰσι τῆς γῆς, ὁ χρυσὸς καὶ ἃ εἶπεν· ἐν ὅσῳ δὲ ὑπὸ γῆν εἰσιν, οὐ δύναιτ' ἂν ὠφελεῖν τοὺς ἀνθρώπους.*

251, D. *Εἰ προσείη*] *Ἠπόρουν γὰρ τότε Ἀθηναῖοι καταλείψαντες* (Cod. *καταλήψαντες*) *τὴν πόλιν.*

ib. *Ἀκοῦσαι*] *Ὥστε ἀνέχεσθαι πολλάκις λεγόντων, ὅπως γὰρ ἀκούσαντες ἀπεδοκίμασαν, ὡσανεὶ ἔλεγεν, εἰ μὴ ὅσον ἦν ἐπὶ μόνου λόγου ἀκοῦσαι καὶ οὐκ ἠνείχοντο.*

252, A. *Συνέγνωσαν*] *Ὡς ἐπὶ ἁμαρτήματος εἶπε τὴν λέξιν.*

ib. *Καὶ τὴν μεγαλοψυχίαν*] *Κατεχρήσατο εἰπὼν τὴν μεγαλοψυχίαν καὶ ἐπὶ ὀργῆς, καὶ οὐ μόνον ἐπὶ τῆς καταφρονήσεως τῶν χρημάτων.*

252, B. *Τ'οὺς δόντας*] *Τοὺς πιστεύσαντας ἑαυτοὺς Ἀθηναίοις.*

252, C. *Καὶ τηλικοῦτον*] *Ὡς κατόρθωμα εἶπε τὰ δῶρα τῷ νικῆσαι καὶ Λακεδαιμονίους.*

ib. *Μέσον*] *Καλῶς εἶπε τὸ μέσον, ἐν μέσῳ γὰρ δύο κατορθωμάτων μεγάλων τύγχανον οὐκ ἐκαλύφθη· διὸ εἶπεν ἐξέλαμψεν.*

252, D. *Τοῖς Ἀθηναίοις*] *Ἀντὶ τοῦ τὴν ψῆφον αὐτοῖς παρέχοντες ἐπὶ ταῖς ὑποσχέσεσι.*

253, A. *Οὕτω δ' ἐλπίσαντες*] *Ὅτι ἐπρεσβεύσαντο πρὸς αὐτούς· εἰ μὴ γὰρ ἤλπιζον εἰς αὐτοὺς, οὐκ ἂν ἦσαν πρὸς αὐτοὺς πρεσβευόμενοι.*

253, B. *Τῶν* (vulg. *τὸν*) *μὲν γὰρ οὐκ ἀνέχοντο*] *Τῶν τοῦ Πέρσου ὑποσχέσεων.*

ib. *Τοὺς δὲ* (Cod. *δ'*) *ἀπὸ πολλοῦ*] *Λέγει τοὺς Ἕλληνας.*

ib. *Τοῦ κρείττονος*] *Ἐκ τοῦ παρέχοντος· λέγει δε τοὺς Λακεδαιμονίους.*

253, C. *Ἀκολουθεῖν*] *Ἀντὶ τοῦ συμμαχεῖν· εἶπε δὲ δυναμένους, ὅτι πρὸ τῆς ναυμαχίας ἐφοβοῦντο· ἀκολουθεῖν οὖν δυναμένους ἀντὶ τοῦ προθυμοτέρους, πρότερον γὰρ ἐδεδίεσαν ἄπειροι ὄντες τῶν Ἀθηναίων.*

Digitized by Google

Διατριβή] *Ἀντὶ τοῦ βραδύτης· βράδιον γὰρ ἀπαιτεῖ ὁ* ib.
λύγος, οὐ περιγενομένης τῆς σπουδῆς.

Ἐξέστησαν] *Παρεχώρησαν, ἅστε λοιπὸν εἶναι κατακτι-* 253, D.
κρὺ τῶν Περσῶν.

Ἀνθυπῆγε Μαρδόνιος] *Ὁ νοῦς οὗτος· τοῖς Λακεδαι-* 254, A.
μονίοις πολεμεῖν μᾶλλον ἠρεῖτο, εἰδὼς ὅτι γενναίως μὲν πο-
λεμοῦσιν, ἡττῶνται δὲ ὥσπερ ἐν Πύλαις, τοὺς δὲ Ἀθηναίους
ὑπέφευγε λυστιτελεῖν, ἡγούμενος μὴ πολεμεῖν πρὸς ἄνδρας
εἰδότας καὶ καλεῖ τικᾶν ὥσπερ καὶ ἐν Σαλαμῖνι.

Ταῦτα γὰρ] *Ἐκ τῶν φθασάντων τὰ παρόντα πιστούμενος.* ib.

Οἱ πυκναὶ] *Περὶ τοῦ τόπου· φιλονεικοῦσι γὰρ ὑψή-* 254, B.
λότεροι στῆναι καὶ μὴ κατακτικρὺ ἔχειν τὸν ἥλιον.

Καὶ δέησαν] *Ἀντὶ τοῦ εἰ δεήσαντος* (f. *καὶ δ.*), *ἀττι-* 254, C.
κῶς· οἱ γὰρ Πέρσαι ἡττηθέντες ἐν Πλαταιαῖς κατέφυγον εἰς
τὰς Θήβας· ὑποδεξαμένων αὐτοὺς τῶν Θηβαίων οἱ Ἀθη-
ναῖοι περιστάντες ἐτειχομάχουν· οἱ ἄλλοι δὲ, φησὶν, οὐκ
ἤδεσαν τειχομαχεῖν· λέγει οὖν, ὅτι αἰσχύνη ἐστὶ λέγειν, τί
ἦσαν πρὸς αὐτούς, οἷον οὐκ ἤδεσαν (Cod. *εἴδησαν*) *τειχο-*
μαχεῖν.

Ἕως τῶν] *Τὰς Θήβας λέγει· πρὸ γὰρ τῆς ἥττης ὅλην* ib.
εἶχον τὴν Βοιωτίαν· νῦν δὲ, φησὶ, κείμενοι εἶχον αὐτήν.

Ἀσύντακτοι] *Γυμνοὶ ἄνευ τάξεως· νύκτα δὲ ἡμέρας* ib.
λέγει τὸ σκότος· οἱ γὰρ φεύγοντες ἀγαπῶσι τὸ σκότος, ἵνα
λάθωσι φεύγοντες.

Καὶ πολλοὶ] *Ὡς εἶναι καὶ τοὺς φεύγοντας πολλούς·* 254, D.
πῶς οὖν εἶπεν ὀλίγοι; φαμὲν ὡς πρὸς τὸ ὅλον στρατόπεδον.

Τῆς ὑπερηφάνου] *Ὡς καλῶς ἀπαγγείλας τὰ πρότερον* ib.
εἰρημένα μέρη ἀθλητῇ (Cod. *ἄθλητεῖ*) *εὐδοκιμήσαντι παρα-*
βάλλει ἑαυτόν.

Τούτων] *Ὥσπερ ἐπίλογός ἐστι τῶν Μηδικῶν.* ib.

Πολλοῦ τινος] *Ὁ νοῦς οὗτος, πολὺ ἀπεῖχον τοῦ δοκεῖν* 255, A.
τι ποιῆσαι ἄξιον τῆς πόλεως.

Ἐν τοῖς πράγμασι] *Ἀντὶ τοῦ ἐν τῷ πολέμῳ, βούλεται* 255, B.
γὰρ κ. τ. λ. vid. add. Pariss. ad *Τοσοῦτον γὰρ ἐπ.*

Ὁρῶ μὲν οὖν] *Τὸν λόγον εἰς τρία μέρη τινὲς διαιροῦ-* ib.
σιν, ὡς κ. τ. λ. vid. add. Pariss., Leid. *οὔσης* post *Ἀθη-*

Digitized by Google

ταίων, εἰς δύο (prὸ δ', errore ex compendio nato) μέρη διαιροῦντες τὸν λόγον καὶ τὴν πανήγυριν εἰς ἡμέρας δ'.

255, D. Καθυφείς] Νῦν ἐπὶ τοῦ σιωπῆσαι καὶ ἡσυχάσαι εἶχε (f. εἶπε) τὸ καθυφείς.

ib. Συμβόλου] Σύμβολον κ. τ. λ. vid. add. Pariss.

256, A. Τὸν ὅλον] Vid. add. Pariss., Leid. ἀλλ' οὖν οὐκ ἔχω κυρὸν τὸν τῆς αὔριον· ἱερομηνίαν λέγει τοῦ μηνὸς ἡμέραν· ἱερομηνία οὖν καλεῖται διὰ τὸ ἱερὰν εἶναι ἡμέραν τοῦ μηνός. ὁμείνων (Cod. ἄμεινον) γὰρ δοκεῖ τῶν ἄλλων ἐν ᾗ πανηγυρίζομεν.

ib. Χρήσασθαι] Ἀντὶ τοῦ ἀπολαύειν τοῦ χρόνου τῆς πανηγύρεως.

256, D. Συγκεκληρωμένων] Τουτέστι πρεπόντων τῇ πανηγύρει· οὐδὲ γὰρ τῆς πανηγύρεως ὁ λόγος ἐστὶν ἐγκώμιον· ἑωλόν ἐστι τὸ χθεσινὸν ὄψον (Cod. ὄψιν), μεταφορικῶς οὖν εἶπε· τοῦτο δὲ εἶπεν, ἵνα μὴ δοκῇ ταὐτὰ λέγειν οἷς εἴρηκεν.

257, A. Ἀλλ' ἵνα] Ἐμφαίνει ὡς καὶ αὐτῶν μεγάλων ὄντων τῶν μελλόντων ῥηθήσεσθαι· ἤσθετο δὲ ἐκτείνας τὸ προοίμιον διὸ θεραπεύει· τὸ δὲ παραιτούμενος παραίτησιν ποιούμενος καὶ συγγώμην αὐτῶν.

ib. Πρὸς τοὺς ἐφεξῆς] Πάλιν ἐπιλογικὰ τυγχάνει τοῦ πρώτου μέρους· μετὰ γὰρ τῆς νίκης, φησὶν, ἦγετο πανήγυρις· τὸ δὲ ἑαυτῆς ἐγένετο ἀντὶ τοῦ ὑγίανεν· ὡς ἐπὶ τοσήματος δὲ εἶπεν, ὡσανεὶ ἔλεγεν, ὅτι ἐκ τοῦ κινδύνου ἔφυγεν.

257, B. Οἵας οὔτε] Ὥσπερ τὰ Ὀλύμπια καὶ τὰς ἄλλας ἑορτάς.

ib. Τακτὴ] Ἀντὶ τοῦ οὐκ ἔθος ἦν· οὐ γὰρ τοσαύτην ἔχει τὸ ἡδονὴν τὸ ὡρισμένον, ὅσον τὰ διὰ τὰ κατορθώματα γινόμενα, τακτὴ δὲ ὡρισμένη.

257, C. Ἐνθυμεῖσθαι (ed. εὐθυμ.] Ἀντὶ τοῦ εὐθύμως ἔχειν· παθητικῶς δὲ εἶπεν ἀντὶ ἐνθυμεῖν ἐνεργητικοῦ.

ib. Ἐπ' αὐτοῦ τ. τ.] Vid. ed.

257, D. Ἐπιγράμμασιν] Ἐπέγραψαν (Cod. ἐπέγραψε) γὰρ εἰς τὰ λάφυρα καὶ τὰς ἀσπίδας ὅτι ἀπὸ Μήδων λαβόντες ἀνέθεσαν.

258, A. Εἰς τοὺς κρείττους] Ἢ τοὺς Ἕλληνας δηλοῖ, ὅτι κρείττους ἦσαν κατὰ δύναμιν τῶν Περσῶν, ἢ τοὺς θεοὺς δηλοῖ, ὅτι βαρβάρων (sic) εἰς τὰ ἀγάλματα ἐμερίσθη.

Digitized by Google

Ἀντ' ἀναθήματος] Vid. ed., ubi quod ex selectis Leidd. dedi αὐτῆ, id falsum, Leid. cum Mon. αὕτη. Idem obtinet in ὅσαι, quod cum Mon. servat Leid., non ὅσον, uti utraque haec Wyttenb. aut Creuz. correxerat. 258, B.

Ἐν τῇ ὑπ.] Vid. ed., Leid. τῷ Ἀπόλλωνι, τῷ καλ. ib.

Καὶ τὴν τοῦ κύκλου] Τὰ μέτρα λέγει τοῦ τείχους, ἐπειδὴ ἐξέτειναν αὐτὰ καὶ πεποιήκασι τὸν περίβολον τοῦ προτέρου μείζονα καὶ ἔνδον περιλαβεῖν ἔρημα πολλὰ τῆς πόλεως. 258, C.

Καλλίων καὶ (ed. δὲ)] Vid. ed., Leid. οὖν πρὸ ἔγραψε τοῦτο Ἄδρ. 258, D.

Ἄκων] Ἀντὶ τοῦ οὐχ ἑκών τοῦτο ἐποίησα καὶ παραράπην (sic) τοῦ λόγου, ἀλλὰ διὰ τὴν ἀκολουθίαν. ib.

Ἐπιδεῖξαι] Τὸ πανηγυρίζειν καὶ τινὲς τοὺς θεοὺς (sic)· τοῦτο λέγει καὶ συμφέρον καὶ ἡδονὴν ἔχον. 259, A.

Τούς τε γὰρ] Ἀντὶ τοῦ ἐπ' ἴσης καὶ ὁμοίως τοῖς θεοῖς τιμᾶσθαι· ὥσπερ γὰρ αἰτίους τοὺς θεοὺς ἡγούμεθα τῶν ἀγαθῶν, οὕτω καὶ τὴν πόλιν ταῖς τότε νίκαις (f. τῆς τότε νίκης) νομίζομεν. 259, B.

Τὰ γὰρ σύμβολα] Σύμβολα λέγει τῆς εὐσεβείας τὸ ποιῆσθαι (l. ποιεῖσθαι vel πεποιῆσθαι) ἄγαλμα τῆς Ἀθηνᾶς· τοῦτο οὖν καὶ τεκμήριον ἦν κάλλους, ὡς δι' αὐτοῦ καλλωπιζομένης τῆς πόλεως. ib.

Ταῦτα τοῦ] Ἐνταῦθα ἡ ἀπόδοσις· ἀπὸ τοῦ πρώτου μὲν πανηγύρεις καὶ πρόσοδοι, ἀλλαχοῦ γὰρ οὐδαμοῦ ἀποδέδωκεν· εἰσβολὴ δὲ λοιπὸν ἐπὶ τὰ ἐν Ἀσίᾳ γενόμενα καὶ τὰ ἐν τῇ πεντηκονταετίᾳ στάδια. 259, C.

Οὐδ' ἐπὶ τοῖς] Ἀντὶ τοῦ μὴ ἡσυχάζειν ἐπὶ τῇ νίκῃ· ἀπὸ κοινοῦ δὲ τὸ ἐξαρκεῖν. ib.

Ἀλλ ὥσπερ ἐπίβασιν] Ὥσπερ ἐπὶ κλίμακος τοῦτο εἴρηκεν, ὥσπερ γὰρ ἑαυτὰς διαδέχονται αἱ κλίμακες, οὕτω καὶ αἱ πράξεις κατὰ τάξιν ἀλλήλοις διαδέχονται (f. ἀλλήλας διαδέχονται)· ἰδίως δὲ εἶπε τὴν λέξιν ἀντὶ τοῦ ἀρχὴν καὶ προοίμιον καὶ θεμέλιον. ib.

Τὰ δεύτερα] Ἐξηγεῖται αὐτά· ἐπάγει γάρ, ὅτι ἐποιεῖτο τὰ δεύτερα· σημεῖον δὲ τὸ ἀμύνεσθαι. 259, D.

Digitized by Google

260, A. *Δυοῖν γὰρ ὄντοιν*] *Τρεῖς διαφορὰς βούλεται εἰπεῖν πολέμου· ἕνα μὲν, ὅταν τίς τινι ἐπέρχεται ἀδίκως, δεύτερον δὲ, ὃν ποιοῦνται διὰ τῆς ἀμύνης οἱ ἀδικούμενοι, τρίτον, οὗ (l. ὅν) ποιοῦνται οἱ ἀδικηθέντες κατὰ τῶν ἐπελθόντων· τούτων πρότερον μὲν τὸν ἄδικον τοῖς βαρβάροις περίηψε, τοῖς δὲ δύο δικαίους τοῖς Ἀθηναίοις.*

ib. *Ἐὰν ἄρχῃ*] *Ὁ μὲν ἀρχόμενος πολέμου ὡς ἀνδρεῖος ὢν τοῦτο ποιεῖ, ὁ δὲ ἀμυνόμενος ἔχει μὲν τὸ δίκαιον, οὐ μέντοι τὴν ἀνδρείαν· οἱ οὖν Ἀθηναῖοι τὴν ἀρχὴν μὲν εἶχον τοῦ ἀμυνομένου, τουτέστι τὸ δίκαιον, ὕστερον δὲ διὰ τοῦ ἐπεξελθεῖν ἐν Μυκάλῃ* (Cod. Ἀμυκάλαις) *ἔδειξαν τὴν ἀνδρείαν.*

260, B. *Τῆς ἀνάγκης*] *Δηλοῖ τοῦ ἀρχαιοτάτου πολέμου.*

ib. *Διὰ τὸ φύσει*] *Τουτέστιν οὐ γίνεται ὁ ἀμυνόμενος· τὸ δὲ ἐκ περιουσίας ἐξ ὑπερβολῆς καὶ προαιρέσεως.*

260, C. *Ὁ δὴ τρίτον*] *Δύο εἰδῶν ὄντων τοῦ πολέμου τρίτον λέγει τοὺς Ἀθηναίους ἐξευρόντας, ἓν γὰρ τὸ κατάρξασθαι, ἕτερον δὲ τὸ ἀμύνεσθαι, τρίτον δὲ τὸ ἐπεξελθεῖν, ὅπερ καὶ πεποιήκασιν Ἀθηναῖοι.*

ib. *Ἐλευθερίᾳ*] *Ἀντὶ τοῦ τῷ εἶναι καθαρὸν καὶ ἐλεύθερον τοῦ ἄρχεσθαι τοῦ πολέμου· ἀεὶ δὲ οἱ κατάρχοντες τοῦ πολέμου ἀδικοῦσιν· οἱ οὖν Ἀθηναῖοι ἀρχόμενοι τοῦ ἐν Μυκάλῃ πολέμου, οὐκ ἠδίκουν, προηδικημένοι γὰρ ἦσαν ἐν τῇ Ἑλλάδι.*

260, D. *Τῇ τῶν ἀμυνομένων*] *Ἀντὶ τοῦ καταρχομένων, ὅτι ἀδικηθέντες ἠμύναντο· τύχην καλεῖ τὸν πόλεμον, τύχης γὰρ ἔργον.*

261, B. *Ἀληθινῆς*] *Καλῶς προσέθηκε τὸ ἀληθινῆς· τὸ γὰρ κατάρξασθαι πολέμου τοῦτο οὐκ ἀληθῶς ἐστιν ἀνδρείας ἀλλὰ πολλάκις καὶ θάρσους.*

ib. *Οὐχ ἧττον*] *Ἐκόλασεν αὐτοῦ* (sic, f. ἑαυτὸν, an ἐκόλασεν αὐτούς)· *οὐ γὰρ εἶπε μείζονα, ἀλλὰ οὐκ ἐλάττονα· πρὸς δὲ τοῦτο, ἵνα μὴ μόνον ἀνδρείαν δείξῃ τῆς πόλεως, ἀλλὰ καὶ σύνεσιν.*

261, C. *Καὶ καθαράν*] *Ἢ φανερὰν ἢ μεγάλην καὶ λαμπράν· ἐμφαίνει* (Cod. ἐφ.) *δὲ, ὅτι ὁ πολεμικὸς ἀπολαύει καὶ ἡσυχίας τὸ εἶναι φοβερὸς* (leg. τῷ ex add. Pariss.) *παρὰ τὸ Θουκυδίδειον· τὸ γὰρ κ. τ. λ.* vid. add. Pariss., Leid. *δραστηρίου*, in fine *ἀδικοῦντες.*

Digitized by Google

Διανοηθέντες] *Δοκεῖ σόλοικον εἶναι τὸ σχῆμα, ἔοικε δὲ ὑπερβατόν· τὸ δὲ τί χρὴ ἐν μέσῳ ἔστι, ἵνα οἱ διανοηθέντες ἐνίκων.* 262, A.

Ἐν Μυκάλῃ] Vid. ed., Leid. *ἰδιώζει* — praeterea haec addit: *οὐ μὴν ἐν ὀλίγῳ* (vid. Aristid.) *τῷ διαφόρῳ καὶ ὑπερβάλλοντι· λέγει δὲ, ὅτι οὐκ ἐνίκων οὖν, ὥστε τροπὴν ποιῆσαι μόνον, ἀλλ' ὥστε καὶ ἐξελύσαι αὐτοὺς ἐκ τῆς Ἑλλάδος.* ib.

Τῶν κατ' ἐμπορίαν] *Ἐμιμήσαντο, φησὶν, ἐμπόρους· ὥσπερ γὰρ ἐκεῖνοι πανταχοῦ προσορμοῦσιν ἐμπορίας χάριν, οὕτως Ἀθηναῖοι πανταχοῦ περιέπλεον.* 262, B.

Ἐπ' ἀγκυρῶν] *Οὐκέτι πρὸς τοὺς ἐμπόρους νοητέον, ἀλλ' ὡς πρὸς Ἀθηναίους, ἐπ' ἀγκυρῶν γὰρ ὥρμουν μὴ δυνάμενοι πείσμασι χρήσασθαι, τῶν πολεμίων διακοπτόντων αὐτά· ὥσπερ, φησὶν, οἱ ἔμποροι πανταχοῦ διὰ τὴν ἐμπορίαν προσπλέουσιν, οὕτω καὶ Ἀθηναῖοι πανταχοῦ προσωρμίσαν τοτοὺς ἐμπόρους μιμούμενοι.* ib.

Ἐν ᾧ παρῆκεν] *Ἐκεῖνος γὰρ παρῆκε τὸ κολάσαι καὶ τιμωρεῖσθαι τοὺς ἀδικήσαντας· διὰ γὰρ τὴν διάδοσιν ἀπῆει τοῦ σίτου, καὶ οὐχ ἵνα κολάσῃ τοὺς ἀδικοῦντας.* ib.

Εὖ ποιῶν] *Ἀντὶ τοῦ ὡς ἔτυχε καὶ κακοὺς καὶ ἀγαθοὺς εὖ ποιῶν· τῆς φύσεως δὲ εἶπεν, ἐπειδήπερ οὐκ ἤλπισαν ὡς ἄνθρωποι ἡττηθῆναί ποτε ἀλλ' ἀεὶ νικᾶν.* ib.

Διὰ τῶν δεχομένων] *Τῶν ἐπιδεχομένων, οὐδὲ γὰρ πάντες οἱ ποταμοὶ ναυτικά.* 262, C.

Χορείαν] Vid. add. Pariss. 262, D.

Ἔπειτ' ἀπῆραν] Vid. ed., Leid. *Ὑπέστρεψάν φησι·* καὶ *Θ.* 263, A.

Τῷ Αἰγυπτίων] *Ὡς φοβερὸν τοῦτο λέγει τὸ πέλαγος· λέγεται γὰρ μέγα εἶναι.* 263, C.

Τῶν (ed. *τῶν*) *Περσῶν*] *Τὸ πρᾶγμα εἶπεν ἀντὶ προσώπου· ἐχρῆν γὰρ εἰπεῖν τοὺς ἀρχομένους.* ib.

Δύο τρόπαια] Vid. ed., addit Leid. quae leguntur in add. Pariss. ib.

Περιεγένετο] *Παραδόξως τὸ περιεγένετο εἶπεν ἀντὶ τοῦ ἐκάρδανε· κέρδος δὲ εἶπε τὸ ἐπίσημον αὐτοῦ γενέσθαι τὴν χώραν τοῖς τροπαίοις.* 263, D.

Digitized by Google

264, A. *Οὐ λινοδέσμῳ*] *Τὸ ἀπὸ λίνου σχοινίον λινόδεσμον καλεῖται, ὃ λέγομεν καινάβινον.*

264, B. *Ἐφοδίοις*] *Ἀντὶ τοῦ ἰδίοις καὶ οἰκείοις* (Cod. *οἰκίοις*) *πλεονεκτήμασι· τὸ δὲ ἐφοδίοις καταχρηστικῶς ἐπ' ἀνδρείας εἶπε· κυρίως γὰρ τὰ ἐν τῇ ὁδῷ ἀναλώματα ἐφόδια καλοῦνται.*

ib. *Εἰ δὲ βούλει*] *Τὸ σχῆμα διορθωτικόν, ὡς τὸ μᾶλλον· καὶ ταῦτα οὖν, φησὶν, ἀνδρείας ἐστὶ δῶρα, οὐ τύχης.*

ib. *Καὶ τοῖς χείροσιν*] *Ὁ ἀνδρεῖος γὰρ τοῦ ἀσθενοῦς* (fort. *τὰ τοῦ ἀ.*) *λαμβάνει.*

ib. *Ἐπιεικῶς*] *Ἀντὶ τοῦ γνησίως καὶ βεβαίως.*

264, C. *Ὥστ' ἐκινήθησαν*] Vid. ed., Leid. *γὰρ καὶ Θ.* — *ἀπέστη ἀπὸ β.*

264, D. *Διὸς ἤδη*] *Δεύτερον ἀποστάντας Αἰγυπτίους Πέρσαι κατεδουλώσαντο, ἅπαξ ἐπὶ Καμβύσου καὶ ἅπαξ ἐπὶ Ξέρξου* (sed vid. add. Pariss.)

ib. *Τῶν ἐξ οὐρανοῦ*] *Οὐράνια καλεῖ βέλη, ὡς εἶπεν ὄπισθεν διοσημείας, κεραυνοὺς, βροντὰς καὶ τὰ τοιαῦτα.*

265, A. *Τῶν εἰς κοινὸν*] *Ἀντὶ τοῦ ὑπὲρ τοῦ κοινοῦ ἢ τοῦ κοινὴν ἐχόντων φροντίδα.*

ib. *Τὴν μὲν οἰκείαν*] *Διὰ τὸ καταφρονῆσαι αὐτῆς· κακίαν οὖν λέγει τῇ ἀσθενείᾳ· λέγει δὲ, ὅτι τὴν τῶν ἀσθενῶν πόλιν ἀλλοτρίαν αὐτῶν ἐνόμισαν, ὡς ἀναξίων αὐτῶν ἔχειν* (Cod. *ἔχει*) *τὴν πόλιν.*

ib. *Φυλάκων* (Cod. *Φυλάκην*)] Vid. add. Pariss.

ib. *Διὰ πάσης*] *Ἀντὶ τοῦ ἁπανταχοῦ Ἑλληνικοῦ· πανταχοῦ γὰρ ἦσαν οἱ ἄποικοι Ἑλλήνων.*

265, B. *Ἀλλὰ τοὺς πλεῖστα*] *Οὐκ εἶπε τοὺς πλεῖστα δυναμένους δρᾶν, ὑβρίζει γὰρ Ἀθηναίους, ἀλλ' εἶπε πάσχοντας, ἵνα δείξῃ αὐτοὺς ἰσχυροὺς, λέγει δὲ τοὺς Πέρσας· ἐγκώμιον δὲ καὶ τοῦτο Ἀθηναίων τὸ πρὸς ἰσχυροὺς ἔχειν.*

ib. *Ἀνθ' ὧν*] *Τὸ ἀντιπίπτον λύει, ἀλλ' οὐδ' ἐνίκησαν· οὐδὲν γὰρ ἔβλαψαν· ἀλλ' ὅσον, φησὶν, ἦκεν εἰς αὐτοὺς, ἠδίκησαν· τῆς οὖν γνώμης καὶ τῆς ἐπιχειρήσεως δίκαιον ἐνόμιζον ἀμύνασθαι αὐτούς.*

Digitized by Google

Ὕλην ἐπηρμένος] *Ὕλην, φησὶ, βαστάζων ἠγωνίζετο καθάπερ ὅπλῳ τῇ ὕλῃ χρώμενος ἵνα θᾶττον ἡττηθῇ.* 265, C.

Ἀλλ' ἀνηλίσκετο] *Πρὸς τὸ παράδειγμα εἶπε τοῦτο· ὥσπερ γὰρ, φησὶ, καὶ ἡ ὕλη αἰτία τοῦ καίεσθαι γίνεται.* ib.

Καὶ τὴν χώραν] *Χώραν λέγει τὴν Ἀσίαν· ἤσθετο οὖν, φησὶ, τὴν χώραν τὴν ἑαυτοῦ ὁρμητήριον οὖσαν κατ' αὐτοῦ, ὅτι δι' αὐτῆς οἱ Ἀθηναῖοι ὁρμώμενοι ἔβλαπτον αὐτόν.* 265, D.

Ἐκ γῆς καὶ θαλάττης] Vid. ed. 266, B.

Οὐδ' ὡς] Vid. ed. ib.

Πρύμναν] *Παροιμία ἐπὶ τῶν πρὸ ὀλίγου* (f. *πρὸς ὀλίγον*) *ὑποχωρούντων· εἴρηται δὲ ἀπὸ τῶν ὑποχωρούντων ἐν ταῖς ναυμαχίαις.* ib.

Μυρίας στ.] Vid. ed. ib.

Καὶ ἀρχῆς] *Εἶπεν ἄνω μυριάδας σταδίων παρακεχωρηκέναι αὐτοῦ· εἰκότως οὖν οἱ βάρβαροι τουτέστιν οἱ οἰκοῦντες τὴν χώραν ἦσαν ἐλεύθεροι· Πηνειὸς ποταμὸς Θετταλίας ἔξω τῶν τῆς Ἑλλάδος πυλῶν.* 266, C.

Ὄμφαλον] Vid. ed., ad quae laudat Geelius V. D. Schol. et Heyn. ad Pind. Pyth. IV, 6. 266, D.

Ἀντ' ἄλλου τινὸς] *Ὡς ἐπὶ στεφάνου εἶπε, σημαίνων δόξαν καὶ νίκην.* 267, B.

Κατέκλεισε] Vid. ed., Leid. *κατακλείσετε* — add. Leid. *Καλῶς εἶπεν ἐναντιώμασι* vid. add. Pariss. ad h. v., Leid. *καθ' ὕπτη* pro *καλύπτει* — *βουλομένη* — quae in add. sequuntur inde a: *τὰς δὲ τῶν Ἑλλ.*, desunt in Leid. 267, C.

Ἀνθελκόντων] *Ἀντὶ τοῦ ἐπισπωμένων καθ' ἑαυτῶν.* 267, D.

Αἰγινητῶν] Vid. ed. 268, A.

Τὰ ναυτικὰ πρώτους] Vid. ed. ib.

Κορινθίων] Vid. ed. ib.

Καὶ Θασίων] Vid. ed. 268, B.

Καλούντων δὲ] *Πάλιν πρὸς συμμαχίαν, ἢ ἀντὶ τοῦ ἀποστῆναι θελόντων καὶ μηκέτι εἶναι ὑπηκόων δηλονότι εἰς συμμετρίαν καὶ διὰ τὸ ἱερὸν, ὡς φησιν ὁ σ. κ. τ. λ.* vid. ed., Leid. *Εἴλωτος.* — ib.

Ἢ καὶ δ.] *Τὸ ἢ ἐνταῦθα ἀντὶ τοῦ διό ἐστι· σοφίζεται δὲ πάλιν, τὴν γὰρ ἀδικίαν αὐτῆς περιστέλλει, ὅτι, φη-* 268, C.

Digitized by Google

σὶν, ἐν τῇ Ἀσίᾳ ὑπὲρ αὐτῶν πολεμοῦσα οὐκ ὠργίσθη καὶ ἀπέστη πολεμουμένη ὑπ' αὐτῶν.

ib. Μεγαλοψυχίας] Νῦν λέγει τὴν καταφρόνησιν, ὅτι οὐκ ἐλυπήθη ἐπὶ τοῖς Ἕλλησι.

269, A. Χωρὶς τοῦ] Ὑπέρβατόν ἐστι· τοῦτο γὰρ πρὸς τὸ χωρὶς ἀποδέδωκεν, ἵνα χωρὶς τοῦ ὑπάρχειν τινὰ γνώμην θαυμάσαι· τοῦτο ταῦτα δὲ (Cant. em. τοῦ τοσαῦτα δὲ, sed f. τοῦ πρὸς τοσαῦτα ex ipso Aristide) τοῦ πολεμεῖν καὶ μετὰ τῶν Ἑλλήνων καὶ μετὰ τῶν βαρβάρων· τὸ δὲ χωρὶς ἀπὸ κοινοῦ.

ib. Τῆς δὲ παρασκευῆς] Ὑπέρβατόν ἐστι· χωρὶς τοῦ παρέχειν θαυμάσαι τῆς παρασκευῆς τὴν ὑπερβολὴν καὶ τῆς γνώμης τὴν ἀνδρείαν.

269, B. Οὕτω διωκήσατο] Περιεγένετο, φησὶν, τῶν δύο, ὥσπερ ἕνα μόνον ἔχουσα πόλεμον ἢ Ἑλληνικὸν βαρβαρικόν (f. ἢ βαρβ.).

ib. Τοῖς ἐνοχλοῦσι] Ἡ γὰρ λέξις τὴν ἀσθένειαν τῶν ἐναντιουμένων ἐδήλωσεν· οὐ γὰρ ἔβλαπτον, ἀλλ' ἠνώχλουν· ὥσπερ, φησὶν, οἱ ἀριθμο, [1] ἑνὶ μὲν ὀνόματι κέχρηνται, πολλὰ δὲ περιέχουσιν, οὕτω καὶ ἐπὶ τῶν Ἀθηναίων.

269, C. Ἐνίκων δ' Αἰγινήτας] Ἐνίκων γὰρ τότε καὶ ἔλαβον τῶν Αἰγινητῶν ναῦς ῡ, Λεωκράτους τοῦ Στροίβου στρατηγοῦντος· Αἴγινα δέ ἐστι νῆσος ἐπικειμένη τῇ Πελοποννήσῳ.

ib. Ἐνίκων δὲ Κορινθίους] Vid. add. Parisa. ad Αἰγύπτων. Leid. Ἀποστάσης Αἰγ. — κατ' Αἰγίνης· οἱ Κορ. βοηθεῖν Αἰγινήταις — βουλόμενοι καταλαμβ. — οἱ φυγόντες δὲ Κορ. — τρόπαιον κατέλαβον — ταύτην sine καὶ — ἡ ἱστορία δὲ κ. τ. λ. vid. ed. — Leid. Μυρανίδου.

270, A. Ἀπῆσαν] Τῇ ἀπουσίᾳ τῇ πρὸς τὸν βάρβαρον.

ib. Αἰγυπτίων χρείαν] Ἦγουν συμμαχίαν, ὠφελείαν καὶ τὰ δεύτερα (sic)· ἐκίλεσε τὴν ἀποτυχίαν τοῦ νομίσαι σχολάσαι τοὺς Ἀθηναίους ἐλθεῖν κατ' αὐτῶν καὶ διὰ τοῦτο μὴ λαβεῖν τὰ Μέγαρα.

1) Aristidis lectio h. l. incerta. Nam Scholiastem legisse οἱ ἀριθμοῦντες ipsum Scholion declarat.

Digitized by Google

Βοὴ θυῦσιν] Ἐξέρχονται· βοήθειαν γὰρ καλεῖ τὴν ἔξοδον. 270, C.

Ἀκμῆς] Vid. ed., Leid. ὑπερίζων. ib.

Προσαιμήκεσαν] Ἀντὶ τοῦ προσηυτελήκασιν ἑαυτοῖς τουτέστι πεπόνθασι. ib.

Συσκευασθῆναι τοῦτο τὸ δεύτερον] Τὸ δεύτερον λέγει, ὅτι καὶ δεύτερον ἐπεστράτευσαν οἱ Κορίνθιοι. 270, D.

Ὥσπερ ἐν δράματι] Vid. ed., Leid. item ἐν γράμμασι. ib.

Ἀντιλαβὴ] Οἱονεὶ ἀντιλογία καὶ καταφυγή, ἠδύνατο γὰρ ἀμφισβητεῖν τῆς νίκης· ἡ δὲ δευτέρα μύχη τὴν δευτέραν (sic) ἐβεβαίωσε. 271, A.

Καί τοι τοὺς ἀγωνιστὰς] Ὅτι Ἴσθμια ἄγουσιν οἱ Κορίνθιοι τῷ Ποσειδῶνι τοὺς ἀθλητὰς ἀναγκάζοντες, φησὶ, παλαίειν· καὶ τῷ (f. τὸ) τρίτον τικῶν ψηφιζόμενοι αὐτοὶ τρίτης πειρασθῆναι συμβολῆς οὐκ ἐθέλησαν· ἔστι δὲ χαριεντισμὸς τὸ κῶλον· τρίτον δὲ ἠγωνίζοντο διὰ τοῦτο, ἵνα μὴ δόξῃ τύχης εἶναι καὶ προτέρα νίκης (f. νίκη), δευτέρα (f. δευτέραν ἐπάλαιον· τὸ δὲ τρίτον πρὸς τέρψιν ἐγίνετο. 271, B.

Περίπλοις] Ἐπειδὴ οὐκ ἀεὶ οἱ περίπλοι πολέμιοί εἰσιν, ἀντιδιαστέλλων εἶπε. 271, C.

Κρατεῖν] Ἔλαβον μὲν γὰρ τὴν Χαλκίδα, καὶ Σικυωνίων ἐκράτησαν. ib.

Στρατηγὸς ἐπὶ στρ.] Ἀντὶ τοῦ ἄλλος ἐπ' ἄλλῳ, ἵνα δείξῃ τὴν συνέχειαν τοῦ παρατυγχάνοντος. ib.

Ἐκέκλειστο] Ἀπ' αὐτῶν Ἀθηναίων, ὅτε ἐν Τανάγρᾳ (Cod. Τανάγραις) συνέβαλον Λακεδαιμονίοις· βιάζεται δὲ τὴν νίκην τῶν Λακεδαιμονίων περιτρέψαι. ib.

Κρισαῖος] Καλεῖται κόλπος ὁ μεταξὺ τῆς ἠπείρου καὶ τοῦ Ἰσθμοῦ. 271, D.

Ὅποι σ.] Vid. ed. 271, A.

Ἐν Τανάγρᾳ] Vid. ed. cum add. Pariss. ib.

Τοῦ τολμήματος] Ἴσην μύχην εἶπε γενέσθαι καὶ Ἀθηναίοις χαριζόμενος καὶ τὴν ἀλήθειαν αἰσχυνόμενος. ib.

Ἔδοξαν] Καί τοι ἔσχον τῇ ἀληθείᾳ τὸ πλέον· ἀλλὰ βιάζεται ὡς ἔφαμεν, τὴν νίκην αὐτῶν ἧττον δεῖξαι. ib.

Καὶ κινδυνεύει] Ἐζήτηται (Cod. ἐξήρτηται) διατί μὴ μᾶλλον τοῦτο ἐσιώπησεν ὡς φαῦλον καὶ ἔφυγεν, εἴγε Ἀθη- 272, B.

Digitized by Google

ναῖοι ἡττήθησαν, ὥσπερ καὶ τῆς ἐν Αἰγύπτῳ συμφορᾶς πεποίηται; καὶ λέγομεν, ὅτι ἐκ τῶν μετὰ ταῦτα συμβάντων σοφίζεται, Λακεδαιμονίων γὰρ τὴν ἀναχώρησιν λέγει φυγήν, σὔτε γὰρ νικήσαντες παρέμειναν· τὴν δ' Ἀθηναίων νίκην ἐκ τοῦ ἐπεξελθεῖν Βοιωτοῖς πιστοῦται.

272, C. Βοιωτοὶ] Μετὰ γὰρ τὸ ἀναχωρῆσαι Λακεδαιμόνιοι ἐστράτευσαν κατ' αὐτῶν καὶ νενικήκασιν αὐτούς.

ib. Καὶ Λοκροὶ] Vid. add. Pariss., Leid. ὡς μὴ ἁρμότον ἐγκωμίον (l. ἐγκωμίῳ).

273, A. Ἀνθ' ὧν τῷ] Ψεύδεται· οὐ γὰρ τούτου χάριν ἐστράτευσαν, ἀλλὰ βουλόμενοι τὴν Βοιωτίαν κτήσασθαι. σιωπᾷ οὖν τὸ τῆς πλευνεξίας. ἑτέραν δὲ λέγει αἰτίαν τὸν μηδισμόν.

ib. Ἕτερον δ' ἔργον] Τὸ φιλάνθρωπον βούλεται εἰπεῖν· ὃ καὶ ἴδιον καλεῖ τῶν Ἀθηναίων.

ib. Καὶ δηλοῦν] Ἄνευ γάρ, φησὶ, τῆς προσηγορίας δηλοῖ τὸ ἔργον τοὺς δράσαντας.

273, B. Τῶν περιοίκων [Τῶν περιοικούντων τὴν Σπάρτην τὴν μητρόπολιν.

ib. Οὐκ ἔφθησαν] Ἐν τούτῳ ἐπεκαλέσαντο τοὺς Ἀθηναίους διὰ τὴν τειχομαχίαν τῶν εἱλώτων ἀποστάντων· ἀπῆλθον δὲ Κίμωνος ἀντὶ τοῦ στρατηγοῦντος (sic, f. αὐτῶν στρ.)

273, C. Ὃ καὶ τοὺς παρ.] Ψεύδεται· μεταξὺ γὰρ ἀπέπεμψαν αὐτοὺς, ὑποπτεύσαντες αὐτῶν τὸ νεωτεροποιόν.

ib. Καὶ δίκην λαβεῖν] Τοὺς Λακεδαιμονίους περὶ Μεσσηνίων, ὕ ἐστι τῶν Εἱλώτων. Ἦθος λέγει τὴν αἰτίαν· ὅτι ὑπὲρ τὰ τρόπαια τὴν αἰτίαν δεῖ θαυμάζειν, ὅτι κινδυνεύουσιν ἐβοήθουν.

ib. Ἔξεστι] Ἀντὶ τοῦ δυνατὸν δὲ ἐκ (f. δεῖ ἐκ) τούτου σημαίνεσθαι (sic Geelius V. D. rescripsit pro σημαίνειν, interpretans *colligere, conjicere*) τὸ πλῆθος.

274, A. Εἰρήνην π.] Vid. ed.

274, B. Οὐ γὰρ ἦν] Ζητεῖται, πῶς τὴν Εὔβοιαν λαβόντων Ἀθηναίων φησὶν, ὅτι οὐδὲν ἀνταπέλαβον; λέγομεν, ὅτι τὴν Εὔβοιαν οὐ παρὰ Λακεδαιμονίων ἔλαβεν, ἀλλ' αὐτὴν παρεστήσατο (f. ἔλαβον — παρεστήσαντο)· τοῦτο δὲ σημεῖον

Digitized by Google

ποιεῖται τοῦ νενικηκέναι, ὅτι μὴ δυναμένων λαβεῖν ἐκείνων τὰ ἑαυτῶν, αὕτη ἀπέδωκεν.

Ἀμφοτέρων] Περσῶν καὶ Πελοποννησίων· καὶ Περσῶν μὲν ὁμοῦ μὲν ἐν Σαλαμῖνι, χωρὶς δὲ ἐν Μαραθῶνι. Πελοποννησίων δὲ χωρὶς τῶν συμμάχων, ὅτε ἐσέβαλον ἐν τῇ Πελοποννήσῳ· ὁμοῦ δὲ μετὰ τὴν συμμαχίαν ἐν Αἰγίνῃ. 274, C.

Μόνη δ' ἐκ τῶν] Τοῦτο λέγει νίκην, ὅτι εἰσὶν (sic) ἡγεμονίαν ἔλαβε παρὰ τῶν Ἑλλήνων· ἀντὶ (sic) γὰρ ὁρῶντες αὐτὴν τοιαύτην προσεβάλλοντο ἡγεμόνα αὐτὴν ἑαυτῶν. 274, D.

Οὐ γὰρ ἐξ ὧν] Οἱ γὰρ δεσπόζοντες ἀεὶ δεσποζουσι τῶν ἡττωμένων. 275, A.

Τοὺς αὐτοὺς χρόνους] Ἀντὶ τοῦ εἰς καιροὺς τοῖς μὲν Ἕλλησι ἤνεγκε τὴν ἐλευθερίαν, τοῖς δὲ Ἀθηναίοις τὴν ἡγεμονίαν. ib.

Αἱρετὸς] Χειροτόνητος ἀπὸ δοκιμασίας. 275, B.

Οὕτω δὲ τούτων] Vid. ed. 275, C.

Μέχρι τινὸς] Vid. ed. ib.

Τῆς δὲ κοινῆς] Ἐντεῦθεν ἄρχεται τοῦ Πελοποντησιακοῦ πολέμου τῶν χρόνων· ῥητορικῶς δὲ ἐπὶ τὴν τύχην ἀνάγει τὴν αἰτίαν, ἵνα μὴ ἀπὸ Λακεδαιμονίων αὐτὴν εἴπῃ προσελθοῦσαν· αὐτοὶ γὰρ δεδιότες τοὺς Ἀθηναίους ἐνίκησαν τὴν μάχην· κοινὴν δὲ τὴν τύχην εἶπεν, ὅτι κοινῇ πάντες ἄνθρωποι σχεδὸν πρὸς ἀλλήλους ἐπολέμησαν, ἢ ὅτι κοινόν ἐστι τοῦτο τὸ ἔργον τῆς τύχης κατὰ πάντων ἀνθρώπων, τὸ μὴ ἐᾶν ἐπὶ τῶν αὐτῶν τὰ πράγματα, ἀλλὰ κινεῖν· εἰ δέ τις εἴποι, τί οὖν ἐν τῇ πεντηκονταετίᾳ οὐκ ἐνεωτέρισαν; πῶς οὖν ὡς μέγα τι τὸ νῦν λέγει; ἐροῦμεν, ὅτι ἐκεῖ ὀλίγοι πρὸς ὀλίγους τινὰς ἐμάχοντο, ὅπερ οὐκ ἦν μέγα, ἐνταῦθα δὲ κοινὸς τῶν Ἑλλήνων ὑπῆρχεν ὁ πόλεμος. ib.

Οὐχ ὧν εὖ ἔπ.] Vid. ed. ib.

Κατασχεῖν] Vid. ed., Leid. item ἐδεᾶτο — δίκην. — 276, A.

Ὅτε ἐνίκησεν] Καὶ μὴν Λακεδαιμόνιοι περιεγένοντο, ἀλλ' οὐ τὸ τέλος τοῦ πολέμου λέγει, ἀλλὰ καὶ τὸ μέσον, ὅτι τοὺς αὐτῶν ἔλαβον Ἀθηναῖοι ἀπὸ (f. ἐπὶ) τῆς Σφακτηρίας. ib.

Καὶ μηδὲν] Ἀντὶ τοῦ ὡς ἔχαιρε λαβοῦσα καὶ ἀποδιδοῦσα ὁμοίως. ib.

Digitized by Google

276, B. Τὰς ἐν Ναυπάκτῳ] Vid. ed., quibus addit Leid.: δύο δὲ οὐδῶν αὐτὸς πολλὰς αὐτὰς ὀνομάζει αὐξῆσαι θέλων.

ib. Ἃς οὔτε παρὰ] Ἀντὶ τοῦ οὐ κατὰ μικρὸν, ὥσπερ μόνον διῶξαι αὐτούς. (Vid. add. P.)

ib. Οὔτε ὀλίγῳ] Ἐν μὲν γὰρ τῇ πρότερον (l. προτέρᾳ) εἴκοσι ναυσὶ μζ καὶ ἐν τῇ ὑστέρᾳ νζ ταῖς αὐταῖς ἐνίκησαν (vid. add. Pariss.).

ib. Κέρκυραν] Κινδυνεύουσαν ὑπὸ Κορινθίων ἐῤῥύσαντο.

ib. Κατ' Ἀμβρακίαν] Ὅτε Ἀμβρακιῶται ἐμαχέσαντο κατὰ Ἀμφιλόχων στρατευόμενοι (add. Pariss. στρατευομένοις).

276, C. Κατ' αὐτὴν δὴ τὴν Πύλον] Τὸν καιρὸν αὐτόν· σημαίνει δὲ τὴν πανήγυριν τῶν Ἀθηναίων.

277, A. Πενταετ.] Vid. ed.

ib. Οὐκ ἂν διὰ π.] Ἅπαντα τὰ πραχθέντα αὐτοῖς εἴπωμεν.

277, B Ἀλλ' ἐὰν μηδὲν] Τουτέστιν οὐ πᾶσαν πρᾶξιν φιλανθρωπίαν σημαίνουσαν, ἀλλ' ἓν πρᾶγμα χαρακτηρίζον φιλανθρωπίαν.

ib. Ὡς δὲ ἐδόκει] Ὃ εἶπεν ἔμπροσθεν τύχην, ἣν (sic. G. pro ᾧ) δαίμονα ἐκάλεσε· βούλεται δὲ ἐπὶ τὰ Σικελικὰ μετελθεῖν, ἔνθα ἠτύχησαν Ἀθηναῖοι.

ib. Κλυσθῆναι] Ἀντὶ τοῦ κατακλυσθῆναι ταῖς συμφοραῖς.

ib. Ἐκ τῆς ὑπερορίας] Ἀπὸ Σικελίας, ὥστε βοηθεῖν Λακεδαιμονίοις Ἀθηναίους· εἰς τὴν ὑπερορίαν δὲ, εἰς αὐτὴν τὴν Σικελίαν.

ib. Κατὰ συμφορὰς] Οὐ λέγει, ὅτι ἀπῆλθον ἐπὶ τὸ παθεῖν, ἀλλὰ διὰ τὰς συμφορὰς, ἃς ὑπέμειναν ἐν Σικελίᾳ Ἕλληνες ὑπὸ Συρακουσίων.

277, C. Ὑπὲρ τῶν Αἰγεσταίων] Σοφίζεται ὁ ῥήτωρ· οὐ γὰρ (sic Geelius pro τί, qui idem mox ἐστράτευσαν pro ἐστράτευσε) ὑπὲρ Λεοντίνων συγγενῶν ὄντων ἀδικουμένων ὑπὸ Συρακουσίων δῆθεν ἐστράτευσαν, τῇ δὲ ἀληθείᾳ ἐπιθυμοῦντες Σικελίαν κτήσασθαι καὶ τῇ τῶν Αἰγεσταίων ἐπαγγελίᾳ δελεασθέντες· οἱ δὲ Αἰγεσταῖοι σύμμαχοι μὲν Ἀθηναίοις, βάρβαροι δὲ τὸ γένος ἐν Σικελίᾳ οἰκοῦντες.

277, D. Τοὺς ἐν Σικελίᾳ] Ἵνα πάλιν τούτους καταδουλώσωνται· οὐδὲ γὰρ, ὡς λέγει, διὰ τοὺς ἐν Σικελίᾳ Ἕλληνας,

Digitized by Google

ὅτι ἦσαν ἀδικηθέντες ὑπ' αὐτῶν· παραλογίζεται οὖν· πρὸ δὲ τῶν Μηδικῶν ἐπῆλθον Καρχηδόνιοι τοῖς Σικελιώταις, καὶ μετὰ τὸν Πελοποννησιακὸν πόλεμον ὕστερον ἐπὶ Διονυσίου τοῦ τυράννου.

Ὥσπερ ἀπὸ πάσης] Τοῦτο δηλοῖ τὸ πλῆθος· βουληθεὶς γὰρ σημάναι οὕτως εἶπε. ib.

Ἀντέπεσε] Ἀντὶ τοῦ ὡς ἠναντιώθη τὰ τῆς τύχης· θέλει δὲ καὶ τὴν δυστυχίαν αὐτοῦ ἐν ἐγκωμίου τάξει λαβεῖν· ἐζήτηται δὲ περὶ τῆς τέχνης παρακελευομένης ἐν τοῖς ἐγκωμίοις σιωπᾶν καὶ φεύγειν τὰ φαῦλα· ὁ ῥήτωρ ὁμολογεῖ τῶν Ἀθηναίων τὴν ἧτταν; λέγομεν, ὅτι οὐδὲν ἄτοπον ὁμολογεῖ, ὅτε ἐκ τοῦ νομιζομένου κακοῦ ἔχομέν τι ἀγαθὸν δεῖξαι γενόμενον καὶ ἀρετῆς ἐχόμενον. 278, A.

Ἀλλ' ἀπόντων] Vid. ed. ib.

Βελῶν] Τῶν πρὸς πολιορκίαν ὀργάνων. 278, B.

Μεθεστηκυίας] Ἀντὶ τοῦ ἀπολογουμένης· δύναται δὲ καὶ ἐπὶ μετοικήσεως ἡ λέξις νοεῖσθαι, οὕτω· γὰρ ἐπιφέρει, ὅτι τοσαύτην ἐκεῖ ἀπέστειλαν παρασκευήν, ὡς μᾶλλον κτίσαι Σικελίαν. ib.

Λακεδαιμονίων κ. Β.] Οὐ τῶν ἐν Σικελίᾳ, ἀλλὰ τῶν ἐν Ἑλλάδι. ib.

Ἐκ Δεκελείας] Vid., ed. ex marg. Schell., sed Leid. 278, C.
Λακεδαιμόνιοι κώμην, οὖσαν τ. —

Καὶ τῶν οἰκετῶν] Τῶν αὐτομολησάντων· λέγει δὲ δύο μυριάδας αὐτομολῆσαι (Quis dixit? Thucydidesne, an Aristides, an enarrator, unde excerpta in Leida servantur?) ib.

Τοῖς βουλομένοις] Ἐπειδὴ οἱ λοιποὶ ἑώρων τοὺς αὐτομολοῦντας οὐ τιμωρουμένους. ib.

Περιουσίαν καρτερίας] Καρτερικοὶ προσφέρειν τὰς τοσαύτας. 278, D.

Ὥσθ' ἕτερον] Ἡττηθείσης γὰρ τῆς πρώτης δυνάμεως ἐν τῇ Σικελίᾳ καὶ γράψαντος Νικίου, ὡς δεῖται στρατοῦ, ἀπέστειλαν ἄλλο στράτευμα καὶ αὐτὸ ἡττήθη. ib.

Καὶ στρατηγοὺς ἐφαμίλλους] Vid. ed., Leid. item Νικίᾳ, leg. Νικίου — νεφρίτιν —

278, A. *Ποίᾳ ταῦτ' ἔνεστι*] Ἡ σύνταξις οὕτως· τὸ δὲ μηδὲ ὡς ἀντέπεσε τὰ πράγματα ἐφεξῆς, μηδὲ τοσαύτην περιουσίαν καρτερίας ἐνδείξασθαι, ποίᾳ ταὐτ' ἔνεστι ψυχῇ παραβαλεῖν ἀνθρωπίνῃ.

ib. *Καί τινος οὐκ εὐτ.*] Τοῦτο δὲ λέγει, ὅτι εἰ μήτε εἴη εὐτύχει (sic), οὐ δύναται ἀξίως θαυμάσαι.

ib. *Οὐ γὰρ οὖν σιωπήσομαι*] Ἐνταῦθα φανερῶς ὁμιλεῖ τὴν συμφορὰν τῶν Ἀθηναίων ἐν Σικελίᾳ· παραδύξως δὲ ἐπιχειρεῖ τὸ ἀτύχημα τῶν Ἀθηναίων εἰς ἐγκώμιον μεθοδεύων· ἐπειδὴ δὲ ἤσθετο ἄτοπον ποιῶν ἐν ἐγκωμίῳ μεμημένος συμφορῶν ἐπάγει οὐ γάρ οὖν σιωπήσομαι· τοῦτο γὰρ δείκνυσι τὴν ἀνδρίαν τῆς πόλεως, ὅτι μετὰ τὴν ἧτταν οὐκ ἐπαύσατο τοῦ πολεμεῖν, οὐδὲ ὑπῆξαι (f. ὑπεῖξε) τῇ τύχῃ.

ib. *Ἔτι μείζω*] Πρὸς τοῦ (f. τοὺς) φάσκοντας μὴ δεῖν ὁμολογεῖν ἀτυχίαν ἐν ἐγκωμίοις ἀποτείνεται.

ib. *Τοῖς ὑπολοίποις*] Ἀντὶ τοῦ τῷ μετὰ ταῦτα πολέμῳ· πράγματα γὰρ εἶπε τὸν πόλεμον.

279, B. *Τὴν μὲν τῶν τρόπων*] Vid. add. Pariss., Leid. τὸ τοῦ εὐκόλου — ἔχειν δοκεῖ γὰρ π. ὁ τοῦ τρόπου — δὲ ὁ Θ. — οὐκ ἔτι — addit Leid. ὑπὲρ τοῦ μηδὲν ποιῆσαι, τουτέστι παραχωρῆσαι τοῖς Λάκωσι, vid. ed. ad ὑπὲρ τοῦ μηδὲν κ. τ. λ.

ib. *Καὶ τάξιν*] Ὑπὲρ τοῦ μὴ εἶξαι Λακεδαιμονίοις συτέστειλαν τὴν δίαιταν.

279, C. *Ὑπαρχόντων*] Διατί λέγει τῶν ὑπαρχόντων; καίτοι εἶχον πολεμίους· ἀλλ' ὑπάρχοντας καλεῖ τοὺς Λακεδαιμονίους μετὰ τῶν ἄλλων Ἀλκιβιάδου ἀποστάντος, ὅπερ περὶ τῶν ἡρώων ἐρίνετο (Quae emenda ex add. Pariss.) Ἤπειρον δὲ λέγει τὴν Ἰωνίαν· καὶ γὰρ οὗτοι συναπέστησαν Ἀλκιβιάδῃ πρὸς Λακεδαιμονίους.

ib. *Ἔτι δ' ἀγνωμοσύνης*] Ἀχαριστίας (Cod. εὐχ.), ὅτι τὸν Πέρσην ἤγαγον κατ' αὐτῶν, παρ' οὗ ἔσωσεν αὐτοὺς ἡ πόλις.

279, D. *Μάλα ἀσμένως*] Ἀσμένως (Cod. ἀσμένως) ἐπῄκουσε τοῖς Λακεδαιμονίοις ὁ Πέρσης, ἐπειδὴ ἐμνησικάκει Ἀθηναίοις, ὅτι ἥττησαν τὸν Ξέρξην τὸν πρόγονον αὐτοῦ.

280, A. *Καὶ ναυσὶ*] Τὸ ἔχειν πλῆθος ἀνδρῶν, ἐν μὲν γὰρ τῇ γῇ πεζῶν, ἐν δὲ τῇ θαλάττῃ ναυτικῶν· μετὰ γὰρ τὴν τύχην

Digitized by Google

λθον οἱ Σικελιῶται ἐν Λακεδαιμονίᾳ βοηθοῦντες αὐτοῖς, ὥσπερ ἀμειβόμενοι, ἀνθ' ὧν αὐτοὶ συνεμάχεσαν ἐν Σικελίᾳ.

Ἦν μὲν οὐδεὶς] Ἡ ἀπόδοσις ὧδε, περιστάντων δὲ αὐτοὺς καὶ τὰ ἑξῆς, εἶτα ἀποδέδωκεν εἰπών, ἦν μὲν οὐδεὶς, ὅστις οὐκ ἂν ἤλπισεν. ib.

Ὅτι καὶ τῆς πολ.] Vid. ed. — Leid. αὐτὸ ἄρξαι — ἀλλὰ καὶ κατ. — in fine addit τότε. 280, B.

Ἀλλοτριωθέντων] Vid. ed., Leid. γενομένων. Addit Leid. ἐκάλεσε δὲ αὐτὸ, ἐπειδὴ ἑξῆν αὐτοῖς ἀπὸ τοῦ Πειραιῶς ἐλθεῖν εἰς τὴν πόλιν. ib.

Πλὴν Σάμου] Βιάζεται πόλεμον ἕτερον δεῖξαι Μηδικόν· τότε γὰρ, φησὶ, μόνην εἶχον τὴν Σάμον. ib.

Κατεστήσαντο] Ἡ ἀπόδοσις ὧδε, καὶ τῆς πολιτείας κινηθείσης κατεστήσαντο μὲν τὰ οἴκοι. 280, C.

Ἐκράτησαν] Ἀντὶ τοῦ ἔπαυσαν τὴν τυραννίδα τῶν τετρακοσίων. ib.

Διέλαβον] Ἀντὶ τοῦ ἐμερίσαντο· λέγει τὴν Κύζικον. ib.

Ὡς ἑτέρῳ προειρ.] Vid. ed., Leid. κἀκεῖνος τὸ ἐνθύμημα ἐν τῷ πρ. — ποιούμενος — ἐν ᾗ — 280, D.

Συμπεσόντες] Ὁ γὰρ Ἀλκιβιάδης αὐτοὺς κατεναυμάχησε. 281, A.

Ἀεὶ μὲν οὖν ἔγωγε] Vid. add. Pariss., Leid. αὐτὴν τοῖς Λακεδαιμονίοις — Θουκυδίδου ἢ — τὸν κελεύσαντα. ib.

Παρ' ὅσας] Ἀντὶ τοῦ χωρὶς ὧν διέφθειραν. ib.

Ἐπεισάγοντες (ed. ἐπεισάγοντες)] Ἀντὶ τοῦ ἐπὶ τῶν τριήρων ἱστάμενοι. ib.

Οἱ δ' ἀπὸ τῶν] Οἱ δ' Ἀθηναῖοι· λέγει δὲ ἀντὶ τοῦ οὗτοι δέ· ὁ γὰρ Ἀλκιβιάδης αὐτοὺς κατεναυμάχησε. 281, B.

Χορηγίαν] Ἀντὶ τοῦ ἀφορμὴν οὐκ ἔχων οὐδὲ χορηγίαν, πάντα γὰρ αὐτοῖς διέφθαρτο. ib.

Ὥσπερ ἐκ ναυαγίας] Οἱ γὰρ ναυαγίῳ περιπίπτοντες, οὔτε ἣν φοροῦσιν ἔσθητα, (Cod. αἰσθῆτα) δύνανται σῶσαι. ib.

Οἱ δ' ἀπὸ τοσούτων] Οἱ Λακεδαιμόνιοι· πλεονεκτημάτων δὲ λέγει τῶν διαφόρων συμμαχιῶν· εἶχον γὰρ βασιλέα καὶ Συρακουσίους. 281, C.

Digitized by Google

ib. *Κατέφυγον*] *Μετὰ γὰρ τὴν ἐν Κυζίκῳ ναυμαχίαν ἐπ' Ἀργινούσσαις* (Cod. *Ἀργεννοῦσσαις*) *οἱ Λακεδαιμόνιοι ἡττηθέντες περὶ εἰρήνης ἐπρεσβεύοντο· παραδόξως δὲ ἀπὸ τῶν συμφορῶν συγκρίνειν ἐπεχείρησε τοῦτο εἰς ἀπόδειξιν ἀνδρείαν* (f. *ἀνδρείας*), *δεχόμενος τὸ δύνασθαι φέρειν τὰς συμφορός.*

281, D. *Ἐκείνους* (ed. *ἐκείνοις*) *μὲν γὰρ*] *Ἀντὶ τοῦ ἐκείνοις ἀποῦσι· λέγει δὲ τοὺς Λακεδαιμονίους. βλασφημίαν καλεῖ τὸ ἀνόμοιον τῆς συγκρίσεως.*

281, A. *Κρίνονται*] *Τὸ γὰρ συγκρίνειν οὐκ εἴρηται.*

281, D. *Πᾶς τις*] *Τουτέστιν ὅταν πᾶς καὶ ὁ μὴ μαχεσάμενος χωρήσῃ τῆς νίκης τῷ κρείττονι τῶν Ἀθηναίων.*

283, A. *Τιθεῖσα* (ed. *διαθεῖσα*)] *Ἐν Σικυῶνι μετὰ Σικελίας νικήσασι.*

ib. *Εἴ τις εἰρήνην*] *Μετὰ* (sic, fort. inser. *τὰ*) *ἐν Σικελίᾳ ἐνίκησε τοὺς Λακεδαιμονίους ἡ πόλις ὡς εἰπεῖν· ἐν Κυζίκῳ οὖν ἐνίκησεν, ὥστε Λακεδαιμονίους ἐπιθυμῆσαι ἰδεῖν τινα παρακαλέσαι τὴν πόλιν, ὥστε ἄγειν εἰρήνην.*

ib. *Ἐν Μιτυλήνῃ*] Vid. ed.

283, B. *Ἀλλὰ πλεύσαντες*] *Ὅτε οἱ δέκα στρατηγοὶ νικήσαντες οὐκ ἀνείλυντο τὰ σώματα διὰ τὸν χειμῶνα καὶ θανάτῳ ἐζημιώθησαν· ἡ ἱστορία δέ φησιν, ὅτι τοσοῦτος χειμὼν γέγονεν, ὥστε τοὺς στρατηγοὺς μηδαμῶς λαβεῖν τῶν πεπτωκότων· διὸ κατηγορήσαντος αὐτῶν Καλλιξένου καὶ νενικηκότος, τεθνήκασιν ἀκρίτως· ὕστερον δὲ μεταγνόντες Ἀθηναῖοι καὶ τοῦτον ἀνεῖλον καὶ νόμον ἔθεντο, ἄνευ κρίσεως μὴ κτεῖναί τινα.*

ib. *Ὅσαις οὐδ' ἂν*] *Οὐ διὰ τὸν ἀριθμὸν ἀλλὰ διὰ τὰς συμφορὰς τὰς ἐν Σικελίᾳ συμβάσας· ἐλάττοσι δὲ, ἑκατὸν καὶ ἑβδομήκοντα εἶχον ἐκεῖνοι, Ἀθηναῖοι δὲ* $\overline{\rho\sigma}$.

ib. *Ἐν δὲ τῷ Καρὶ*] Vid. ed.

ib. *Οὔτε τὴς Καλλικρ.*] *Στρατηγὸς γὰρ οὗτος ἔνδοξος Λακεδαιμονίων ὁ Καλλικρατίδης.*

ib. *Ἀλλ' ὥσπερ ἐξαρκοῦν* [1]] *Εἰς νίκην, τὸ μόνον εἰς τὴν θάλατταν αὐτοὺς ἰδεῖν.*

1) Hoc *ἐξαρκοῦν* amplectendum est pro vulg. *εἰς ἐξαρκοῦν*. Significat igitur *ἐξαρκοῦν cum sufficeret*, nota sermonis elegantia.

Digitized by Google

Ὁμοῦ τῷ σκηπτῷ) Ὃν εἶπε χειμῶνα, νῦν σκηπτὸν ἐκάλεσε· ἰστέον δὲ, ὅτι ἔφυγε δεθεὶς ὁ Καλλίξενος καὶ ὕστερον ἐπανελθὼν λιμῷ διεφθάρη. 283, D.

Ὅτι τὸν ἄνδρα ῥ.] Εἷς γὰρ ὢν (vid. ed. ex marg. Schell.) τῶν δώδεκα στρατηγῶν ὁ Κόνων ἔφυγεν αἰσθόμενος κ. τ. λ. — Εὐαγόρα συμμαχοῦντος βασιλεῖ — addit praeterea Leid. κατέλυσε δὲ τὴν δυναστείαν Λακεδαιμονίων ἐν Κτίδῳ· τὴν δὲ ἱστορίαν Ἰσοκράτης λέγει ἐν τῷ Εὐαγόρᾳ· παρόντας λέγει ἐν τῇ μάχῃ, ἀπόντας δὲ καὶ τοὺς μὴ ὄντας ἐν τῇ μάχῃ, ἀλλ' ἀκηκοότας τὴν ἧτταν καὶ εἰρήνης ἐπιθυμήσαντας. 284, A.

Ὅτι νικῶσα] Οὐ τῶ (sic G. pro οὕτω) πλείονα ἀτυχῆσαι λέγει αὐτὴν νενικηκέναι, ἀλλὰ τῷ (sic G. pro τὸ) φέρειν τὰς συμφορὰς καὶ μὴ ταπεινοῦσθαι. 284, B.

Τοῦ μὲν οὖν] Τοῦ νικᾶν φησι τοὺς Λακεδαιμονίους ἐν τῷ κατορθοῦν· χωρὶς ἐστιν ὧν κατὰ αὐτῶν ἔπραξε Λακεδαιμονίων, δύο ταῦτα ἄλυτα τεκμήρια· καλῶς δὲ τὸ ἐν οἷς κατώρθωσε ἡ προσθήκη· βούλεται γὰρ αὐτὴν, καὶ ἐν οἷς ἡττήθη, νικᾶν. 284, C.

Τοὺς ἀντιπολιτευσαμένους] Ἀντὶ τοῦ τοὺς ἀντισεμνυνομένους, ἵνα λέγῃ Λακεδαιμονίους· λέγει δὲ, ὅτι χωρὶς ὧν ἐνίκησαν αὐτοὺς Λακεδαιμονίους ἕτερα διττὰ σημεῖα νίκης ἄλυτα αὐτῇ ὑπάρχει, ἅτε μόνη νενικήκος (sic f. μόνη νενικηκυία) ἐν Μαραθῶνι καὶ ἃ κοινῇ μετὰ τῶν Ἑλλήνων ἐν Σαλαμῖνι· ἐν ἑκάστῳ γὰρ, φησὶν, ὑπερεβάλλετο πάντας. ib.

Οὐχ ὅσον] Ἀντὶ τοῦ οὐ μικρῶς· ἡ γὰρ μικρὰ ὑπερβολὴ πολλάκις λανθάνει. 284, D.

Ὁμοῦ πάντες] Ἀντὶ τοῦ πάντες μικροί εἰσιν εἰς τὸ συγκρίνεσθαι τῇ πόλει· ἐσχημάτισται γὰρ ἡ λέξις· κρείττων δὲ γέγονε τῶν νενικηκότων τῷ φέρειν τὰ δυσχερῆ. ib.

Ἑθνῶν ἅμα] Ἢ συστημάτων λέγει ἢ πολλῶν ὁμοῦ γενῶν. 285, A.

Sed hujus sch. verba me permovent, ut apud Arist. voces εἰς ἐξ. transponenda esse censeam, uti ibi legatur, ὥσπερ ἐξαρκοῦν εἰς τὴν θαλ. ἰδεῖν, quasi vero sufficeret, si oculos in mare conjicerent. Similis plane locus est Arist. p. 295, ὥσπερ ἀρκοῦν ἀρετῇ νενικηκέναι.

Digitized by Google

ib. Ὅστις ου μετὰ] Vid. ed., Leid. συμβάλλοντες.

285, B. Ἤ τις ἢ οὐδείς] Vid. ed.

ib. Ἴσα καὶ ἀήττ.] Ἢ ὁμοίως (sic) καὶ σχεδὸν ἀήττητός ἐστιν, ἢ παρέλκει ἀττικῶς τὸ ἴσα (sic).

285, C. Οὐδεὶς γὰρ] Βούλεται καὶ ἐν τῇ προαιρέσει τὴν νίκην εἶναι· οἷς ἡττηθεῖσα οὐκ ἐταπείνωσεν ἑαυτήν.

ib. Δεδούλωται] Κατεδουλώσατο τῷ φεύγειν αὐτὴν τοὺς πάντας.

ib. Οὐχ ἧττον] Πλέον τοὺς ἀκούοντας τῶν πεπονθότων τῷ ἐπιθυμῆσαι εἰρήνην.

285, D. Ἢ τοὺς ἐν ταῖς] Ὑπὲρ τοὺς παρόντας οὕτως (igitur forte, ὥσπερ τοὺς π., οὕτω) καὶ τοὺς ἀπόντας ἐνίκησαν.

ib. Τὸ τῶν πόλεων] Τὸ τῶν Ἀθηναίων καὶ τῶν Λακεδαιμονίων.

286, A. Οὐκ ὠφέγκαν] Ἀντὶ τοῦ οὐκ ἀνέλαβον, οὐκ ἀνεσώθησαν· ἀπὸ μεταφορᾶς τῶν ναυαγίων τῶν μὴ ἀναφερομένων.

ib. Ἀλλ' ὥσπερ] Ταῖς γὰρ πόλεσι παρέπεται ποτέ γε ἀκμάζειν, ποτὲ δὲ ἀσθενεῖν· ἄνθρωπος δὲ ἐπὰν (Geelius V. D. mavult ὅταν) ἀποθάνῃ, οὐ δύναται ἀναζῆσαι.

ib. Εἰρήνην μὲν γὰρ] Ψεύδεται· οὐ γὰρ ἀπηξίωσαν· ἀλλ' ἐπειδὴ ἡ τοὺς (Geelius emendat ἧττον) αὐτοὺς ἐπὶ τῇ εἰρήνῃ τοὺς ἰδίους συμμίχους τοὺς Μεσσηνίους αὐτονόμους ἔᾶσαι, διὰ τοῦτο οὐκ ἐβουλήθησαν.

ib. Ἀναμιχθέντες] Ὅ ἐστι κοινῇ πολεμήσαντες μετὰ Πελοποννησίων Θηβαίους.

286, B. Τὸ μέγιστον] Ἀντὶ τοῦ μέγα αὐτοῖς ἐβοήθησαν, ὅτε οἱ Θηβαῖοι νικήσαντες ἐν Λεύκτροις ἐζήτησαν αὐτοὺς κατασκάψαι καὶ οὐκ εἴασεν ἡ πόλις.

ib. Καταιγὶς (ed. καταιγίδος)] Ἔστιν ἀέμων συστροφή· μιμεῖται δὲ τὸν στρόβιλον, ὅ ἐστι σημεῖον σκοτῶδες.

ib. Ἡ δὲ πυλὶς] Τὰ ἐν Λίγὸς ποταμοῖς λέγει· κλοπὴν δὲ εἶπε τὴν νίκην, ἐπειδὴ ἀπόντος τοῦ Κόνωνος μετὰ τὴν νίκην ἐπὶ λαγανισμὸν καὶ φρυγανισμὸν (sic) Λύσανδρος ὁ στρατηγὸς τῶν Λακεδαιμονίων εὑρὼν ἐρήμας τὰς τριήρεις ἐπιθέμενος λαθών πως ἀφείλετο.

Digitized by Google

Τῶν νηῶν (ed. *νεῶν*)] *Νικήσαντες γὰρ Λακεδαιμόνιοι* 286, C.
ἐλθόντες ἠνάγκασαν τοὺς Ἀθηναίους ταῖς ἑαυτῶν χερσὶ κα-
τασκάψαι τὰ ἑαυτῶν τείχη.

Δι' ἑνὸς] *Τοὺς Λακεδαιμονίους λέγει διὰ τοῦ Κόνωνος* ib.
ἐν τῇ Κνίδῳ.

Αὕτη δ' ἐπέστη] *Ἦρξε καὶ ἡγεμόνευσεν· Ἑλληνικὰ* ib.
δὲ λέγει τὴν ἡγεμονίαν.

Ἢ τὰς εὐπρ.] *Βαρὺ γὰρ καὶ χαλεπὸν φέρει εὐτυχίας.* 286, D.

Διέθετο] *Ἀντὶ τοῦ διέλυσε· λέγει δὲ τὴν τῶν λ' καὶ* ib.
τὴν τῶν υ'.

Ὅρον] *Ἀντὶ τοῦ κάνονα τῆς εὐβουλίας· τοῦτο γὰρ εἶπε* ib.
σωφροσύνην, εὐβουλίαν, διότι ἅμα ἐστασίασε καὶ διηλλάγη
πρὸς ἑαυτήν.

Ἀψοφητὶ] Vid. ed., Leid. *Ἀθηναῖοι ἐπ.* — 287, A.

Μηδέν τι] *Ἀντὶ τοῦ μηδαμῶς πρὸς πλείονας ἀγωνισά-* ib.
μενοι· τριάκοντα γὰρ, φησὶν, ὄντων τῶν τυραννούντων καὶ
οἱ δημοκρατούμενοι ἀντιμαχησάμενοι ἑαυτοῖς λ' ἦσαν.

Σωφροσύνης] *Ὅτι καλῶς παρεσκευάσαντο· τόλμης δὲ,* ib.
ὅτι ὀλίγοι ὄντες πρὸς τοσούτους ἀντῆραν.

Ὀλίγῳ μὲν] Vid. add. Pariss., Leid. *ἦν καὶ τὸ τὴν* 287, B.
— *εἰργασμένον* — *τὰ κατορθώματα.*

Πρός τε τὴν Λακ.] *Οὐχ ὅτι συνεμάχουν τοῖς λ', ἀλλ'* ib.
ὅτι ἐδάνεισαν αὐτοῖς χρήματα.

Καὶ πρὸς τοὺς] *Πάλιν τὴν ἀπὸ χρημάτων συμμαχίαν* ib.
αἰνίττεται.

Τῶν ἐν τοῖς δεινοῖς] Vid. ed. 237, C.

Εἰς λόγους] *Εἰς σπονδάς· ταύτην ἐν τοῖς ἄνω εὐβου-* 287, D.
λίαν εἶπε, διὰ τὸ μὴ ἐκμεῖναι (sic f. *ἐμμεῖναι*) *τῇ στάσει.*

Μὴ εἶναι διελέσθαι] *Ἀντὶ τοῦ μὴ δύνασθαι διακρῖναι,* ib.
ποτέρα ἡ στάσις πατάρα ἐστὶν ἐχθρῶν ἢ φίλων εὐχή.

Λυθεῖσαν] *Τὸ τάχος λέγει τῆς διαλύσεως καὶ τὰς σπονδάς.* 288, A.

Ὑπὲρ τῶν ἀνδρῶν] *Τῶν Δημοσθενικῶν, τῶν ἐπὶ τῶν λ'.* ib.

Καὶ τοὺς Μαρ.] *Λύξων αὐτοὺς τοῖς προγόνοις, ἐν τοῖς* 288, B.
(f. *τούτοις*) *συνέκρινεν αὐτούς.*

Ἐν πλήθει συντάγματος] *Πλήθει, οὐχ ὡς πρὸς τοὺς* ib.
βαρβάρους, ἀλλ' ὡς πρὸς τοὺς ἐν φιλίᾳ μαχεσαμένους.

Digitized by Google

ib. *Οὐδ' ὀλίγῳ*] *Πάλιν αἰνίττεται εἰς τοὺς πεντήκοντα.*

ib. *Εὐθηνούσης*] *Καλῶς πραττούσης, εὐτυχούσης.*

288, C. *Ἑτέρως*] *Εὐφήμως ἀντὶ τοῦ ἀτυχῶς* (Cod. εὐτ.)

ib. *Καὶ τῷ μετὰ τὰς*] *Τῷ σπείσασθαι κατὰ* (f. *μετὰ*) *τὴν μάχην.*

288, D. *Ἀνεκτήσαντο*] *Ἀνέλαβον· ὡς ἐπὶ νόσου δὲ εἶπεν.*

289, A. *Οὕτως ἀκολούθως*] *Ἀντὶ τοῦ καὶ τοῖς πρώτοις καὶ τοῖς ὕστερον* (sic) *ἐκάλυψαν τὴν ἐκ τῆς στάσεως συμφοράν.*

289, B. *Ἄξιον εἰπεῖν*] *Κατὰ παράλειψιν, ἀντὶ τοῦ οὐ βούλονται* (f. *βούλομαι*) *εἰπεῖν.*

ib. *Ἐπὶ τὸν δ.*] Vid. ed.

ib. *Τὰς συνθήκας*] *Τὰς σπονδάς· ὤμοσαν γὰρ μὴ μνησικακεῖν τοῖς λ'.*

ib. *Ὅπως ὠμίλουν*] *Ἀντὶ πῶς ἐμονόουν ἀλλήλοις.*

289, C. *Ἡ δὲ πόλις*] *Ἐμφαίνει τὴν ξενηλασίαν.*

ib. *Οὕτω θέσθαι*] *Ἀντὶ τοῦ καλῶς καὶ φιλικῶς τὴν κατάλυσιν τῶν τυράννων· μαρτυρίας* (ed. *μαρτύρων*) *δὲ εἶπεν, ὡς πρὸς ἀντιδιαστολὴν τῶν Λακεδαιμονίων τῶν ξενηλατούντων.*

ib. *Προπέμψασα* (ed. *πέμψασα*) *γὰρ*] *Οἱ προστάται κ.τ.λ.* vid. add. Par'ss. ad *τὸ γοῦν Ἀργ. πλ.*, Leid. *ὑπονοήσαντες* pro *συναναγκ.*

290, A. *Πρὸς τὰς*] *Πρὸς τὰς στάσεις τὰς ἐν αὐτῇ γιγομένας.*

ib. *Οὐ δή*] *Ἀντὶ τοῦ οὐδαμῶς δή· ἔστι δὲ τὸ ῥήμα συλλογιστικόν· ἥκοντας δὲ λέγει Λακεδαιμονίους, ὅτι τὸ παλαιὸν Δωριεῖς ἦσαν καὶ ἐκ τῆς Βοιωτίας κατῆλθον εἰς Πελοπόννησον· ἐργάζεται δὲ ἐνταῦθα συγκρίσεις· ἄλλοθεν δὲ λέγει ἥκοντας ἐκ τῆς Δωρίδος.*

290, B. *Καταδειξ.*] Vid. ed.

ib. *Πλὴν τῶν εἰς τ. π.*] Vid. ed.

ib. *Ἡ ταύτη νικώσης*] *Ἀποδεῖξαι βούλεται τὴν Ἀττικὴν τὰ πολέμια ἀρίστην· ἀλλὰ τὸ κῶλον τὸ ἐναντίον δηλοῖ· ἔστιν οὖν ὑπερβιβασμὸς τὸ σχῆμα καὶ δεῖ ἀναγνῶναι, τῆς πόλεως πλέων* (f. *πλέον*) *ταύτῃ νικώσης, τουτέστιν ἐν τῷ μέρει τῶν πολεμικῶν, ἢ τοῖς ἄλλοις, ἀντὶ τοῦ ἢπερ ἐν τοῖς ἄλλοις.*

ib. *Οὐ ταῦτα μόνον* (ed. *μόνα*),] *διὰ μακροῦ ἡ ἀπόδοσις· ἔστι γὰρ πρὸς τὸ οὐ δεῖ τοὺς ἄλλοθεν.*

Digitized by Google

Ἀλλὰ καὶ τὸ] Εἰς αὐτὴν τὴν κάθοδον προσδεηθέντας, οὐδὲ τὸ εὖ παθόντας πρὸς εὖ ποιήσαντας ἀμιλλᾶσθαι, οὐδὲ τὸ τοὺς νόμους ἐτέρωθεν λαβόντας τῆς πόλεως. ib.

Πάσχω δ' ἔγωγε] Πληρώσας (Cod. πληρῶσαι) ἐνταῦθα τὰς συγκρίσεις ἐπιφέρει τὰς λοιπὰς πράξεις, ἀρξάμενος ἀπὸ τῶν μετὰ τὰ Πελοποννησιακά. 290, C.

Κάλλιστον φαίνεται] Τοῦτο γὰρ ἴδιον τῶν ἐρώντων (sic Cant. pro ἀρετῶν)· πᾶν γὰρ μέρος τοῦ σώματος ἡγοῦντο καλὸν εἶναι. ib.

Θεῶν τις ἂν] Μὴ ὡς αὐτὸς δυνάμενος κρῖναι τὸ κάλλιον μέρος τῆς πόλεως. 290, D.

Ἐξ ὧν ἅμα] Vid. ed. ib.

Ἄτοπον] Ἄτοπον λέγει ἀντὶ τοῦ παραδόξου, ὅτι ὑπὲρ ἐχθρῶν τῶν Θηβαίων ἐπολέμησαν πρὸς Λακεδαιμονίους. 291, A.

Ὑπὲρ Θηβαίων] Ἐνίκησαν γὰρ Ἀθηναίους, καὶ ἄρξαι τῆς Ἑλλάδος βουληθέντας (f. βουληθέντες) κατὰ τῶν ἰδίων ἐχώρησαν συμμάχων. ib.

Ἐπειδὴ γὰρ] Ὅτε τὰ τείχη αὐτῶν κατεσκάφη καὶ οἱ λ' κατέστησαν τύραννοι. ib.

Φρουρὰν ἐπὶ Θ.] Vid. add. Pariss., Leid. παριὼν τὴν — δεῦθεν βοηθήσοι Καδμείαν τὴν ἀκρόπολιν κατέλαβε καὶ ἐφρούρει τὰ ἐκεῖ. ib.

Ἀμφότερα] Ἀντὶ τοῦ κατὰ ἀμφότερα εἰς θαῦμα ἤγαγε καὶ ἐπαινέσαι παρέσχον (Cod. παρέσχων). ib.

Οὐκ ἐφήσθη] Vid. add. Pariss. 291, B.

Μήτε τεῖχος] Vid. ed. ex marg. Schell., Leid. ἀνέστησε. 291, C.

Τοὺς ἀπαντῶντας] Vid. ed. ex marg. Schell., Leid. καὶ ἀμ. ib.

Ὑπομνήματα] Τὴν ἧτταν λέγει, ἣν ἔσχον ὑπὸ Θηβαίων καὶ μᾶλλον ἵνα δείξῃ τὸ φιλάνθρωπον τῆς πόλεως, ὡσαεὶ δὲ ἔλεγεν, οὕπω τῶν συμφορῶν τῶν οἰκείων ἐπιλαθόμενοι. ib.

Ἐξελθόντες] Vid. add. Pariss., Leid. ὅτε καὶ τελείως ἐνίκησαν· ὁ Λύσανδρος δὲ ἐπειδὴ δῆθεν αὐτοὺς ἐνίκησεν ἐν Αἰγὸς ποταμοῖς, μέγα ἐφρόνει· δύο δὲ ἦσαν οἱ στρατηγοί, ἀλλ' ὁ Παυσανίας οὐ παρῆλθεν ἐν τῇ μάχῃ· ἔστι δ' οὗτος ὁ Παυσανίας ἀπόγονος τοῦ μεγάλου, τοῦ προδότου. ib.

Digitized by Google

291, D. Ὠνειροπόλησε] Ἀντὶ τοῦ ἐφάντασθη νικῆσαι, οὐ μέντοι γε ἦν νικήσας τῇ ἀληθείᾳ.

ib. Ἡ μὲν γὰρ εὐθὺς] Ἡ ἡ πόλις τῶν Λακεδαιμονίων ἦν ἐν συμφοραῖς, ἢ ἡ πόλις τῶν Ἀθηναίων ἀποβεβλήκει· τότε γὰρ ἦρξαν τῶν Ἑλλήνων μετὰ τὴν νίκην.

292, A. Ἑλληνικὴ] Ἀντὶ τοῦ φιλάνθρωπος· μετὰ γὰρ Θηβαίους καὶ κατὰ Κορινθίων ἐχώρησαν Λακεδαιμόνιοι· τὸ δὲ Ἑλληνικὸν ἀντὶ τοῦ ἕως τοῦ σωφρονίσαι πρὸς ἀντιδιαστολὴν τῶν βαρβάρων ἢ καὶ πολεμοῦσι.

ib. Καταφεύγουσι] Vid. ed.

ib. Ὅτιοῦν δρῶσαν] Εἶτι δὴ τότε, φησὶν, ἔδρασαν Ἀθηναῖοι εἰς Κορινθίους, ἀξίαν δίκην οὐκ ἐλάμβανον παρ' αὐτῶν, ὅτι καὶ τοῦ πολέμου αἴτιοι αὐτοὶ ἐγένοντο καὶ ἄλλων κακῶν τοῖς Ἀθηναίοις.

292, B. Πᾶς τις ἂν εἴκασεν] Ἀντὶ τοῦ ἐξ ὧν ἐποίησαν εἰς αὐτούς· ἡ δὲ σύνταξις οὕτως· ἦν πᾶς τις ἂν εἴκασεν οὐκ ἄν ποτε τὴν ἱκανὴν δίκην ἔχειν νομίσαι· ὅτι οὖν τῶσα (sic) κακὸν αὐτούς· ἡ γὰρ ἐκ τῶν ὑπαρχόντων ἀπόδειξίς ἐστι τοῦ νομίζεσθαι· λέγει τὴν πόλιν κακῶς πάνυ Κορινθίους τοιῆσαι.

292, C. Τὸν Ἀκροκόρ.] Ἡ ἀκρόπολις Κορινθίων ὁ (Cod. ἡ) Ἀκροκόρινθος ἐκαλεῖτο, ὥσπερ ἡ τῶν Θηβαίων Καδμεία.

292, D. Τῶν Περσῶν βασ.] Menda Ap. Mon. religiose servat Leid.

ib. Θρυλλουμένην] Vid. add. Pariss., Leid. ὅπως ἂν — σπείσασθαι ἢ ποιήσῃ αὐτοὺς κατακρ. αὐτῶν.

ib. Περὶ ὧν οὐδὲν] Κατὰ ἦθος λέγει· δεῖ γὰρ κατηγορεῖν τῶν τοῦτο ποιησάντων· ἀλλὰ δεινῶς ἀπολογεῖται ὑπὲρ αὐτῶν δεικνὺς τὴν ἀσθένειαν αὐτῶν, δι' ἣν εἰς τοῦτο ἦλθον, οὐχ ἵνα συμμαχήσωσιν αὐτοὺς μετ' Ἀθηναίων σπείσασθαι (meliora et pleniora his leguntur in add. Pariss. ad τῶν Περσῶν βασιλέα).

295, A. Πότερον ἑκόντες] Διλήμματον τὸ σχῆμα.

ib. Εἰ δ' ἄκοντες] Ἐξ ἀμφοτέρων φαυλίζει τοὺς Λάκωνας.

295, B. Εἶτ' ἐξεπίτηδες] Τὸ μὲν εἶτα παρέλκεται ἀττικῶς· ἔστι δὲ ἡ σύνταξις οὕτως· οὐ γὰρ ἂν ἐξεπίτηδες τοιαύτην αἰσχύνην ὑπέστησαν, εἴγε εἶχον ὅτι χρήσονται.

Digitized by Google

Ἐπεὶ δὲ τῆς] *Συγκρίνει εἰρήνην πρὸς εἰρήνην.* ib.

Τοσοῦτον] *Οὕτως ἀσθενεῖς ἦσαν ἐκεῖνοι.* 293, C.

Εἰ καθ' αὑτὴν] *Ἀντὶ μόνη, δίχα συμμάχων.* ib.

Τοῖς τρισὶ καιροῖς] *Οὐ τοῖς τρισὶ χρόνοις τῷ προελθόντι καὶ τῷ ἐνεστῶτι καὶ τῷ μέλλοντι, ἀλλὰ πρὸς τὸ προκείμενον εἶπε τὸν πρὸ τοῦ πολέμου, τὸν ἐν τῷ πολέμῳ, τὸν μετὰ τὸν πόλεμον.* 293, D.

Δρόμος] Vid. add. Pariss., Leid. *Κατ., δρόμος γὰρ λεγ.* 294, A.

Ἀλλὰ μὴν τῆς γε] *Αὕτη γὰρ ἔμεινε διώκουσα μόνη τὸν Πέρσην καὶ ἐπεστράτευσε κατ' αὐτοῦ μέχρι τῆς Παμφυλίας Κίμωνος τοῦ στρατηγοῦ.* ib.

Ἀλλ' αὐτῆς] *Ὡς παρὰ τῆς πύλεως ὁ λύγος πρὸς τὸν βασιλέα· τοῦτο δὲ εἶπεν ὡς πρὸς τὸν ἵππου δρόμον ἡμέρας μὴ καταβαίνειν ἐπὶ θάλατταν.* 294, B.

Καὶ τοῖς ἄλλοις] *Τοῖς* (Cod. τοὺς) *ἐν Εὐρώπῃ· οἱ γράψαντες ὥστε βασιλέα συμμαχεῖν τοῖς δεχομένοις τὴν εἰρήνην κατὰ τῶν ἐναντιουμένων καὶ μὴ θελόντων αὐτονόμους εἶναι τοὺς Ἕλληνας.* 294, C.

Ἀρετῇ] *Ἀντὶ τοῦ ἀνδρείᾳ· τὸ δὲ ἀρκοῦν ἀντὶ τοῦ ἀρκοῦντος.* 295, A.

Εὐπρεπὲς] *Ἀντὶ τοῦ εὔφημον· τοῦτο δὲ εἶπεν, ὅτι οὐ πάντων Λακεδαιμονίων κατηγορεῖ, ἀλλά τινας εἶπε, δηλῶν οὐ πάντας, ἀλλὰ τὸν Λύσανδρον· διὰ δὲ τοῦ εἰπεῖν καὶ οὐδὲν προστίθημι Λακεδαιμονίους δείκνυσι αἰτίους, οὐκ ὀργισθέντας αὐτῶν* (f. αὐτῷ). ib.

Ἀλλ' ὅμως] *Ὅτι τοιαῦτα παρὰ τῶν Ἀθηναίων οὐ πεπόνθασι νικηθέντες, ἀλλὰ φιλανθρωπίας ἔτυχον.* 295, B.

Ἀποχρῶν] *Ἀντὶ τοῦ ἀποχρῶντος· ἔστι δὲ ἀττικόν.* ib.

Κατὰ τοὺς ἄνω χρόνους] *Τοῦ Πελοποννησιακοῦ λέγει· σημαίνει δὲ τὰς τριακοντούτεις σπονδάς.* 295, C.

Περαιτέρω] *Ἀντὶ τοῦ πλέον οὐδὲν ἐζήτησε.* ib.

Καὶ ταῦτ' ἀπέδωκεν] *Ὅτε τὰς τριακοντούτεις ἐποίησεν σπονδάς.* ib.

Δοκεῖ δ' ἔμοιγε] *Λείπει τὸ κατόρθωμα· λέγει δὲ τὸ ἀποδοῦναι τοὺς αἰχμαλώτους, τοῦτο γάρ ἐστι φιλανθρωπίας·* ib.

Digitized by Google

αὐτὸς δὲ κατασκευάζει αὐτὸ οὐ μόνον φιλανθρωπίας, ἀλλὰ καὶ ἀνδρίας.

ib. Ὅλως, τὸ τοιοῦτον (ed. τοιοῦτο)] Τὸ μὴ ἀναιρέειν εἰς πάντας τὸ πταῖσμα, καὶ λέγει Λακεδαιμόνιοι· πάντες ἐν Αἰγὸς ποταμοῖς· τόσοις μὲν γὰρ δεινότερον (Superiora corruptissima; pro τόσοις μὲν γὰρ ex ipso Aristide lege ὅσοις μὲν γάρ] Δεινότερον) ἐμφαίνει τῇ ἀποσιωπήσει· σημαίνει δὲ, ὅτι ἐκόλασεν αὐτούς· τὰ γὰρ ἄκρα αὐτῶν ἀπέτεμε.

296, A. Τύχης] Vid. ed.

ib. Ἐξ ἴσου τοῖς] Vid. ed.

296, B. Καὶ Λακεδαιμονίους] Vid. add. Pariss. ad οὐδ' ὁτιοῦν, Leid. Ἵνα λέγῃ τὸν Πέρσην, ἵνα μή τις εἴποι, ὅτι κ. — πάλιν πρὸς —.

ib. Κτησάμενοι] Ἐν Αἰγὸς ποταμοῖς· τότε γὰρ ἔλαβον Λακεδαιμόνιοι τὴν ἡγεμονίαν.

ib. Διεῖλον] Διέκριναν καὶ διώκησαν· διοικήσαντα (297, A.) δὲ λέγει τὸν τοὺς φόρους τάξαντα, ἵνα λέγῃ τὸν Ἀριστείδην.

297, A. Ἀπὸ τούτου] Καλῶς προσέθηκε τὸ ἀπὸ τουτου, ἵνα μή τις εἴπῃ, ὅτι δι' ἄλλην αἰτίαν δίκαιος Ἀριστείδης ἐκλήθη.

ib. Ἦν δι' ἐκείνου] Ἥτινα, φησὶ, δόξαν διὰ τοῦ Ἀριστείδου ἐκτήσατο· λέγει δὲ τὴν τῆς δικαιοσύνης.

ib. Τοὺς παραδόντας] Τοὺς πιστεύσαντας καὶ ὑπακούσαντας.

ib. Ὥστε κἀλλιστ' ἀνθρ.] Vid. ed., Leid. ἄλλος ἂν οὖν — μετριάζωμεν· δεινῶς δ' ἐνταῦθα ἀπολογίαν καλεῖ τὴν ὑπερβολὴν τῶν ἀδικημάτων, ὧν ἐνίκησαν Ἀθηναῖοι· ἔστιν οὖν καινοπρεπὴς τόπος οὗτος ἀπολογίας, τὴν γὰρ ὑπερβολὴν τῆς Λακεδαιμονίων ἀδικίας ἀπολογίαν ἐκάλεσε.

ib. Τῶν κατὰ τοὺς καιροὺς] Σημαίνει τὰ περὶ Ἠλείων (leg. Μηλίων) καὶ Σικυωνίων, ἐφ' ὃ (f. ἃ) μετὰ μικρὸν ἔρχεται.

297, B. Αἴτιον δ' οὐκ] Ἀπολογεῖται ὑπὲρ Λακεδαιμονίων, ὅτι οὐδὲ ὠμότητα ἠδίκησαν, ἵνα πλέον αὐξήσῃ τὴν Ἀθηναίων φύσιν, ὅτι μὴ ἔχοντες τὴν ὁμοίαν αὐτοῖς φύσιν ἡμάρτανον· τοῦτο γὰρ ἐστι τὸ μὴ ἐξικνεῖσθαι τὰς φύσεις ἄχρις τοῦ ἴσου.

297, C. Οὐδ' εἰς τρεῖς] Vid. ed., Leid. μετρίως ἦρχον — ἀποβλέπων —.

Digitized by Google

Ἴσως μὲν οὖν] *Ὥσπερ ἀντιπίπτον θεραπεύει τὸ ἐναντίον δοκῶν ποιεῖν.* ib.

Καὶ δι' αὐτά γε] *Τουτέστιν αὐτὰ τὰ πλεονεκτήματα φαίνομαι εἰρηκὼς τὰ τῶν Ἀθηναίων δι' ἃ λέγω, μὴ δίκαιον εἶναι συγκρίνειν αὐτοὺς τοῖς Λακεδαιμονίοις.* ib.

Ὥστ' εἴ τις ἀξιοῖ] *Ἀντὶ τοῦ, εἴ τις ἀξιοῖ μηδὲ ἐμοὶ ταῦτα ἐλέγχεσθαι· λέγει δὲ τὸ συγκεκριπέναι ἡγείσθω* (sic) *ὅτι οὐκ ἐξεπίτηδες αὐτὰ εἶπον.* 298, A.

Ὥστ' ἐξ ὧν ἔφευγον] *Ἔφευγον παραβάλλειν, ἵνα μὴ τὸ παραβάλλειν ἐλαττώσῃ τὴν πόλιν· ἀνάγκη οὖν παρατιθέναι καὶ δεικνύειν αὐτῶν τὰ πλεονεκτήματα, διὰ τὸ παριστᾷν* (Cod. *παρεστᾷν*) *ἐκ τούτων, ὡς οὐκ ἔστι δίκαιον τὴν κατὰ τοσούτου* (sic) *προέχουσαν ἑτέραν.* ib.

Καὶ δι' ἐκείνου] *Ἀντὶ τοῦ ἔνδοξος γίνεται καὶ ἐπίσημος* 298, B.

Παραβάλλεσθαι] Vid. ed. 298, C.

Ἃ μὲν διείλοντο] *Τὰ Μηδικὰ λέγει τὰ ἐν Πύλαις, ὅπου οἱ τριακόσιοι αὐτῶν ἀπέθανον· διείλοντο δὲ τουτέστι διεμερίσαντο.* ib.

Οὐ μὴν ἀλλ'] *Συνεπέρανε τὴν κρίσιν· εἰς ἄλλα δὲ καταβαίνει κατὰ Λακεδαιμονίων γενόμενα.* 298, D.

Δρόμου] Vid. ed., Leid. *Ἁλικαρνασσεὺς* —. 299, A.

Ἐν Λεχαίῳ] Vid. ed., Leid. *Λέχαιον λιμήν ἐστι Κορίνθου· ἡ δὲ ἱστ.* — *ἐπ. κατὰ Κορ.* — *συνεστρατεύοντο* — *νῦν δὲ ἀδ.* — *ἐν τῷ Λεχαίῳ τῷ λιμένι νενικήκασιν*, reliquis omissis. 299, B.

Καὶ διέφθειραν] Vid. add. Pariss., Leid. *καὶ ἃ ἐφ. ἐπ.* — *μετὰ τὸ κόψαι τὴν μοίραν* — *τὰ ἐν Ὀρδοῦντι καὶ ἐν Κρομμύωνι καὶ Οἰνόῃ π. εἶλε τὰ φρ.* ib.

Τὰ ἐν τῇ (in vulg. deest) *Κορίνθῳ*] *Ταῦτα ἐστὶ τὰ Κορινθιακὰ* (sic Geelius pro *Κορίνθια καὶ*) *φυλακτήρια τὰ ἐν τῇ χώρᾳ τῶν Κορινθίων.* ib.

Καὶ τὰ τείχη] *Ἃ ἦσαν περιβαλόντες αὐτοῖς οἱ Λακεδαιμόνιοι τοῦ* (Cod. *τοὺς*) *πολιορκῆσαι αὐτούς.* ib.

Τοὺς ἐν Φλιοῦντι] Vid. ed., Leid. *Φλιοῦσα δὲ* — quae post *διέφθειραν* adduntur in bomb., desiderantur in Leid. 299, C.

Digitized by Google

ib. *Μαντινέων*] Vid. ed., Leid. ἢ *Σικυωνίων δὲ — οὕτω καὶ Λακ.* —

ib. *Καὶ ταῦτα τῶν* (ed. *πάντα τὸν*)] *Ταῦτα διὰ Θρασυβούλου τοῦ Πειραιῶς ἐπρόθη* (sic, f. *ἐπράχθη*).

ib. *Τοὺς ἐπιλοίπους*] *Καὶ γὰρ Θηρίμαχον τὸν ἁρμοστὴν ἀπέκτεινεν Θρασύβουλος καὶ τὴν Λέσβον προσεκτήσατο· ἔγνωμεν δὲ πολλάκις, ὅτι οἱ ἄρχοντες, οὓς κατέστησαν οἱ Λακεδαιμόνιοι ἐν τῷ τέλει τοῦ Πελοποννησιακοῦ ἁρμοσταὶ ἐκαλοῦντο, διὰ τοῦ μεθαρμόζειν τὴν δημοκρατίαν εἰς ὀλιγαρχίαν.*

299, D. *Τοῦ περὶ τὴν Καδμείαν*] *Ὅτε παριὼν ὁ Φοιβίδας κατέσχε τὴν Καδμείαν καὶ τὴν φρουρὰν κατέστησεν.*

300, A. *Αἰσχρᾶς*] *Αἰσχρᾶς μὲν λέγει διὰ τὸν Ἀνταλκίδην, ὅτι τοὺς Ἴωνας παρέχωρησε δι' ἐκείνου τῷ Πέρσῃ* (f. *παρεχώρησαν*, vel servato numero sing. *δι' ἐκείνης*)· *δικαίαν δὲ διὰ τὸ αὐτονόμους εἶναι τοὺς Ἕλληνας, ἢ ἄλλους* (f. *ἄλλως*) *δίκαιον λέγει τὸ ἐμμένειν τὰς συνθήκας ὕστερον συντεθεμένους* (sic, f. *ταῖς συνθήκαις*)· *τὰ δὲ τῶν Ἑλλήνων καλὰ φησὶ τὴν ἐλευθερίαν.*

ib. *Ὧν ἀμφοτέρων*] *Ὅτε κατὰ* (f. *μετὰ*) *τὴν κατάληψιν τῆς Καδμείας οἱ περὶ Χαβρίαν Ἀθηναῖοι πρὸς Κλεόμβροτον ἐπολέμησαν τὸν Λάκωνα· αὐτὸς δὲ ἐπιφέρει· ἔστι δὲ ταῦτα τὸ τελευταίους συνθέσθαι, καὶ τὸ Λακεδαιμονίοις ἐπεξελθεῖν ἀδικοῦσι τοὺς Ἕλληνας· πρῶτον δὲ αὐτοὺς ὑπεδέξαντο, εἶτα ὕστερον ἐστράτευσαν μετὰ τῶν ὅπλων καὶ ἐβοήθησαν αὐτοῖς.*

ib. *Καὶ οὐ πρότερον*] *Ἀπολογεῖται ὑπὲρ τῶν Ἀθηναίων, ὅτι ἠνέσχοντο τοιαύτης εἰρήνης, ἐν ᾗ ἐξεδόθησαν οἱ ἄποικοι αὐτῶν τῷ Πέρσῃ.*

300, B. *Καὶ Διονυσίῳ*] *Τῷ Σικελίας τυράννῳ· λέγει οὖν, ὅτε εἰ μὴ ἐδέξαντο τὴν εἰρήνην, ἀνάγκη ἦν αὐτοῖς τούτοις πᾶσι πολεμῆσαι.*

ib. *Ὑπῆρχον παρεσκευασμένοι*] *Τὸ ἀντιπίπτον λύει, οὐκ ἔδει οὖν καὶ τούτοις πολεμεῖν ἕνεκα τῶν Ἰώνων· λέγει οὖν, ὅτι καὶ τούτοις ἐβουλεύοντο πολεμεῖν· τοῦτο δὲ καθ' ἑαυτοῦ* (ἑαυτοὺς), *ἐπεὶ* (Cod. *ἐπὶ*), *φησὶ, παρεσκευάσαντο*

Digitized by Google

πωλεμεῖν, ὥστε μὴ συγχωρῆσαι μὴ τοὺς συμμάχους εἶχον ἀντιπράττοντας.

Καὶ οὐδ' οὕτως] *Τοῦτο καθ' αὑτόν, διὰ μέσου γάρ* ib.
ἐστι, καὶ τὸ τοῖς συμμάχοις μέλλοντες πολεμεῖν.

Ἀλλὰ τῶν γε] *Εἰς Ἰφικράτην* (l. *Ἐπικράτην*) *αἰνίττεται·* ib.
κατέγνωσαν δὲ λέγει τὸν θάνατον δηλονότι.

Παρὰ ταύτην] *Τὴν ἐπὶ Ἀνταλκίδου· ἐπανέρχεται γὰρ* 300, C.
εἰς ὅπερ ἔλεγεν· ἐπειδὴ οὖν, φησί, καὶ κακὴν συνθέμενοι εἰρήνην ὅμως οὐκ ἐφύλαξαν, ἀλλὰ πρῶτοι παρέβησαν κατὰ τῶν Ἑλλήνων στρατεύσαντες.

Φεύγω λέγειν τοὔνομα] *Τουτέστιν, εἰς τὴν Καδμείαν,* ib.
ὅπερ καὶ ὄπισθεν εἶπε, τὸ Λακεδαιμόνιον (f. *Λακεδαιμονίων*, sc. *ὄνομα*) *δηλονότι· τοῦτο δὲ εἶπεν, ἵνα μὴ δόξῃ αὐτοὺς διαβάλλειν παρεισφέρων.*

Οὐχ ἓν εἶδος] *Ἐκ καταθέσεως καὶ ἀναιρέσεως τὸ ἐπι-* 300, D.
χείρημα.

Τὴν φυγήν] Vid. ed. ex Ap. Mon. et marg. Sch. ib.
Ἀντὶ προσώπου τὴν φυγὴν τὸ πρᾶγμα εἶπεν· ἔθει γὰρ εἰπεῖν τοὺς φυγόντας· καταλαβόντων γὰρ τὴν Καδμείαν τῶν Λακεδαιμονίων κατέφυγον Θηβαῖοι πρὸς Ἀθηναίους· συνθέντες δὲ λέγει, ἀντὶ τοῦ κακουργήσαντες· λέγει δὲ, ὅτι ἐδίδαξαν αὐτοὺς κ. τ. λ. vid. Ap. Mon. ad *πρᾶξιν*, Leid. item *δώθασιν*.

Ὥσπερ δρᾶμα] *Καὶ γὰρ ἐν τοῖς δράμασι σκοπῶσι καὶ* 301, A.
προμελετῶσι, πῶς καὶ τίνα εἰσελθεῖν δεῖ· πρᾶξιν δὲ λέγει, ὅτι γυναικείῳ σχήματι εἶπον αὐτοῖς πρὸς τοὺς ἁρμοστὰς εἰσελθεῖν.

Καὶ Βυζ.] Vid. ed. ib.

Καὶ τῆς διὰ τῶν] *Μετὰ γὰρ τὸ ἀνελεῖν* (sic emend. ib.
Geelius pro *ἀνελθεῖν*) *τοὺς ἁρμοστὰς μετεπέμψαντο τοὺς Ἀθηναίους Θηβαῖοι καὶ οὕτως ἔσχον τὴν πόλιν.*

Τὴν προτέραν αὐτῶν ἔξοδον] *Ἣν ὑπὲρ αὐτῶν Θηβαῖοι* 301, B.
ἦσαν ποιησάμενοι, ὅτε ἐξέβαλον τὴν φρουρὰν αὐτῶν· τότε γὰρ ὀλίγους ἔπεμψαν μετ' αὐτῶν, νῦν δὲ τελείαν δύναμιν· προτέραν οὖν ἔξοδον λέγει τὴν ἐν Ἁλιάρτῳ γενομένην,

Digitized by Google

ὁτε Λύσανδρος καὶ Παυσανίας ἡγοῦντο Λακεδαιμονίων ἐν Ἁλιάρτῳ ἐν τῇ προτέρᾳ ἐξόδῳ.

ib. Ἐν δὲ τοῖς χρόνοις] Ἡ προτέρα ἔξοδος τῶν Ἀθηναίων ἐγένετο, ὅτε ἐν Ἁλιάρτῳ συνεμάχησαν Θηβαίοις μετὰ τὴν κατάληψιν τῆς Καδμείας καὶ τὴν ἀναίρεσιν τῆς Λακεδαιμονίων φρουρᾶς τῆς διὰ Φοιβίδαν κατασταθείσης, ἔνθα σωθέντες Θηβαῖοι στήλας ἔστησαν περὶ συμμαχίας· εἶτ' ἀποστάντες πρὸς Λακεδαιμονίους κατέβαλον τὰς στήλας· ἀλλ' ὅμως Ἀθηναῖοι πολεμουμένοις αὖθις ὑπὸ Λακεδαιμονίων συνεμάχησαν ἐν Κορωνείᾳ.

ib. Καὶ τῶν στηλῶν] Σωθέντες γὰρ ἐν Ἁλιάρτῳ ἐν στήλαις τὴν συμμαχίαν ἀνέγραψαν, ὕστερον δὲ πάλιν καθεῖλον ὡς ἀχάριστοι, ἐγράφοντο γὰρ καὶ συμμαχίαι ἐν στήλαις, ὥσπερ καὶ δωρεαί· λέγει οὖν, ὅτι οἱ Θηβαῖοι τὰς στήλας τῆς συμμαχίας τῶν Ἀθηναίων καθεῖλον, οἱ δὲ Ἀθηναῖοι τὴν ἔννοιαν (f. ἄν.) οὐχ ὑπελογίσαντο· τῇ λέξει δὲ θεραπεύει αὐτῶν τὴν ἄνοιαν.

301, C. Τοῖς δικαίως] Διὰ τὸ καθελεῖν αὐτῶν τὰς στήλας εἶπεν αὐτοὺς δικαίως κινδυνεύοντας.

ib. Ἢ τοῖς ἀδίκως] Τοὺς Λακεδαιμονίους λέγει, ὅτι καταδεξώσασθαι (sic, f. καταδουλώσασθαι) αὐτοὺς ἠβούλοντο.

302, A. Στρατηγούς τε φοβ.] Vid. ed.

302, B. Τῆς ἐν Νάξῳ] Τὴν Χαβρίου φησὶν, ὅτε σὺν ναυσὶ πολιορκῶν Νάξον πρὸς αὐτοὺς ἐναυμάχησε μεταξὺ Πάρου καὶ Νάξου καὶ κατέδυσε μὲν κα (in marg. Schell. κδ) ναῦς, δύο δὲ αὐτάνδρους ἔλαβεν, ἄγων καὶ τοὺς αἰχμαλώτους εἰς τὰς Ἀθήνας ἐπώλησεν ἐπὶ τοῦ πωλητηρίου.

ib. Περὶ Κέρκυραν] Vid. ed., Leid. παρ' αὐτῆς — ἠκούσας βοηθεῖν. —

302, C. Ἐπειδὴ] Ἦλθον γὰρ εἰς τὴν Λακωνικὴν αὐτὴν Θηβαῖοι μετὰ (sic Cant. pro καὶ) τὴν ἐν Λεύκτροις νίκην.

302, D. Τὰ πράγματα] Τὰ πράγματα, φησὶ, τῶν Λακεδαιμονίων οὕτως ἦν, ὥστε δεῖσθαι ἢ τινα τῶν θεῶν συμμαχῆσαι αὐτοῖς ἢ τοὺς Ἀθηναίους κοινωνῆσαι τῶν κινδύνων· αὔξων δὲ τὸ δεινὸν ἐπαινεῖ τὴν Ἀθηναίων ῥοπήν.

Digitized by Google

Καίτοι ἀφῖκτο] *Τοῦτο μέσον ἐστὶ, παρεκβολή· κάτω* 303, A.
γὰρ ἐπιφέρει τὴν ἀπόδοσιν.

Κήρυξ παρὰ τ. Θ.] Vid. add. Pariss., Leid. *ἦλθεν αὐτοῖς* ib.
ὁ κ. εὐαγγ. νίκη — αὐτῶν Ἀθηναῖοι ἐγένοντο ἐν τοῖς πρ. πο-
λέμοις, ἐν Ἀλιάρτῳ καὶ Κορωνείᾳ· ἔστι δὲ καὶ οὕτως εἰπεῖν,
τῶν προσόντων ἀγαθῶν ἢ προσώπῳ ἢ πράγματι τὰ μέν ἐστιν
ὁμολογούμενα, τὰ δὲ ἀμφισβητούμενα· ἢ οὖν παρελευσόμεθα,
ὅταν πάνυ ἄδηλον τοῖς ἀκούουσι τὴν δόξαν ἀμφίβολον ἔχῃ,
ἢ λύσομεν φανερωθέντες (f. *φανερῶς θέντες*) *περὶ αὐτῶν*
ἀντίθεσιν, ὅταν ὁ ἀκροατὴς (sic Geelius V. D. pro *ἀκρα-*
τὴς) *δι' ὑπόληψιν ἐναντίαν ἐνίσταται πρὸς τὰ ἐπαινούμενα.*

Κελεύουσα] *Ἀντὶ τοῦ παρακαλοῦσα, ἔστι δὲ ἀττικόν·* ib.
ἐπ' ἀναιρέσει δὲ λέγει ἐπὶ κατασκαφῇ τῆς Σπάρτης (inde
lacuna in marg. Sch. *κατασκαφῇ* suppl., non *καταιρέσει*).

Εἰ δὲ μή] *Ἀντὶ τοῦ εἴπερ περιϊδεῖν* (sic)· *ἔστι δὲ ὁ* ib.
συνδεσμὸς συγκριτικός.

Δόξης] *Δόξαν λέγει τὴν ἐλπίδα καὶ προσδοκίαν·* 303, B.
ἤλπιζον γὰρ οἱ Θηβαῖοι τοὺς Ἀθηναίους ἐπὶ τῇ θέᾳ τοῦ
κήρυκος ἥδεσθαι.

Μνημονεύσαντες] *Ἀντὶ τοῦ μνησικακήσαντες· ἡ σύνταξις* 303, C.
οὕτως, ἀλλὰ νομίσαντες αὐτοῦ εἶναι κωλῦσαι ἃ πείσονται
Λακεδαιμόνιοι.

Περιοφθέντες] *Τουτέστιν παραθέντες.* ib.

Ἀκολουθοῦντας] *Ἀντὶ τοῦ ὑπακούοντας, ἐν ὑπηκόων* ib.
τάξει· οὐχ ἁπλῶς δὲ λέγει ἀλλ' ἐπὶ (f. *ἐπεὶ δόξαν*) *ἦν ἡ*
(sic, fort. *μὴ*) *στρατηγεῖν ἐν πολέμῳ, δυνάμενοι οὖν αὐτοί,*
φησὶν, τὴν στρατηγίαν ἐχειν, ἅτε παρακαλούμενοι βοηθεῖν
αὐτοῖς, ἐπὶ τῇ ἴσῃ τιμῇ ἐδέξαντο, ὅ ἐστιν ἴσον ἀξίωμα ἔχειν
συμμαχίας.

Ὠσθέντας] Vid. ed., Leid. *κακῶς*, pro quo irrepsit 303, D.
καλῶς. —

Καὶ τὰ λοιπὰ] *Λείπει ἡ εἰς, ἵνα ἦ, καὶ εἰς τὰ λοιπὰ* 304, A.
τῆς Πελοποννήσου, πᾶσαν γὰρ ἐζήτουν λαβεῖν· ἢ τὰ λοι-
πὰ λέγει τοὺς συμμαχοῦντας Θηβαίους Λακεδαιμονίοις· εἶχον
γὰρ ἀπὸ τῆς Λακωνικῆς συμπράττοντας ἑαυτοῖς μετὰ Θη-
βαίων τινάς.

Digitized by Google

ib. *Συνέδριον*] *Τουτέστι βουλευτήριον· σημαίνει δὲ τὴν ἡγεμονίαν, ἴδιον γὰρ τῶν ἀρχόντων πόλεως τὸ συνέδριον εἶναι παρὰ τοῖς τῶν* (sic) *ἀρχομένων.*

301, B *Θαυμάζω τοίνυν*] *Διαβάλλουσί τινες τὸν Ἀριστείδην διὰ ταύτην τὴν ἀντίθεσιν· οὐ γὰρ ἔδει, φησὶν* (f. *φασὶν*), *ἐν ἐγκωμίῳ μεμνῆσθαι συμφορῶν καὶ ἐγκλημάτων, ἐγκώμιον δέ ἐστιν αὔξησις τῶν προσόντων ἀγαθῶν· πρὸ τούτου οὖν διπλοῦν ἐστι τὸ τῆς λύσεως θεώρημα· τινὲς γὰρ τῶν τεχνικῶν παντοίως ἀναιροῦσι τὸ μεμνῆσθαι τοιούτου τινὸς ἐν ἐγκωμίῳ· ἄλλοι δὲ λέγουσιν, ὅτι δεῖ μὲν τιθέναι τὰ λυπηρά, ἵνα μὴ τῇ σιωπῇ βεβαιώσωμεν τὰ ἐγκλήματα· ἑκάτερον δὲ θεωρημάτων ἰσχυρόν· ἡμεῖς δέ φαμεν, ὅτι ἐὰν ἰδιώτου ἑνὸς ἐγκώμιον ποιώμεθα, δεῖ σιωπᾶν τὰ λυπηρά, οὐδὲν γὰρ θαυμαστόν, ἕνα ἄνδρα εὑρεῖν ἀναμάρτητον· ὅταν οὖν πόλιν ἐγκωμιάσωμεν, καὶ ἀνάγκη διὰ τὸ πλῆθος τῶν πραγμάτων εἶναι λυπηρά· θετέον τὰ τοιαῦτα καὶ λυτέον, καὶ οὐκ ἴδιον ἑαυτοῦ ἡμῶν τοῦτο λέγομεν* (sic, f. *αὐτῶν ἡμῶν*, an vero *αὐτοῦ ἡμεῖς*?), *αὐτοὶ γὰρ οἱ ἀρχαῖοι ἐν τοῖς λόγοις αὐτῶν τοῦτο ἡμᾶς διδάσκουσιν· ἰδοὺ γοῦν καὶ αὐτὸς Ἀριστείδης διδάσκει ἡμᾶς τὸ θεώρημα, ἄλλωστε εἰ μὴ δὲ ἰδιώτου ποιεῖ τὴν κρίσιν, ἀλλὰ πόλεως καὶ ταύτης πρεσβυτάτης τῶν Ἑλληνίδων· εἰ δέ τις εἴποι, πῶς οὖν ἐν τῷ Βουσίριδι εὑρίσκομεν ἀντίθεσιν καὶ ταῦτα ἑνὸς ὄντος καὶ οὐ πόλεως ὄντος τοῦ ἐγκωμιαζομένου; λέγομεν, ὅτι βασιλικὸν ἦν τὸ πρόσωπον καὶ μέγα, διὸ ἠναγκάσθη ὁ Ἰσοκράτης κἀκεῖ θεῖναι ἀντίθεσιν, ἵνα τὸ ἄδηλον ποιήσῃ ὁμολογούμενον, ἄδηλον γὰρ ἦν, ἐὰν* (f. *εἰ*, vid. proll. Sop.) *ὁ Βούσιρις αἴτιος ἐγένετο τῶν τοιούτων ἀγαθῶν Αἰγυπτίοις· καὶ διὰ τῆς λύσεως ἀποδείκνυσιν, ὅτι οὐδεὶς τούτων ἄλλος αἴτιός ἐστιν, εἰ μὴ ὁ θεῶν παῖς ὢν ὁ Βούσιρις.* (Hoc demum scholion innuere videtur Sopater in proleg.)

ib. *Μηλίων καὶ Σκ.*] Vid. ed., Leid. *ἐν τῷ Θ.* —

ib. *Ταῦτα κατηγοροῦσι*] *Ἀντὶ τοῦ ἐγκαλεῖν καὶ ὀνειδίζειν· οὐχ ἁπλῶς δὲ ταῦτα λέγει, ἀλλ' ἵνα δείξῃ, ὅτι οἱ ταῦτα λέγοντες ἀγνοοῦσι τῆς πόλεως τὰ ἐν γῇ καὶ θαλάττῃ πλεονεκτήματα.*

Digitized by Google

Οὐδὲν. ὡς ἔοικε] *Συλλογιστικῶς νῦν ἀγωνίζεται· δοκεῖ δὲ τὸ αὐτὸ λέγειν· λέγομεν, πόλιν μὲν λέγει πάντα τὰ πεπραγμένα αὐτῇ, συμβάντα δὲ τὰ περὶ Μηλίων καὶ Σκιωναίων.* 304, C.

Γνωρίζεται] *Ἀντὶ τοῦ ἀγνοοῦσιν αὐτῆς τὰ ἴδια, ἀφ' ὧν γνωρίζεται.* 304, D.

Εἰ δὲ τὰ συμβάντα] *Οὐχ ὅτι, φησὶν, ἄδικόν ἐστι τὸ συμβὰν, διὰ τοῦτο μέμφονται, ἀλλ' ὅτι ἀνάξιον ἐγένετο τῆς φιλανθρωπίας τῆς πόλεως.* ib.

Προσκείσθω γὰρ] Vid. add. Paris., Leid. *συμβαίνει* pro *σημαίνει* — *ἀλλ' ὅταν καὶ πολλὰ καὶ μεγάλα, τότε ἔγκλημα.* 305, A.

Εἰ μηδὲ ἰδιώτου (Cod. *μὴ δι' ἰδ.*)] *Ἀντὶ τοῦ ἑνὸς ἄνδρος, ἰδοὺ δὲ καὶ αὐτὸς δηλοῖ, εἰ ἔστιν εἷς ἀνὴρ ὁ ἐγκωμιαζόμενος, δεῖ παραλιπεῖν ἃ ἔσχεν ἐλάττωμα.* ib.

Οὐκ ἐρῶ πῶς] Vid. ed., Leid. *δόξας* — *τὰ περὶ* — 305, B.

Εἰ τοῦτο] *Τῆς ἀρχῆς δηλονότι· μεταστατικῶς δὲ ἀπολογεῖται τῆς ἀρχῆς τὴν αἰτίαν, ἄγων ἐπὶ φύσιν τοῦ πράγματος.* 306, A.

Τὸν τῆς ἰσότητος] *Καὶ ἔξω τῆς ἰσότητος νόμου, ἃ ἐστιν αὐτός* (sic). ib.

Τοῖς οὐδὲν δεομένοις] *Εἰσὶ γὰρ πολλάκις ἄνθρωποι μὴ δεύμενοι νόμων· ἢ τῷ οἰκοθεν νοεῖν τὸ δίκαιον ἢ τῷ ὅμοιον εἶναι τὸν τρόπον.* 306, B.

Ἃ γὰρ περὶ Μιτυλ.] *Ἀντὶ τοῦ οὐδεὶς ἂν οὔπω, πρὸς ὃν ἐξ ἀρχῆς ἐβουλεύσατο, μετέγνω, ἃ, φησὶ, περὶ Μιτυληναίων μετέγνωσαν καίτοι ἠδικηκότων καὶ ἀξίων δοῦναι δίκην· τίς οὕτως ἀπ' ἀρχῆς καὶ αὐτῶν ἠδικηκόσιν, ἀλλὰ φιλίως ἔχουσι προσηνέχθη* (sic), *τουτέστιν ἃ περὶ* (f. *παρὰ*) *τῶν φίλων τοῖς φίλοις ἐστὶν ὀφειλόμενα, ταῦτα καὶ μετὰ τὴν ἔχθραν καὶ τιμωρίαν οἱ Ἀθηναῖοι τοῖς Μιτυληναίοις μεταγνόντες ἐβουλεύσαντο.* 308, B.

Ἃ μὲν τῇ πρ.] Vid. ed., Leid. *τούτου* — addit Leid. *ὥσπερ δὲ ἀντιπίπτον λύοι, ἵνα μή τις εἴπῃ, καίτοι θάνατον αὐτῶν κατέγνωσαν.* 308, C.

Ἐκώλυσεν] *Ὅτε Λακεδαιμόνιοι ἐστράτευσαν κατ' αὐτῶν, Φοιβίδου καταλαβόντος Θήβας, μετὰ δὲ Πελοποννησιακὰ, ἡνίκα ἐξελθόντες ἐν Ἀλιάρτῳ σεσώκασιν αὐτούς.* 309, C.

Digitized by Google

ib. *Οἷα Κορ.*] *Ἐν τοῖς Κορινθιακοῖς· τείχη δὲ λέγει κ. τ. λ.*; vid. add. Pariss.

ib. *Καὶ τὰς μετ' ἐκ.*] *Ὅταν* (τ. *Ὅτε*) *Θηβαῖοι νικήσαντες κ. τ. λ.* vid. add. Paris. ad *Οἵους*, Leid. *ἀνελθεῖν* pro *ἀνελεῖν*. —

309, D. *Μαντίνεια*] *Πόλις ἐστὶ τῆς Ἀρκαδίας, ἐν ᾗ οἱ Ἀθηναῖοι ἐπολέμησαν ὑπὲρ Λακεδαιμονίων, ὅτε Θηβαῖοι μετὰ τὰ Λευκτρικὰ ἐζήτουν αὐτοὺς ἀνελεῖν· οὐχ ἁπλῶς δὲ εἶπεν ἱππομαχίαν, ἀλλ' ὅτι ἱππικώτατοι ἐδόκουν εἶναι μόνοι Θηβαῖοι, καὶ αὕτη ἦν περὶ τοὺς πολέμους αὐτῶν ἡ δόξα· λέγει οὖν, ὅτι ἐν ᾧ προέχειν ἐνόμιζον, ἐν τούτῳ ἡττήθησαν· ἡ δὲ σύνταξις οὕτω, τῇ περὶ Μαντίνειαν ἱππομαχίᾳ.*

310, A. *Κεφάλαιον*] *Ἐνταῦθα ἐπλήρωσε τὴν δοκοῦσαν ἀντίθεσιν.*

ib. *Διονυσίου*] Vid. ed.

ib. *Ἐπάρχοντος*] *Καλῶς ἡ ἐπὶ πρόθεσις, πρὸς γὰρ τῷ ἄρχειν τῆς Σικελίας καὶ ἄλλων πόλεων ἦρχε.*

310, B. *Τοὺς προσοίκους*] Vid. ed., Leid. *λέγει*. —

ib. *Ἀπὸ Σικελίας*] *Ὁ Χαβρίας ἤτοι Τιμόθεος. — Καταναυμαχθέντων γὰρ τῶν Λακεδαιμονίων ὑπ' Ἰφικράτους ἔδοξε τῇ εἰρήνῃ θῦσαι.*

310, C. *Οὐ τύραννον*] *Τοῦτο εἶπεν, ὡς τῶν Λακεδαιμονίων διὰ τοῦτο ἐπαγομένων Διονύσιον.*

310, D. *Καὶ γὰρ τοι πάντες*] *Μεταβαίνει ἐπὶ τὰ Φιλιππικά· ἀκολουθεῖ ταῦτα τοῖς χρόνοις.*

ib. *Τοὺς μὲν ὑπερεῖδε*] *Λαμβάνει τὸν μὲν καὶ ἄλλων, τὸ δὲ καὶ πρὸς Λακεδαιμονίους μᾶλλον· τότε γὰρ ὡς ἀσθετῶν κατεφρόνει τῶν Λακεδαιμονίων Φίλιππος.*

311, A. *Ὥσπερ ὅρον τινά*] *Ἀντὶ τοῦ ὥσπερ κανόνα τινά, ὅστις λέγει τὸ ζητοῦντα δουλώσασθαι τὴν Ἑλλάδα Ἀθηναίοις πολεμεῖν.*

ib. *Τοῖς δ' ἐν πατρίδος*] *Χαλκιδεῦσι καὶ τοῖς ἄλλοις καὶ μετὰ Χαιρώνειαν Εὐβοέων τισί.*

ib. *Τὸ σύμβολον*] *Οἷον τὸ πρόσρημα τὸ Ἑλληνικόν, τὸ καλεῖσθαι Ἕλληνας, ἢ τὴν ἐλευθερίαν, ἐπειδὴ φαίνονται Ἕλληνες ὑπὲρ αὐτῆς οἱ μάλιστα πρὸς πάντας ἀγωνισάμενοι.*

Digitized by Google

Ἔκλιναν] Ἀντὶ τοῦ ἔπεσον, ὡς ἐπὶ τείχους εἶπε, τεῖχος ἦν τῶν Ἑλλήνων τῶν Ἀθηναίων ἡ πόλις· οὐκ εἶπε δὲ ἀπέκλινεν ἡ τύχη πρὸς Φίλιππον, ἀλλὰ τὰ πράγματα ἔκλιναν, ἵνα ὕψωσι τὸν Φίλιππον. 311, B.

Οὐ γὰρ πρότερον] Μετὰ γὰρ τὰ ἐν Χαιρωνείᾳ τὴν εἰρήνην Ἀθηναῖοι παρεδέξαντο κ. τ. λ. vid. add. Parisa., Leid. πολίτην παρεδέξαντο. — ib.

Γένει πολέμους] Ἀντὶ τοῦ γενικούς· λέγει δὲ οὐχ ἁπλῶς γενικούς, ἀλλ' ὅτι ἕκαστος ἔχει ἐν ἑαυτῷ πολλοὺς ἰδίους. 311, D.

Θηβαίους] Ἀπὸ κοινοῦ ἔσωσεν, ὅτε κατέλαβον τὴν Καδμείαν. 312, B.

Εὐβοέας] Vid. ed. ib.

Ἀπὸ Θηβαίων] Vid. ed. ib.

Καὶ τὴν χώραν] Vid. ed. ib.

Λύθις Εὐβοέας] Vid. ed. 312, C.

Χαλκιδέας] Λέγει τοὺς Ὀλυνθίους. εἶπε δὲ τὸ κατ' αὐτὴν, ἐπειδήπερ ἔπεμψαν Χάρητα τὸν στρατηγὸν αὐτοῖς πρὸς βοήθειαν· ὁ δὲ ὑστερήσας ἀπώλεσε τὴν Ὄλυνθον. ib.

Ὥσπερ ἄγαλμα] Τὸ ἄγαλμα μεῖζον τῆς εἰκόνος· οὕτως οὖν, φησὶν, ἔδει τιμᾶσθαι τὴν πόλιν. ib.

Τὸ πρυτανεῖον] Τόπος σιτήσεως καὶ εὐεργεσίας· ὅπερ οὖν, φησὶν, τὸ πρυτανεῖον τῇ πόλει, τοῦτο ἡ πόλις τῇ Ἑλλάδι. 312, D.

Τῶν τροπαίων] Τρόπαιον μὲν καὶ ἐπίγραμμα καὶ νίκην μόνον σημαίνει· ἡ δὲ ὑπόθεσις καὶ αἰτία τοῦ πολέμου τὴν γνώμην δηλοῖ, μεθ' ἥστινος χωρεῖ, εἴ τε δίκαιος ἢ ἄδικος ἢ καλὴ ἢ αἰσχρά. ib.

Καλλίους ἀεὶ] Ἀντὶ τοῦ καλλίους τῶν τροπαίων τὰς αἰτίας τῆς μάχης παρέχουσα, οἷον τὸ ὑπὲρ ἐχθρῶν ἀγωνίζεσθαι (Cod. τὰ ὑπὲρ ἐχθρῶν ἀγωνίζεται)· ταῦτα δὲ πάντα τὴν φιλανθρωπίαν αὐτῆς (Cod. αὐτοῦ) δείκνυσιν. ib.

Ἐν μὲν τοῖς ἄνω] Ἐπὶ τοῦ Μηδικοῦ πολέμου συνέθεντο Λακεδαιμόνιοι πληρῶσαι τὰ δόξαντα μετὰ τῶν Ἀθηναίων· ἡ δὲ δόξα ἦν, ἐὰν νικήσωσι τὸν πόλεμον, δεκατεῦσαι τοὺς Μηδίσαντας, ὅ ἐστιν δέκατον μέρος ἀνελεῖν· ἐβούλοντο οὖν μετὰ τὴν νίκην οἱ Λακεδαιμόνιοι πληρῶσαι τὰ 313, A.

Digitized by Google

δόξαντα, καὶ Ἀθηναῖοι κεκωλύκασι· τινὲς δέ λεγουσιν, ὅτι Θεμιστοκλῆς ἐκώλυσεν (Vid. add. Pariss. ad συνθηκῶν).

313, C. Ὧν δ' οὐδείς] Ἐνταῦθα παραδόξως βούλεται καὶ αὐτῶν τῶν λόγων τῶν Ἀττικῶν εὑρετὰς αὐτοὺς γεγονέναι, καὶ εἰς τὸ τῶν λόγων ἐγκώμιον ἐλθεῖν· καὶ γὰρ ὥσπερ Θεμιστόν μοι φαίνεται λόγοις τὰς πράξεις (Cod. ταῖς πράξεσι) κοσμῆσαι, οὕτω καὶ αὐτοὺς τοὺς λόγους ἐν μέρει μὴ παρελθεῖν τῇ μνήμῃ· κυρίως εἶπε τοῦτο τὸ τρόπαιον ἀναίμακτον τὸ ἄνευ αἵματος καὶ σφαγῆς· λέγει δὲ τὸ πάντας νικῆσαι καὶ ὑπερβαλέσθαι τοῖς λόγοις τοὺς τῶν ἄλλων λόγους.

314, A. Ὁμοφύλων] Ἐνταῦθα καλεῖ πᾶν τὸ ἀνθρώπινον γένος Ἑλλήνων καὶ βαρβάρων.

314, B. Ἀμφισβητήσιμον] Ἀντὶ τοῦ ἀμφίβολον· προεῖται (sic) δὲ τοῦτο ἤδη, ὅπου Λακεδαιμόνιοι καὶ Ἀθηναῖοι ἐπολέμησαν καὶ ἐνίκησαν τῇ ἀληθείᾳ Λακεδαιμόνιοι· ἐβιάσατο δὲ ὁ Ἀριστείδης τοῦτο τὸ τρόπαιον δεῖξαι ψυγὴν τῶν Λακεδαιμονίων.

ib. Τὴν ἐν Μαραθῶνι] Εἶπε τὴν ἐν Μαραθῶνι καὶ οὐ τὴν ἐν Σαλαμῖνι, ἐπειδὴ ἐκεῖ μὲν κοινῇ νενικήκασιν, ἐνταῦθα δὲ μόνοι.

ib. Ἦν Διὸς π.] Vid. ed., Leid. φιλογενῶς τε. —

314, C. Δίαιταν καὶ φωνήν] Φωνὴν λέγει τὴν Ἀττικήν, ὡπέκλινε δὲ ἀντὶ τοῦ ἔρεψεν (f. ἔτρεψεν), οἱονεὶ πᾶσαι αἱ πόλεις τὸ τὰ (sic) τῶν ἀνθρώπων τῆς Ἀττικῆς ἠράσθη φωνῆς· δύναμιν λέγει τῆς πόλεως τὴν ἀρχήν· τοῦτο δὲ εἶπεν ἐπειδὴ ἔθος εἶχον οἱ ἄρχοντες φοβούμενοι περὶ ἀποστάσεώς τινος πόλεως δύναμιν ἐγκαθιστάναι, ὅπως μὴ ἀποστῇ ἀλλὰ πρὸς ἀνάγκην ὑπακούσῃ.

ib. Καὶ οὔτε Ἡρακλέους] Δείκνυσι τὸν Ἀττικὸν ἔρωτα τῶν λόγων καὶ ὑπὲρ τὴν οἰκουμένην τυγχάνοντα, μᾶλλον δὲ οὐ τὰ πέρατα τῆς οἰκουμένης σημάναι βούλεται, ἀλλὰ τοὺς δυσχερεῖς τόπους.

ib. Λιβύης κολωνοῖς] Εἶπεν ἀντὶ τοῦ τὴν Λιβύην, ἔστι δὲ περιφραστικόν· τὸ δὲ ὁρίζεται ἀντὶ τοῦ περατοῦται καὶ τέλος ἔχει, τουτέστιν, οὐδὲ μέχρι Λιβύης πέρας ἔχει.

Digitized by Google

Βοσπόρῳ ὁποτέρῳ β.] Vid. add. Parrs., Leid. *τῷ πόντῳ, καὶ Θρᾴκιος ὁ ἐν Ἑλλησπόντῳ, ἔνθα ὁ Λεύκων.* ib.

Καὶ τοὺς νομέας] *Τὸ ἐπιχείρημα ἀπὸ τοῦ ἐλάττονος.* 315, A.

Τῶν παρ' ὑμῶν πρώτων (ed. *ὑμῖν*)] *Τοῦτο εἶπεν, ἐπειδὴ οἵ πρωτεύοντες ἐν ταῖς ἄλλαις πόλεσι τῆς Ἑλλάδος εἰς Ἀθήναις παραγίγνονται λόγων ἕνεκα.* 315, B.

Τὰ ἐπὶ Θρᾴκης] *Τοῦτο εἶπεν, ἐπειδὴ πολλοὶ αὐτῶν ἦρξαν, ὥσπερ Λακεδαιμόνιοι καὶ Ἀθηναῖοι καὶ Φίλιππος.* 315, D.

Παρ' ὑμῶν παραβάλλειν] *Καλῶς τοῦτο, πρὸς Ἀθηναίους γὰρ παραβαλλόμενοι δοκοῦσιν ἀπαίδευτοι, πρὸς ἑτέρους δὲ οὔ.* 316, B.

Καιροῖς καὶ τόποις] *Δικαστηρίοις καὶ ἐκκλησίαις καὶ θαλάμοις καὶ τάφοις.* ib.

Καὶ δι' ἴσου] *Πρὸς πόλεμον καὶ πρὸς εἰρήνην ἱκανή ἐστι· τὸ δὲ δι' ἴσου πρέπει ἀντὶ τοῦ ὁμοίως ὁρμόζει, ἐπειδὴ οὐ δυνάμεθα λέγειν, ὅτι ἐν τῷδε μὲν πρωτεύει, ἐν ἄλλῳ δὲ ἡττᾶται.* 316, C.

Διὰ πάντων ἀγῶνος] Vid. ed. ex marg. Sehell., Leid. *ὡς πέφυκε δι' ὅλου τὸν ἀγωνιστικῶς ἔχοντα τὰ ὑπ. — τὸν τόνον καὶ δρόμον καὶ τὸ κράτος· (ταῦτα γὰρ σχήματά ἐστι τοῦ λόγου τοῦ ἀγωνιστικοῦ καὶ ὁ τόνος καὶ ὁ δρόμος· τόνον δὲ λέγει τὴν σφοδρότητα, παρὸ καὶ σύντονα· δρόμον δὲ τὸ εὔτροχον καὶ στρ. τ. λ., διὰ πάντων τῶν ἀγωνιστικῶν ἔφη, τουτέστι δι' ὅλου τοῦ δικανικοῦ* (Cod. *τὸ δικανικὸν*) *πρὸς ἀντιδιαστολὴν — ἐν τούτῳ* pro *ἐπὶ τούτοις. —* ib.

Κράτος] *Τουτέστι τῆς δυνάμεως· σημαίνει δὲ τῶν ἐπιχειρημάτων.* ib.

Μετέχει] *Τοῦτο εἶπεν, ὅτι ἀντέπιπτεν αὐτῷ, ἀλλ' οὐκ ἔχει τὴν Ὁμηρικὴν ποίησιν, ἀλλὰ καὶ αὐτὴ, φησὶν, Ἀττικὴ* (Cod. *Ἀττικὴν*) *πάλιν* (f. *ἔμπαλιν*) *τυγχάνει.* 317, A.

Τῆς ἀποίκου πόλεως] *Τῆς Χίου λέγει ἢ Κολοφῶνος ὅθεν Ὁμηρος εἶναι νομίζεται, ἄποικος δέ αὕτη Ἀθηναίων.* ib.

